Καὶ πασῶν: Λέγοντας ἀποπερατώσεις (ὅρια, τέλη) τῶν γνώσεων καὶ τῶν δυνάμεων ποὺ ἀναφέρονται στὴν οὐσία, ἐπανέλαβε τὸν ἴδιο λόγο ποὺ εἶπε καὶ πρὶν ἀπὸ λίγο, «ὅλα τὰ πέρατα ὅλων τῶν γνώσεων». Ἢ λοιπὸν ὑπονοεῖ μὲ τὴ διαφορετικὴ διατύπωση αὐτὸ ποὺ ἔχω προπαραθέσει, ὅτι δηλαδὴ μέσα στὸν Θεὸ σταματᾶ κάθε γνώση καὶ κάθε κίνηση ἔχει τὸ τέλος της, ἐπειδὴ ἡ θεία φύση εἶναι ἀκατανόητη, γνώρισμα ποὺ ἔχει αἰωνίως καὶ δὲν τὸ ἔλαβε μέσα στὸν χρόνο· ἢ καλύτερα ἐννοεῖ πέρας καὶ ἀποπεράτωση τὸ τέλος κάθε γνώσης ποὺ ἀναφέρεται στὴν οὐσία. Αὐτὲς εἶναι οἱ οὐσίες καὶ οἱ δυνάμεις, στὶς ὁποῖες ἀναφέρονται οἱ γνώσεις, οὐσίες καὶ δυνάμεις ποὺ ὅλες μαζί, λέει, καὶ ὄχι ἕνα μέρος τους, ἀλλὰ στὸ σύνολό τους προϋπάρχουν μέσα στὸν Θεὸ σύμφωνα μὲ τὸν ἄρρητο λόγο τῆς πρόγνωσής του, ποὺ γνωρίζει κάθε τι ποὺ ἔρχεται στὴ δημιουργία τί φύση θὰ λάβει καὶ τί δύναμη, Αὐτὸς ποὺ ἡ οὐσία του εἶναι πάνω ἀπὸ οὐσία καὶ πάνω ἀπὸ γνώση. Πρέπει ἀκόμα νὰ ξέρομε ὅτι ἄλλο εἶναι οὐσία καὶ ἄλλο δύναμη. Ἡ οὐσία εἶναι ὅσων ὑπάρχουν καθεαυτά, ἐνῶ ἡ δύναμη ὅσων ἔχουν τὴν ὕπαρξή τους σ' ἕνα ἄλλο.

Εἰ γὰρ αἱ γνώσεις: Ἐπεξηγεῖ ὅσα εἰπώθηκαν. Ὀρθὰ εἶπε ὅτι οἱ γνώσεις ἀναφέρονται στὶς οὐσίες καὶ στὰ ὄντα, ὁ Θεὸς ὅμως δὲν εἶναι οὔτε μέσα στὴν οὐσία οὔτε κάποιο ἀπὸ τὰ ὄντα καὶ δικαιολογημένα εἶναι καὶ πέρα ἀπὸ τὴ γνώση.

§ 5. Οὔτε φαντασία: Ἡ φαντασία καὶ ἡ νόηση, δηλαδὴ τὸ νόημα, εἶναι διαφορετικὰ πράγματα. Εἶναι ἀποτελέσματα διαφορετικῶν δυνάμεων κι ἔχουν διαφορετικὴ λειτουργία. Ἡ νόηση δηλαδὴ εἶναι ἐνέργεια καὶ δημιουργεῖ, ἐνῶ ἡ φαντασία εἶναι ἕνα πάθος καὶ μιὰ ἐντύπωση ποὺ ἀναγγέλλει κάποιο αἰσθητὸ ἢ κάποιο ποὺ μοιάζει μὲ αἰσθητό. Καὶ ἡ αἴσθηση βέβαια ἀντιλαμβάνεται τὰ ὄντα σὲ ἀθροιστικὴ διαμόρφωση, ἐνῶ ὁ νοῦς τὰ προσεγγίζει, δηλαδη ἀντιλαμβάνεται τὰ ὄντα μὲ ἄλλο τρόπο καὶ ὄχι ὅπως ἡ αἴσθηση. Στὸ σωματικὸ λοιπὸν ἢ τὸ πνευματικὸ ἢ ὅπου εἶναι οἱ αἰσθήσεις εἴπαμε καὶ προηγουμένως, ὅτι βρί-

μορφωτικόν ἐστι κίνημα, τὸ δὲ κριτικὸν καὶ ἀντιληπτικόν, τῇ ψυχῇ καὶ τῷ νῷ δοτέον. Τοῦτο οὖν τῷ τῆς ψυχῆς ἀντιληπτικῷ καὶ τὸ φανταστικὸν ὑποστεῖλαι δεῖ· διαιρεῖται γὰρ ἡ φανταστικὴ εἰς τρεῖς μοίρας· πρώτην μὲν εἰς τὴν τῶν ἀντιλήψεων εἰκονιστικὴν πρὸς τὰ ποιοῦντα αἰσθητὴν τὴν ἀντίληψιν· δευτέραν δὲ τὴν ἐκ τῶν μενόντων ἐγκαταλειμμάτων ἀπὸ τούτων ἀνατυπωτικήν, μὴ ἔχουσαν ἐρηρεισμένας ἐπί τι τὰς εἰκόνας, ἣν καὶ ἰδίως φανταστικὴν καλοῦσι· τρίτην ἐν ᾗ πᾶσα ἡδονὴ τοῦ κατὰ φαντασίαν δοκοῦντος ἀγαθοῦ ἢ δοκοῦντος κακοῦ κατὰ λύπην συνίσταται. Οὐδεμία τοίνυν, καθὰ εἴρηται, φαντασία χώραν ἔχει ἐπὶ Θεοῦ· πάντων γὰρ ἀπαξαπλῶς ὑπὲρ ἔννοιάν ἐστι καὶ ὑπέρκειται· δόξα δέ ἐστιν ἡ ἐκ τοῦ φαινομένου κατὰ τὸ δοκοῦν τοιάδε τις ὑπόληψις.

Οὔτε ἐπαφή: Ἐπαφὴν νῦν φησι τὴν νοερὰν κατάληψιν· καὶ γὰρ τοῖς νοητοῖς καὶ ἀΰλοις τῷ νῷ ἐπιστητῶς ἐπιβάλλοντες, δοκοῦμεν ὥσπερ ἅπτεσθαι αὐτῶν καὶ διὰ τοῦ νοῦ αἰσθάνεσθαι ὁποῖά εἰσιν, ὡς καὶ διὰ τῆς ἀφῆς τῶν αἰσθητῶν· ἐπὶ δὲ Θεοῦ οὐδὲ νοερῶς ἐφαπτόμεθα.

Ἀκλήτου καὶ ὑπερωνύμου: Ἀκλήτου, φησί, ἀντὶ τοῦ, μὴ καλουμένου τινὶ γνωρίσματι. Αὐτὸς γὰρ καλεῖ τὰ μὴ ὄντα ὡς ὄντα, ὡς τὸν Κῦρον πρὸ τοσούτων ἐτῶν καὶ τὸν Ἰωσίαν.

Ἀλλ' ὅπερ: Ζητεῖται ὁ Περὶ θεολογικῆς ὑποτυπώσεως λόγος.

Τὴν ὁμόθεον: Ὁμόθεόν πως λέγει τὴν παναγίαν Τριάδα.

Ἀγγελοπρεπεῖς ἐνώσεις: Εἰπὼν περὶ τοῦ Θεοῦ, ὅτι ἀνεννόητος ἡμῖν ἐστι καὶ ἄφθεγκτος, ἐκ τοῦ ἐλάττονος λοιπὸν τὸ περὶ Θεοῦ συνίστησιν· εἰ γὰρ τὰ περὶ τῶν ἀγγέλων ἡμῖν ἄγνω-

σκεται ἡ παθητικὴ καὶ μορφωτικὴ λειτουργία, τὴν κριτικὴ ὅμως ἱκανότητα καὶ τὴν ἀντιληπτικὴ δύναμη πρέπει νὰ τὴν ἀποδώσομε στὴν ψυχὴ καὶ στὸ νοῦ. Αὐτὸ λοιπὸν καὶ τὸ φανταστικὸ πρέπει νὰ τὰ ὑποτάξομε στὸ ἀντιληπτικὸ τῆς ψυχῆς. Γιατὶ ἡ φανταστικὴ δύναμη διαιρεῖται σὲ τρία μέρη· πρῶτο, στὸ μέρος ποὺ εἰκονίζει τὶς ἀντιλήψεις σὲ σχέση μ' αὐτὰ ποὺ κάνουν αἰσθητὴ τὴν ἀντίληψη· δεύτερο, τὸ μέρος ποὺ ἀπὸ αὐτὰ ποὺ μένουν μετὰ τὴν ἀντίληψη ξαναπλάθει τὶς εἰκόνες χωρὶς νὰ τὶς στηρίζει σὲ κάτι, ποὺ καὶ καλεῖται ἰδίως φαντασία. Καὶ τρίτο τὸ μέρος ὅπου ἐγκαθίσταται κάθε ἡδονὴ ἑνὸς ἀγαθοῦ ποὺ βλέπομε μὲ τὴ φαντασία μας ἢ κάθε δυσάρεστου ἡ λύπη. Σχετικὰ ὅμως μὲ τὸν Θεὸ δὲν ἔχει θέση καμμιὰ φαντασία, ὅπως εἴπαμε, γιατὶ εἶναι γενικὰ πάνω ἀπὸ τὴν ἔννοια ὅλων καὶ τὰ ξεπερνᾶ ὅλα. Δόξα πάλι εἶναι μιὰ γνώμη ποὺ δημιουργεῖται ὑποκειμενικὰ ἀπὸ ἕνα φαινόμενο.

Οὔτε ἐπαφή: Ἐπαφὴ ὀνομάζει τώρα τὴ νοερὴ κατάληψη· προσεγγίζοντας δηλαδὴ τὰ νοητὰ καὶ ἄυλα μὲ τὸ νοῦ, νομίζομε σὰ νὰ τὰ ἀγγίζομε καὶ σὰ νὰ αἰσθανόμαστε μὲ τὸ νοῦ τί λογῆς εἶναι, ὅπως καὶ μὲ τὴν ἀφὴ τὰ αἰσθητά. Τὸν Θεὸ ὅμως οὔτε νοερὰ τὸν ἀγγίζομε.

Ἀκλήτου καὶ ὑπερωνύμου: Τὸ 'ἄκλητος' λέγεται ἀντὶ τοῦ 'αὐτὸς ποὺ δὲν καλεῖται ἀπὸ κάποιο γνώρισμα'. Γιατὶ «αὐτὸς καλεῖ αὐτὰ ποὺ δὲν ὑπάρχουν σὰ νὰ ὑπάρχουν»[22], ὅπως τὸν Κῦρο πρὶν ἀπὸ τόσο πολλὰ χρόνια καὶ τὸν Ἰωσία.

Ἀλλ' ὅπερ: Ζητεῖται ὁ λόγος (τοῦ συγγραφέα) Περὶ θεολογικῆς ὑποτυπώσεως.

Τὴν ὁμόθεον: Μὲ ποιό νόημα λέει 'ὁμόθεη' τὴν παναγία Τριάδα.

Ἀγγελοπρεπεῖς ἑνώσεις: Ἀφοῦ εἶπε γιὰ τὸν Θεό, ὅτι δὲν μποροῦμε οὔτε νὰ τὸν ἐννοήσομε οὔτε νὰ τὸν ἐκφράσομε, βγάζει τὸ συμπέρασμά του ἀπὸ τὸ ἔλαττον. Ἂν δηλαδὴ εἶναι

22. Ρωμ. 4,17.

στά ἐστι, τί περὶ τοῦ Θεοῦ λογιστέον; Φησὶν οὖν, ὅτι αἱ ἀγγελικαὶ δημιουργίαι οἷά τινές εἰσιν ἐπιβολαὶ τῆς τοῦ Θεοῦ ἀγαθότητος· ἐπιβολὴν δὲ νοητέον, τὴν εἰς τὸ καθ' ἓν τῶν παραγομένων μεριζομένην ἀμερῶς κίνησιν, τουτέστιν εἰς τὴν ἑκάστου τῶν νοητῶν παραγωγήν. Δυνατὸν δὲ καὶ οὕτω νοῆσαι, ὅτι οἱ τρόποι τῶν πρὸς Θεὸν ἑνώσεων, καθόσον πρέπει ἀγγέλους ἑνοῦσθαι Θεῷ, καθ' ἣν πρὸς Θεὸν ἕνωσιν, ἢ ἐπιβάλλουσι κατὰ τὴν οἰκείαν ἀξίαν τῇ ἀγαθότητι τοῦ Θεοῦ, ἢ παραδέχονται παρ' αὐτοῦ τῆς ἀγαθότητος αὐτοῦ τὴν ἀποκάλυψιν· καὶ οὕτως ἀκατάληπτοί εἰσιν οὐ μόνον ἡμῖν, ἀλλὰ καὶ τοῖς κατωτέροις ἀγγέλοις· μόνοις δὲ τοῖς ἀνωτάτω ἀγγέλοις γινώσκονται, ἅτε ἠξιωμένοις τὸν εἰρημένον τρόπον τῶν ἑνώσεων. Ἐν δὲ τῷ Περὶ τῆς οὐρανίας ἱεραρχίας λόγῳ φησὶ καὶ τὰς τάξεις τὰς ἀγγελικάς.

Ταύταις οἱ θεοειδεῖς: Τοὺς θεοειδεῖς νόας, οὓς ἀγγελομιμήτως φησί, καθ' ὅσον ἐφικνοῦνται εἰς ἕνωσιν ἄγεσθαι τῶν ἁγίων δυνάμεων, ἃς δυνάμεις ἀγγέλους προεῖπε· τοὺς καθ' ἡμᾶς θεολόγους νοητέον, προφήτας τέ φημι καὶ ἀποστόλους· οὐ γὰρ δὴ ὑποληπτέον ἀγγέλους, μάλιστα ἐκ τοῦ «ἀγγελομιμήτως» εἰπεῖν· ἄγγελος γὰρ ἄγγελον οὐ μιμεῖται, ἀλλ' ὁ ἐλάττων· νόας δὲ καλῶν τοὺς θεολόγους, τῆς ἀγγελομιμήτου ἑνώσεως πρὸς Θεὸν αὐτοὺς ἔφη ἐφικνεῖσθαι, ὡς δυνατόν, κατὰ ἀπόπαυσιν πάσης ἐνεργείας κοσμικῆς ἐκθεουμένους· ἐπὶ γὰρ τῶν νοερῶν πᾶν κίνημα καὶ πᾶσα ἐνέργεια καὶ πᾶσα ἠρεμία ἐνεργῶς ἐστι, καὶ πρὸς αἰωνίοις καὶ ἀσωμάτοις αἱ οὖσαι ἠρεμίαι καὶ ἡσυχίαι, καὶ τῶν ἐνεργειῶν αἱ ἀποπαύσεις, τὸ κατὰ φύσιν πράττειν ποιοῦσιν, ὅπερ ἐστὶ τῆς ἀνενοχλησίας καὶ τελειότητος εἰς ἑνάδα πρόξενον.

Ἀπόπαυσιν: Ἀδύνατον γὰρ ἑνωθῆναι Θεῷ καὶ θεὸν τρόπον τινὰ γενέσθαι, εἰ μὴ παύσεταί τις τῶν ὑλικῶν ἐνεργειῶν κατά τε αἴσθησιν καὶ κατὰ διάνοιαν.

ἄγνωστα σ' ἐμᾶς τὰ σχετικὰ μὲ τοὺς ἀγγέλους, τί νὰ σκεφτοῦμε γιὰ τὸν Θεό; Λέει λοιπόν, ὅτι οἱ δημιουργίες τῶν ἀγγέλων εἶναι κατὰ κάποιο τρόπο 'ἐπιβολὲς' τῆς ἀγαθότητας τοῦ Θεοῦ. Καὶ ὡς ἐπιβολὴ πρέπει νὰ ἐννοήσομε τὴν κίνηση ποὺ μοιράζεται ἀμέριστα σὲ καθένα ἀπὸ τὰ δημιουργήματα, δηλαδὴ στὴ δημιουργία καθενὸς ἀπὸ τὰ νοητά. Εἶναι δυνατὸ ὅμως νὰ σκεφθοῦμε καὶ ἔτσι. Ὅτι οἱ τρόποι τῶν ἑνώσεων μὲ τὸν Θεό, στὸ βαθμὸ ποὺ πρέπει οἱ ἄγγελοι νὰ ἑνώνονται μὲ τὸν Θεὸ κατὰ τὴν ἕνωσή τους μὲ τὸν Θεό, ἢ ἀγγίζουν ἀνάλογα μὲ τὴν ἀξία τους τὴν ἀγαθότητα τοῦ Θεοῦ ἢ δέχονται ἀπὸ αὐτὸν τὴν ἀποκάλυψη τῆς ἀγαθότητάς του. Καὶ ἔτσι εἶναι ἀκατανόητοι ὄχι σ' ἐμᾶς μονάχα ἀλλὰ καὶ στοὺς κατώτερους ἀγγέλους. Κατανοοῦνται μόνο ἀπὸ τοὺς ἀνωτέρους τους ἀγγέλους, ἐπειδὴ ἔχουν ἀξιωθεῖ νὰ δεχθοῦν τὸν τρόπο τῶν ἑνώσεων ποὺ εἴπαμε. Στὸ ἔργο του 'Περὶ οὐρανίας ἱεραρχίας ἀναφέρει καὶ τὶς τάξεις τῶν ἀγγέλων.

Ταύταις οἱ θεοειδεῖς: Θεοειδεῖς νόες, γιὰ τοὺς ὁποίους εἶπε τὸ 'ἀγγελομιμήτως' (μὲ μίμηση τῶν ἀγγέλων) κατὰ τὴ δύναμή τους νὰ ἑνώνονται μὲ τὶς ἅγιες δυνάμεις, τὶς ὁποῖες εἶπε προηγουμένως ἀγγέλους, πρέπει νὰ ἐννοήσομε ἀνάμεσά μας τοὺς 'θεολόγους', ἐννοῶ τοὺς προφῆτες καὶ τοὺς ἀποστόλους. Δὲν πρέπει δηλαδὴ νὰ ἐννοήσομε ἀγγέλους, ἀκριβῶς ἐξαιτίας τοῦ 'ἀγγελομιμήτως' ποὺ εἶπε· γιατὶ ὁ ἄγγελος δὲν μιμεῖται τὸν ἄγγελο, ἀλλὰ ὁ κατώτερος τὸν ἀνώτερο. Καλώντας λοιπὸν τοὺς θεολόγους νόες, εἶπε ὅτι ἐπιτυγχάνουν τὴν ἀγγελομίμητη ἕνωση μὲ τὸν Θεό, γινόμενοι ὅσο τοὺς εἶναι δυνατὸ θεοὶ μετὰ τὴν ἀπομάκρυνσή τους ἀπὸ κάθε κοσμικὴ ἐνέργεια. Ἐπειδὴ στὰ νοερὰ κάθε λειτουργία καὶ κάθε ἐνέργεια καὶ κάθε ἠρεμία εἶναι ἐνεργὸς καὶ ὁδηγεῖ σ' ἑνοποιὸ τελειότητα, ἐφόσον βέβαια στὰ αἰώνια κι ἀσώματα ὄντα οἱ ὑπάρχουσες ἠρεμίες καὶ ἡσυχίες καὶ οἱ διακοπὲς τῶν ἐνεργειῶν προκαλοῦν τὴν καταφύση ἐνέργεια ποὺ προξενεῖ τὴν ἀταραξία καὶ τὴν τελειότητα σ' ἑνότητα.

Ἀπόπαυσιν: Εἶναι ἀδύνατο νὰ ἑνωθεῖ κάποιος μὲ τὸν Θεὸ καὶ νὰ γίνει κατὰ κάποιο τρόπο θεός, ἂν δὲν σταματήσει τὶς ὑλικὲς ἐνέργειες τῆς αἴσθησης καὶ τῆς διάνοιας.

Τῶν ὄντων ἀφαιρέσεως: Ἀφαίρεσιν πάντων τῶν ὄντων καλεῖ τὸ πρὸς μηδὲν τῶν ὄντων παραβάλλειν τὸ Θεῖον, ἀλλὰ λέγει, ὅτι οὐ σῶμα, οὐχ ἕξις, οὐ δύναμις, καὶ τὰ λοιπὰ πάντα, καθὼς διὰ τῶν ἑξῆς ἐσήμανεν.

Αὐτὸ δὲ οὐδέν: Τὸ οὐδὲν εἶναι τὸν Θεὸν οὕτω νοητέον, ὡς τῶν ὄντων μηδὲν ὄντα· ὑπὲρ γὰρ τὰ ὄντα ὁ αἴτιος τῶν ὄντων· ὅθεν ὁ Θεὸς καὶ πανταχοῦ καὶ οὐδαμοῦ θεολογεῖται· ἐπεὶ γοῦν οὐδαμοῦ ἐστι, πάντα μὲν δι' αὐτοῦ, καὶ ἐν αὐτῷ, ὡς μὴ ὄντι μηδὲν τῶν πάντων· καὶ ἐν αὐτῷ πάλιν, ὡς πανταχοῦ ὄντι, ἕτερα δὲ δι' αὐτοῦ τὰ πάντα, ὅτι αὐτὸς οὐδαμοῦ· καὶ πληροῖ μὲν τὰ πάντα, ὡς πανταχοῦ ὤν, κατὰ τὸν προφήτην, οὐδαμοῦ δέ ἐστι καθ' ἕτερον λέγοντα· «ἢ ποῖος τόπος τῆς καταπαύσεώς μου;». Εἰ γὰρ μόνον ἦν πανταχοῦ, αὐτὸς ἂν ἦν τὰ πάντα καὶ ἐν πᾶσι τοπικῶς· οὕτως οὖν καὶ οὐδέν, ὡς ὑπὲρ τὰ ὄντα.

Ἀλλ' ὡς πάσης ἕξεως: Ἕξις μέν ἐστι διάθεσις ἔμμονος· κίνησις δέ ἐστι τὸ ἀντιδιαστελλόμενον τῇ ἠρεμίᾳ μετὰ πολλῶν τιθέμενον· ζωὴ δέ, τὸ ταῦτα δεικνύον ἐνεργά· φαντασία δὲ τὸ ἐν διανοίᾳ ἀνατυπωτικόν· δόξα δέ, πεπληροφορημένη ὑπόληψις· διαφέρει δὲ νόησις διανοίας, ὅτι τὸ μὲν ἔστιν ἐπὶ τοῦ διανοητικοῦ τῆς ψυχῆς, τὸ δὲ τὴν τοῦ διανοητικοῦ κίνησιν δηλοῖ. Ταῦτα δὲ πάντα καὶ τὰ ἄλλα ὅσα τούτοις συγκατείλεκται οὐκ οὐσία ἐστίν, ἀλλὰ περὶ οὐσίαν ὁρᾶται· ὅθεν καὶ διεῖλεν αὐτὴν ἀπὸ τούτων.

Τῆς θεαρχίας πρόνοια: Ἐκ τούτων αἱ ἀνόητοι δόξαι ἐκλύονται τῶν τολμησάντων λέγειν τὸ δημιουργικὸν φύσει τινὶ ἐνεῖναι τῷ Θεῷ, ὡς καὶ τοῖς ἀραχνίοις τὸ ὑφαίνειν· φησὶ γὰρ διὰ μόνην ἀγαθότητα τὸ πᾶν παραγαγεῖν τὸν Θεόν· διὸ καὶ πάντες

Τῶν ὄντων ἀφαιρέσεως: Ἀφαίρεση ὅλων τῶν ὄντων καλεῖ τὸ ὅτι τὸ Θεῖο δὲν παραβάλλεται μὲ κανένα ἀπὸ τὰ ὄντα, ἀλλὰ λέει ὅτι δὲν εἶναι σῶμα, οὔτε ἕξη, οὔτε δύναμη καὶ ὅλα τὰ ἄλλα, ὅπως δήλωσε μὲ τὰ παρακάτω.

Αὐτὸ δὲ οὐδέν: Ὅτι ὁ Θεὸς δὲν εἶναι τίποτε πρέπει νὰ τὸ ἐννοήσομε ὡς ἑξῆς, ὅτι δὲν εἶναι κανένα ἀπὸ τὰ ὄντα· γιατὶ εἶναι πάνω ἀπὸ ὅλα τὰ ὄντα ὁ αἴτιος τῶν ὄντων. Γι' αὐτὸ καὶ ὁ Θεός, θεολογοῦν οἱ θεολόγοι, ὅτι εἶναι καὶ παντοῦ καὶ πουθενά. Ἐπειδὴ λοιπὸν δὲν εἶναι πουθενά, ὅλα ἔγιναν ἀπὸ αὐτὸν καὶ εἶναι μέσα σ' αὐτόν, ἐπειδὴ δὲν εἶναι κανένα ἀπὸ τὰ πάντα. Καὶ εἶναι μέσα σ' αὐτὸν πάλι, ἐπειδὴ εἶναι παντοῦ καὶ ὅλα τὰ ἄλλα ἔγιναν ἀπὸ αὐτόν, ἐπειδὴ αὐτὸς δὲν εἶναι πουθενά. Καὶ γεμίζει τὰ πάντα ἐπειδὴ βρίσκεται παντοῦ, κατὰ τὸν προφήτη· καὶ δὲν εἶναι πουθενὰ σύμφωνα μὲ ἄλλον προφήτη ποὺ λέει· «ἢ ποιός εἶναι ὁ τόπος τῆς κατάπαυσής μου;»[23]. Γιατί, ἂν μόνο βρισκόταν παντοῦ, αὐτὸς θὰ ἦταν τὰ πάντα καὶ μέσα στὰ πάντα τοπικά. Ἔτσι λοιπὸν εἶναι καὶ κανένα, ἐπειδὴ εἶναι πάνω ἀπὸ τὰ ὄντα.

Ἀλλ' ὡς πάσης ἕξεως: Ἕξη εἶναι μιὰ ἐπίμονη διάθεση· κίνηση εἶναι τὸ ἀντίθετο τῆς ἠρεμίας καὶ παρατηρεῖται σὲ πολλά. Ζωὴ εἶναι αὐτὸ ποὺ τὸ ἀναδεικνύει ἐνεργά· φαντασία εἶναι αὐτὸ ποὺ ἐντυπώνει στὸ νοῦ· γνώμη εἶναι μιὰ σχηματισμένη ἀντίληψη. Ἡ νόηση διαφέρει ἀπὸ τὴ διάνοια, γιατὶ ἡ διάνοια λέγεται γιὰ τὴ διανοητικὴ ἱκανότητα τῆς ψυχῆς, ἐνῶ ἡ νόηση δείχνει τὴν κίνηση τῆς διάνοιας. Ὅλα αὐτὰ καὶ τὰ ἄλλα ὅσα συγκαταλέγονται μ' αὐτὰ δὲν εἶναι οὐσία ἀλλὰ ὅσα βλέπομε γύρω ἀπὸ τὴν οὐσία. Γι' αὐτὸ καὶ τὴν ξεχώρισε ἀπὸ αὐτά.

Τῆς θεαρχίας πρόνοιαν: Ἀπὸ αὐτὰ ἐξαπολύονται οἱ ἀνόητες γνῶμες ὅσων τόλμησαν νὰ ποῦν ὅτι ἡ δημιουργικὴ ἱκανότητα ὑπάρχει στὸν Θεὸ ἐξαιτίας κάποιας φύσης, ὅπως γιὰ παράδειγμα καὶ στὶς ἀράχνες τὸ νὰ ὑφαίνουν. Γιατὶ λέει ὅτι ὁ Θεὸς

23. Ἠσ. 64,1. Πράξ. 7,49.

οἱ θεολόγοι ἐκ μὲν τῶν αὐτοῦ τοῦ Θεοῦ, τουτέστιν ἐκ τῆς οὐσίας αὐτοῦ, οὐ τολμῶσιν ὑμνεῖν αὐτόν, ἀνεπίγνωστα γάρ, ἀλλ' ἐκ τῆς εἰς τὰ ἔξω προόδου, ἥτις ἐστὶ πρόνοια, τὰ αἰτιατά, τουτέστι τὰ ἐξ αἰτίου αὐτοῦ συστάντα, τὴν περὶ τὰ πάντα πρόνοιαν τοῦ Θεοῦ ὑμνολογοῦσι· τὰ γὰρ πάντα τῆς θείας προνοίας ἐφίεται, δι' ἧς καὶ ὑπάρχει καὶ συνίσταται, ἀλλὰ τὰ μὲν νοερὰ καὶ λογικὰ γνωστικῶς· νοερὰ δὲ λέγεται, ὅσα διὰ τὸ νοῦς εἶναι, νοεῖ τὰ ὑπερκείμενα νοητά· νοητὸν γάρ ἐστι τὸ νοούμενον, ὅπερ καὶ τροφή ἐστι τοῦ νοεροῦ ἀντὶ τούτου νοοῦντος. Ὅσα οὖν κατὰ τὸ νοερὰ εἶναι ἅτε νοῦς νοεῖ, ταῦτα λογικὰ ὄντα, γνωστικῶς ἐπιβάλλοντα τῇ τοῦ Θεοῦ προνοίᾳ ἀναλόγως ἐφίεται τοῦ Θεοῦ· ὅσα δὲ ὑποβέβηκε τὰ νοερά, καὶ εἰσὶ ψυχὴ αἰσθητική, θηρίων λέγω καὶ πάντων, ἐμψύχων μὲν σωμάτων, ἀλόγων δέ, ὧν ἡ ψυχὴ ἐκ τῶν στοιχείων καὶ τοῦ ἐνύλου πυρὸς συνεστῶσα, ἐν πνεύματι ἐνύλῳ ἔχει τὸ εἶναι· ταῦτα, μόνον ἐκ τῆς αἰσθήσεως συνελαυνόμενα εἰς τὸ πεινῆν καὶ διψῆν, ἐφίεται εἰκότως αἰσθητῶς τοῦ χορηγοῦντος, ὡς τό· «πάντα πρὸς σὲ προσδοκῶσι τοῦ δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον»· καὶ τοιαῦτα πολλὰ καὶ παρὰ τῷ Ἰὼβ καὶ τῷ Δαυὶδ εὑρήσεις. Καὶ τὰ ἄλλα μέντοι ὅσα τὴν φυτικήν, ἤτοι ζωτικήν, μόνην ἀναισθήτως τε καὶ ἀψύχως ἔχει κίνησιν, ὡς τὰ φυτὰ πάντα καὶ βοτάναι πᾶσαι, ἅτινα καὶ ζωτικὸν πνεῦμα μόνον συνιστῶν ἔχουσι, τὴν ἑαυτῶν οὐσίαν ἄνευ αἰσθήσεως, ὡς τὰ δένδρα πάντα, ὡς εἴρηται, καὶ τὰ τοιαῦτα κατὰ τὸ ἀποξηραίνεσθαι τοῦ φυτικοῦ πνεύματος στερούμενα, δι' οὗ κονοῦνται πρὸς αὔξην καὶ εὐθάλειαν· διὰ τοῦτο δοκεῖ καὶ ταῦτα ἐφίεσθαι τῆς θείας προνοίας, ἐφ' ᾧ καὶ συνεστάναι καὶ ἀνθεῖν· ὅθεν καὶ ταῦτα παραλαμβάνεται ἐν τῷ ρμη'

δημιούργησε τὸ σύμπαν ἀπὸ τὴν ἀγαθότητά του μόνο. Γι' αὐτὸ κι ὅλοι οἱ θεολόγοι ἀπὸ αὐτὰ ποὺ συνιστοῦν τὸν Θεό, δηλαδὴ ἀπὸ τὴν οὐσία του, δὲν τολμοῦν νὰ τὸν ὑμνήσουν, γιατὶ εἶναι ἀδιάγνωστα, ἀλλὰ ἀπὸ τὴν ἐκδήλωσή του πρὸς τὰ ἔξω, ποὺ εἶναι πρόνοια, τὰ αἰτιατὰ (τ' ἀποτελέσματα), ὅσα δηλαδὴ ἔλαβαν ὕπαρξη ἀπὸ αὐτὸν σὰν αἴτιο, ὑμνολογοῦν τὴν πρόνοια τοῦ Θεοῦ γιὰ τὰ πάντα. Γιατὶ ὅλα ποθοῦν τὴ θεία πρόνοια, χάρη στὴν ὁποία ἔλαβαν καὶ ὕπαρξη καὶ σύσταση, ἀλλὰ μὲ κάποια διαφορά. Τὰ νοερὰ λογικὰ ποθοῦν γνωστικῶς. Νοερὰ λέγονται ὅσα, ἐξαιτίας τοῦ ὅτι εἶναι νοῦς, νοοῦν τὰ πάνω ἀπὸ αὐτὰ νοητά· καὶ νοητὸ εἶναι αὐτὸ ποὺ νοεῖται ποὺ εἶναι καὶ τροφὴ τοῦ νοεροῦ ποὺ νοεῖ τρεφόμενο ἀπὸ αὐτό. Ὅσα λοιπὸν σύμφωνα μὲ τὸ ὅτι εἶναι νοερά, ἐπειδὴ εἶναι νοῦς νοοῦν, αὐτὰ ἐπειδὴ εἶναι λογικά, προσεγγίζοντας γνωστικὰ τὴν πρόνοια τοῦ Θεοῦ, ποθοῦν ἀνάλογα τὸν Θεό. Ὅσα ὅμως εἶναι πιὸ κάτω ἀπὸ τὰ νοερὰ καὶ εἶναι ψυχὴ αἰσθητή, καὶ ἐννοῶ καὶ τῶν θηρίων καὶ ὅλων, σωμάτων ἔμψυχων, ἀλόγων ὅμως, ποὺ ἡ ψυχή τους ἔχοντας τὴ σύστασή της ἀπὸ τὰ στοιχεῖα καὶ τὸ ἔνυλο πῦρ, ἔχει τὸ εἶναι της σὲ πνεῦμα ἔνυλο, αὐτά, κινούμενα μόνο ἀπὸ τὴν αἴσθηση πρὸς τὴν πείνα καὶ τὴ δίψα, ποθοῦν αἰσθησιακὰ ὅπως εἶναι φυσικὸ τὸ χορηγό τους, ὅπως λέει τὸ Ψαλμικό, «ὅλα ἔχουν σ' ἐσένα στραμμένη τὴν προσδοκία τους, νὰ τοὺς δώσεις τὴν τροφή τους ὅταν τοὺς χρειάζεται»[24]. Τέτοια θὰ βρεῖς πολλὰ καὶ στὸν Δαβὶδ καὶ στὸν Ἰώβ. Καὶ τὰ ἄλλα ὅμως, ὅσα ἔχουν τὴ φυσικὴ μόνο, δηλαδὴ τὴ ζωτικὴ κίνηση χωρὶς αἴσθηση καὶ ψυχή, ὅπως ὅλα τὰ φυτὰ καὶ τὰ χόρτα, ποὺ καὶ μόνο τὴ ζωτικὴ πνοὴ ἔχουν συστατικὸ στοιχεῖο τῆς οὐσίας τους χωρὶς αἴσθηση, ὅπως ὅλα τὰ δέντρα, ὅπως εἶπα, καὶ τὰ παρόμοια, χάνουν κι αὐτά, ὅταν ξηραίνονται, τὴ φυσικὴ πνοή, ποὺ τὰ κάνει νὰ μεγαλώσουν καὶ νὰ θάλλουν. Γιὰ τοῦτο φαίνονται ὅτι κι αὐτὰ ποθοῦν τὴ θεία

---

24. Ψαλμ. 103,22.

ψαλμῷ αἰνεῖν τὸν Θεόν, διὰ τῆς αὐτοῦ συστάσεως. Μετέχει οὖν καὶ ταῦτα τῆς ἀφάτου προνοίας, ἀλλὰ κατὰ μόνον τὸ ζῆν, εἰ καὶ ἀψύχως καὶ ἀναισθήτως, καὶ κατὰ τὴν ἑκτικὴν ἐπιτηδειότητα, ἥτις ἐστὶν ἰδιότης τῆς δυνάμεως· ἕξις γὰρ λέγεται ἡ ἔμμονος ποιότης, καθ' ἣν διάθεσιν καὶ δύναμιν ποιόν τι λέγεται· κατὰ ταύτην οὖν τὴν ἕξιν τῆς φυτικῆς ζωῆς εἰς αὔξησιν καὶ κίνησιν μόνον μετέχοντα οὐσιοειδῶς τε καὶ ἑκτικῶς, ἀψύχως δὲ καὶ ἀναισθήτως, λέγεται ἐφίεσθαι τῆς ἀγαθότητος τοῦ Θεοῦ.

Τὰ μὲν νοερά: Νοερὰ μὲν τὴν ἀγγελικὴν φύσιν, λογικὰ δὲ τὴν ἀνθρωπίνην φησί· τὰ δὲ τούτων ὑφειμένα τὴν ἄλογον, ἥτινι μόνον τὸ αἰσθητικὸν πρόσεστι. Διὸ καὶ αἰσθητῶς εἶπε, τουτέστιν αἰσθητικῶς· τὰ δὲ ἄλλα, ἤγουν τὰ φυτὰ καὶ ὅσα πάντῃ ἄψυχα καὶ ἀκίνητα, τὰ μέν φησι κατὰ τὴν ζωτικὴν κίνησιν, τουτέστι τὴν θρεπτικήν τε καὶ αὐξητικήν, ταῦτα γὰρ δὴ ἐν τοῖς φυτοῖς πρόσεισι, τὰ δὲ ἄψυχα ἐν τῷ ἔχειν ἐν ἑαυτοῖς τὸ ὅλως εἶναι· τοῦτο γὰρ εἶπεν οὐσιώδη καὶ ἑκτικὴν ἐπιτηδειότητα.

§ 6. Ὡς αἰώνιον: Ὅρα πῶς σαφῶς ἐκ τῶν αἰτιατῶν καὶ κτιστῶν τὸν ἁπάντων ἀνώτατον ὑμνολογοῦσιν· αἰώνιον μέν φασι τὸν τῶν αἰώνων ποιητὴν καὶ τῷ ὄντι αἰῶνα, εἴ γε ὁ ἀεὶ ὢν αὐτός ἐστιν, ὅθεν καὶ αἰὼν λέγεται· αἰώνιον δέ ἐστιν οὐκ αὐτὸς ὁ αἰών, ἀλλὰ τὸ αἰῶνος μετέχον· καὶ γοῦν φησιν ὁ Ἡσαΐας· «ὁ Θεὸς ὁ αἰώνιος, ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς»· ὁ δὲ Θεὸς οὐ δεύτερός ἐστι τοῦ αἰῶνος, ἵνα καὶ μετέχῃ αὐτοῦ, ἀλλ' αἰώνων ποιητής.

πρόνοια κι ὁ πόθος αὐτὸς τὰ κάνει νὰ ὑπάρχουν καὶ ν' ἀνθοῦν. Γι' αὐτὸ κι αὐτὰ λέγεται στὸν ψαλμὸ ἑκατὸν σαράντα ὀκτὼ ὅτι ὑμνοῦν τὸν Θεό, ἐπειδη τοὺς ἔδωσε τὴν ὕπαρξή τους. Μετέχουν λοιπὸν κι αὐτὰ τὴν ἀνείπωτη πρόνοιά του, ἀλλὰ μονάχα ὡς πρὸς τὸ ζῆν, ἂν καὶ χωρὶς ψυχὴ καὶ χωρὶς αἴσθηση καὶ ὡς πρὸς τὴν ἱκανότητα τῆς ἕξης, ποὺ εἶναι γνώρισμα τῆς δύναμης. Γιατὶ ἕξη λέγεται μιὰ σταθερὴ ποιότητα, κατὰ τὴν ὁποία διάθεση καὶ δύναμη λέγεται κάτι πὼς εἶναι τέτοιου ποιοῦ. Σύμφωνα λοιπὸν μ' αὐτὴ τὴν ἕξη–ποιότητα τῆς φυτικῆς ζωῆς μετέχοντας σὲ αὔξηση μόνο καὶ κίνηση τὴν οὐσία καὶ τὴν ἕξη, χωρὶς ὅμως ψυχὴ καὶ αἴσθηση, λέγεται ὅτι ποθοῦν τὴν ἀγαθότητα τοῦ Θεοῦ.

Τὰ μὲν νοερά: Νοερὰ ὄντα χαρακτηρίζει τὴν ἀγγελικὴ φύση, λογικὰ τὴ φύση τῶν ἀνθρώπων. Τὰ κάτω ἀπὸ αὐτὰ τὰ εἶπε ἄλογη φύση, ποὺ χαρακτηρίζεται μόνο ἀπὸ τὸ αἰσθητικό, γι' αὐτὸ καὶ χρησιμοποίησε τὸ ἐπίρρημα αἰσθητῶς, δηλαδὴ αἰσθητικὰ (αἰσθησιακά). Τὴ φύση τῶν ἄλλων, δηλαδὴ τὰ φυτὰ καὶ ὅσα εἶναι τελείως ἄψυχα κι ἀκίνητα, τὰ χαρακτηρίζει ἄλλα μὲ τὴ ζωτικὴ μόνο κίνηση, τὴ θρεπτικὴ δηλαδὴ καὶ τὴν αὐξητική, γιατὶ αὐτὰ προσιδιάζουν στὰ φυτά, ἐνῶ τὰ ἄψυχα μὲ τὸ ὅτι ἔχουν τὸ γενικὸ εἶναι· γιατὶ αὐτὸ τὸ εἶπε ἱκανότητα τῆς οὐσίας καὶ τῆς ἕξης.

Ὡς αἰώνιον: Πρόσεχε μὲ πόση σαφήνεια ὑμνολογοῦν τὸν ὑπέρτατο ὅλων ἀπὸ τὰ ἀποτελέσματα καὶ τὰ δημιουργήματα. Αἰώνιο ὀνομάζει τὸν ποιητὴ τῶν αἰώνων καὶ πραγματικὸ αἰώνα, ἀφοῦ αὐτὸς εἶναι ὁ αἰώνια ὑπάρχων, γεγονὸς ἀπὸ τὸ ὁποῖο λέγεται καὶ αἰών· αἰώνιο δὲν εἶναι ὁ ἴδιος ὁ αἰώνας, ἀλλ' ὅ,τι μετέχει τοῦ αἰώνα. Καθόσον λέει ὁ Ἠσαΐας· «ὁ Θεὸς ὁ αἰώνιος ποὺ κατασκεύασε τὰ πέρατα τῆς γῆς»[25]. Ὁ Θεὸς δὲν εἶναι κατώτερος ἀπὸ τὸν αἰώνα, γιὰ νὰ μετέχει κι αὐτοῦ, ἀλλὰ εἶναι ποιητὴς τῶν αἰώνων.

25. Ἠσ. 40,28.

Ὡς ἀγήρω: Κατὰ τό, «Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν».

Ὡς ἐν αὔρᾳ: Τοῦτό ἐστι τὸ εἰρημένον ἐν Βασιλείαις, ὅτι οὔτε ἐν τῷ συσσεισμῷ, οὔτε ἐν τῇ νεφέλῃ παρεγένετο ὁ Κύριος λαλῆσαι τῷ Ἠλίᾳ, ἀλλὰ φωνῇ αὔρας λεπτῇ καλεῖ ὁ Κύριος· τοῦτο δὲ δηλοῖ, ὅτι καὶ ἐν σώματί φησιν εἶναι τὸν Θεόν, τὸν ἐν τοῖς πᾶσιν ἀπερίληπτον· ἡ γὰρ πνοὴ καὶ παρὰ πάντων μετέχεται, καὶ ἐν πᾶσίν ἐστι, καὶ παρ' οὐδενὸς ἐμπεριλαμβάνεται, ὡς καὶ ἐν Εὐαγγελίοις φησὶν ὁ Κύριος· «Πνεῦμα ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν Πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν».

§ 7. Καὶ τὸ ἀνώνυμον: Ἀνώνυμον διὰ τὸ πάντα εἶναι καὶ μηδὲν τῶν ὄντων εἶναι, ἀλλὰ πάντα ἐξ αὐτοῦ εἶναι, ὡς αὐτὸς ἑαυτὸν ἐξηγεῖται.

Ὡς ἀρχῆς: Ἀρχῆς μέν, ὡς τὸ εἶναι παρασχομένης, πέρατος δέ, ὡς ἐν τῷ εἶναι συνεχούσης.

Τὰ πάντα ἐν πᾶσι: Πάντα δὲ τὰ ὄντα, διὰ τὸ ἐξ αὐτοῦ εἶναι τὰ πάντα.

Καὶ ἑστία. Ἑστίαν αὐτὸν πάντων ἔφη, ὡς οἴκησιν ὄντα πάντων τῶν ἁγίων, ὡς αὐτὸς ὁ Κύριός φησιν, «μείνατε ἐν ἐμοί»· ὥσπερ γὰρ ναὸς αὐτοῦ ἐσμεν κατὰ τό, «ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω», οὕτω καὶ αὐτὸς οἶκος ἡμῶν ἐστι· καλῶς δὲ εὐθὺς ἐπήγαγε τὸ 'ἡνωμένως'· ἐπειδὴ γὰρ εἶπεν, αὐτὸν εἶναι πάντα καὶ ἐν αὐτῷ τὰ πάντα, ἵνα μή τις, εἰς σύνθεσιν τὸν νοῦν καταγαγών, ἐκπέσοι τῆς ἀληθείας, ὑπονοῶν ἅπαντα συμφορεῖσθαι σωρηδὸν ἐν τῷ Θεῷ, ἢ κατὰ τὴν σύνθεσιν τὸν Θεὸν εἶναι τὰ πάντα, ταχέως ἐθεράπευσε τὸ ἀπεμφαῖνον, εἰπὼν

---

26. Ψαλμ. 101,28. 27. Γ' Βασ. 19,11.

Ὡς ἀγήρω: Σύμφωνα μὲ τὸ λεγόμενο, «Ἐσὺ εἶσαι ὁ ἴδιος καὶ δὲ θὰ σοῦ λείψουν τὰ χρόνια»[26].

Ὡς ἐν αὔρᾳ: Αὐτὸ εἶναι ἐκεῖνο ποὺ λέγεται στὰ βιβλία τῶν Βασιλειῶν· «δὲν ἦρθε ὁ Κύριος οὔτε μέσα σὲ σεισμὸ»[27] οὔτε μέσα στὰ σύννεφα γιὰ νὰ μιλήσει στὸν Ἠλία, ἀλλὰ τὸν καλεῖ ὁ Κύριος μὲ λεπτὸ ψίθυρο αὔρας. Αὐτὸ φανερώνει ὅτι λέει πὼς ὁ Θεὸς εἶναι καὶ μέσα στὸ σῶμα, ὁ Θεὸς ποὺ δὲν περιλαμβάνεται σ' ὁλόκληρο τὸ σύμπαν. Ἡ πνοὴ βέβαια καὶ ἀπὸ ὅλα μετέχεται καὶ μέσα σὲ ὅλα βρίσκεται, ἀλλὰ καὶ ἀπὸ κανένα δὲν περικλείεται, ὅπως λέει ὁ Κύριος καὶ μέσα στὰ Εὐαγγέλια· «ὁ Θεὸς εἶναι Πνεῦμα καὶ ὅσοι τὸ προσκυνοῦν πρέπει νὰ τὸν προσκυνοῦν μὲ προσκύνηση πνευματικὴ κι ἀληθινή»[28].

Καὶ τὸ ἀνώνυμον: Ἀνώνυμος λέγεται ἐπειδὴ εἶναι ὅλα τὰ ὄντα καὶ κανένα ἀπὸ τὰ ὄντα, ἀλλὰ τὰ πάντα προῆλθαν ἀπὸ αὐτόν, ὅπως ἐξηγεῖ ὁ ἴδιος τὸν ἑαυτό του[29].

Ὡς ἀρχῆς: Ἀρχὴ εἶναι ἐπειδὴ ἔχει δώσει τὸ εἶναι, ἐνῶ πέρας, ἐπειδὴ συγκρατεῖ τὰ ὄντα μέσα στὸ εἶναι.

Τὰ πάντα ἐν πᾶσι: Ὅλα τὰ ὄντα, ἐπειδὴ ὅλα προέρχονται ἀπὸ αὐτόν.

Καὶ ἑστία: Τὸν ὀνόμασε ἑστία ὅλων, ἐπειδὴ εἶναι τὸ κατοικητήριο ὅλων τῶν ἁγίων, ὅπως λέει ὁ ἴδιος ὁ Κύριος, «μείνετε σ' ἐμένα»[30]. Ὅπως εἴμαστε ναός του σύμφωνα μὲ τὴ ρήση, «θὰ κατοικήσω μέσα σ' αὐτοὺς καὶ θὰ περπατήσω μέσα τους»[31], ἔτσι κι ἐκεῖνος εἶναι τὸ σπίτι μας. Καὶ ὀρθὰ πρόσθεσε εὐθὺς τὸ ἐπίρρημα 'ἡνωμένως'· ἐπειδὴ εἶπε δηλαδὴ ὅτι αὐτὸς εἶναι τὰ πάντα καὶ μέσα σ' αὐτὸν ὑπάρχουν τὰ πάντα, γιὰ νὰ μὴ σκεφτεῖ κανένας ὅτι πρόκειται γιὰ σύνθεση καὶ ἀστοχήσει στὴν ἀλήθεια, ὑποθέτοντας ὅτι ὅλα εἶναι ἀνακατεμένος σωρὸς μέσα στὸν Θεό, ἢ ὅτι ὁ Θεὸς εἶναι τὰ πάντα σύμφωνα μὲ σύνθεση, θεραπεύει γρήγορα τὸν παραλογισμὸ λέγοντας 'ἡνωμένα',

28. Ἰω. 4,24. 29. Β' Κορ. 5,18.
30. Ἰω. 15,4. 31. Β' Κορ. 6,16.

«ἡνωμένα», τουτέστιν ἐν τῇ οἰκείᾳ ἑνάδι, μᾶλλον δὲ ὑπὲρ ἑνάδα μείναντα ὑπερηπλωμένον ἀμερῶς καὶ ἀμιγῶς τοῖς οὖσιν εἶναι τὰ πάντα καὶ ἐν πᾶσιν· ἀλλὰ καὶ ἀσχέτως ἐστὶν ἐν πᾶσιν, ἀντὶ τοῦ, ὑπ' οὐδενὸς κατεχόμενος ἢ περιγραφόμενος σωματικῶς, ἐξῃρημένως δὲ μᾶλλον· ἔξω γάρ ἐστι τῶν ἁπάντων, οὐδαμοῦ ὤν, ἐξ αὐτοῦ πάντων ὄντων, καὶ αὐτὸς ἐν πᾶσιν· ἐξ αὐτοῦ γὰρ τὰ πάντα συνέστηκε.

Πάντα δὲ ἁπλῶς: Τουτέστιν ἀσυνθέτως· ἐν οὐδενὶ γὰρ τῶν ὄντων συνετέθη ἢ σωματικῶς ἡνώθη, εἰ μὴ ἐν τῷ καιρῷ τῆς οἰκονομίας.

§ 8. Θείων φασμάτων: Ὅτι φάσματα καλεῖ τὰς ἐν συμβόλοις ἀποκαλύψεις τοῦ Θεοῦ, καὶ τὸ πῶς αὐτὸ λέγει, σημείωσαι.

Ἀνακτόροις: Ἕλληνες ἀνάκτορα ἐκάλουν τῶν παρ' αὐτοῖς θεῶν τὰ τεμένη· ἐμφαίνει οὖν ὁ ἅγιος ἐν τούτοις τὸ παρὰ τῷ Ἡσαΐᾳ· δοκεῖ γὰρ ἐν τῷ ναῷ ὑπαγορεύειν αὐτὸν ἑωρακέναι τὴν θείαν ἐκείνην δόξαν καὶ ὄψιν, τὴν τοῦ σεραφίμ· τὰ δὲ ἑξῆς εἴρηται διὰ τὴν τοῦ Ἰεζεκιὴλ ὅρασιν, τὴν ἐν Βαβυλῶνι, καὶ ἑτέρας τινὰς θεωρίας.

Καὶ θώκους: Θρόνους.

Συμβολικῇ θεολογίᾳ: Ἄλλο σύνταγμα ὑπισχνεῖται γράφειν, ὅπερ καλεῖ Συμβολικὴν θεολογίαν.

Ὁ ἱεράρχικός: Σημείωσαι, ὅτι μάλιστα ἱερεῦσι πρέπει θεωρεῖν τὴν θείαν Γραφήν.

Θεοειδεῖς: Ἀντὶ τοῦ θεοφανεῖς.

Καὶ ὦτα ἱερά. Ὦτα διεντέλλεται ἱερὰ τοῖς ἁγίοις παρατίθεσθαι, τουτέστιν ἀκοὴν εὐσεβῆ καὶ ἀξίαν τῶν ἁγίων.

Ἀμύστων: Τουτέστι τῶν ἀμυήτων· ὅτι ὁ μετὰ γέλωτος καὶ ἐμπαιγμῶν τῶν θείων ἀκούων λογίων ἢ τῶν περὶ αὐτὰ ἑρμηνειῶν, ὡς θεομάχος κρίνεται. Τιμοθέῳ δὲ γράφει καὶ ὁ Ἀπόστολος, ὅτι οὐ δεῖ τοῖς μὴ δεχομένοις τὸν λόγον ἐν ἀληθείᾳ λαλεῖν περὶ τοιούτων.

δηλαδὴ μένοντας μέσα στὴν ἑνότητά του, ἢ μᾶλλον πάνω ἀπὸ τὴν ἑνότητα, καὶ ὅτι πέρα ἀπὸ τὴν ἁπλότητα χωρὶς μέρη καὶ χωρὶς ἀνάμιξη εἶναι τὰ πάντα μέσα στὰ πάντα. Ἀλλὰ καὶ χωρὶς σχέση μ' αὐτὰ εἶναι μέσα στὰ πάντα, χωρὶς σχέση, ἀντὶ νὰ πεῖ χωρὶς νὰ κατέχεται ἀπὸ κανένα ἢ νὰ περιγράφεται σωματικά, ἀλλὰ μᾶλλον ξεφεύγοντας τὸ σῶμα. Γιατὶ εἶναι ἔξω ἀπὸ ὅλα, ἀφοῦ δὲν εἶναι πουθενά, ἐνῶ ἀπὸ αὐτὸν προέρχονται τὰ πάντα κι ὁ ἴδιος εἶναι μέσα στὰ πάντα. Γιατὶ ἀπὸ αὐτὸν ἔλαβαν ὅλα τὴ σύστασή τους.

Πάντα δὲ ἁπλῶς: Δηλαδὴ ἀσύνθετα. Γιατὶ μὲ κανένα ἀπὸ τὰ ὄντα δὲν ἀποτέλεσε σύνθεση οὔτε ἑνώθηκε μαζί του σωματικά, παρὰ μόνο στὸν καιρὸ τῆς οἰκονομίας.

Θείων φασμάτων: 'Φάσματα' (= φανερώματα) καλεῖ τὶς ἀποκαλύψεις τοῦ Θεοῦ, καὶ σημείωσε μὲ ποιό τρόπο τὸ λέει.

Ἀνακτόροις: Οἱ Ἕλληνες ἀνάκτορα καλοῦσαν τὰ τεμένη τῶν θεῶν τους. Δηλώνει λοιπὸν μὲ αὐτὰ ὁ ἅγιος αὐτὸ ποὺ λέει ὁ Ἠσαΐας. Γιατὶ φαίνεται ὅτι θέλει νὰ πεῖ πὼς εἶδε μέσα στὸ ναὸ ἐκείνη τὴ θεία ὄψη, τὴν ὄψη τοῦ σεραφίμ. Τὰ παρακάτω λέγονται γιὰ τὸ ὅραμα τοῦ Ἰεζεκιὴλ ποὺ εἶδε στὴ Βαβυλώνα, καὶ γιὰ μερικὰ ἄλλα ὁράματα.

Καὶ θώκους: Δηλαδὴ θρόνους.

Συμβολικῇ θεολογίᾳ: Ὑπόσχεται ὅτι θὰ γράψει ἄλλο ἔργο, ποὺ τὸ καλεῖ Συμβολικὴ θεολογία.

Ὁ ἱεραρχικός: Σημείωσε ὅτι κατεξοχὴν ἁρμόζει στοὺς ἱερεῖς νὰ ἑρμηνεύουν τὴ θεία Γραφή.

Θεοειδεῖς: Ἀντὶ θεοφανεῖς (= ποὺ φάνηκαν θεοί).

Καὶ ὦτα ἱερά: Παραγγέλλει νὰ στήνομε στοὺς ἁγίους εὐσεβῆ ἀκοὴ καὶ ἄξια στοὺς ἁγίους.

Ἀμύστων: Δηλαδὴ τῶν ἀμυήτων. Γιατὶ αὐτὸς ποὺ γελώντας καὶ χλευάζοντας ἀκούει τοὺς θείους λόγους ἢ τὶς ἑρμηνεῖες τους κρίνεται θεομάχος. Στὸν Τιμόθεο ὁ Ἀπόστολος γράφει ὅτι, σὲ ὅσους δὲ δέχονται τὸ λόγο, δὲν πρέπει νὰ μιλᾶς γι' αὐτὰ ὅπως στ' ἀλήθεια εἶναι.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ Β'

§1. Τὴν θεαρχικήν: Ἐκ τοῦ κεφαλαίου τούτου μάλιστα καὶ Ἀρειανοὶ καὶ Εὐνομιανοὶ τὸ ἀνόμοιον πρεσβεύοντες πολεμοῦνται, καὶ Νεστοριανοὶ δὲ καὶ Ἀκέφαλοι. Θεαρχικὴν δὲ ὅλην ὕπαρξίν φησι τῆς ἁγίας καὶ μόνης προσκυνητῆς Τριάδος τὴν ἐν τρισὶν ὑποστάσεσι γνωριζομένην θεότητα· ἔθος γὰρ αὐτῷ ὅλην θεότητα καλεῖν τὴν σεβασμίαν Τριάδα· αὕτη γὰρ καὶ τί ἐστιν ὅλη θεότης ἑαυτὴν ἀποκαλύπτουσα μετ' ἀφορισμοῦ τῶν προσώπων, τουτέστι μετὰ διαιρέσεως τοῖς ἁγίοις ἐφανέρωσε, τῶν τριῶν ὑποστάσεων τὰς ἰδιότητας ἐκφαίνουσα, ὅτι Πατὴρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα· οἱ γὰρ τρεῖς, μία καὶ ὅλη καὶ μόνη θεότης. Ἰστέον δέ, ὅτι ὕπαρξις μὲν κυρίως ἐπὶ Θεοῦ οὐ λέγεται· καὶ γάρ ἐστι προὕπαρξις, τουτέστι καὶ πρὸ αὐτῆς τῆς ὑπάρξεως· ἐπειδὴ δὲ πᾶσα ὕπαρξις ἐξ αὐτοῦ, ἐκ τῶν δι' αὐτοῦ φανέντων ὀνομάζεται, ἵνα νοηθῇ καὶ ὑπὲρ ταῦτα.

Ἀφορίζουσα: Τουτέστι γνωρίζουσα καὶ δεικνύουσα.

Τὴν θεαρχίαν: Σημείωσαι ὅτι, καὶ ἀνθρωπίνως λεχθείσης τῆς φωνῆς, τῇ θεότητι ταύτην ἀνατίθησι διὰ τὴν τοῦ προσώπου ἑνότητα.

Οὐ μερικῶς: Καλῶς τὸ 'οὐ μερικῶς'· αἱ γὰρ ἐνέργειαι καὶ πᾶσαι τῆς θεολογίας αἱ ὑμνολογίαι οὐχ ἑνὶ καὶ μόνῳ τῶν τῆς θείας Τριάδος προσώπων ἀποκληρωτικῶς ἀπονενέμηνται, ἀλλ' αὐταὶ μὲν κοιναί εἰσι τῆς Τριάδος, δίχα μόνης τῆς ἐνανθρωπήσεως· μόνη γάρ ἐστι τοῦ Υἱοῦ, ὡς ἐφεξῆς λέγει· μόναι δὲ αἱ χαρακτηριστικαὶ τῶν τριῶν ὑποστάσεων ἰδιότητες μερικῶς καὶ ἰδίως ἑκάστῃ ὑποστάσει πρόσεισιν, οἷον τῷ Πατρὶ τὸ Πατήρ, καὶ οὐκ ἄλλῳ τινί· οὕτω καὶ ἐπὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.

Καὶ ὁλοκλήρου: Σημείωσαι ὅλης θεότητος τὴν Τριάδα σημαίνεσαθαι.

Εἰ μὴ περὶ τῆς ὅλης: Σημείωσαι ὅτι, ὁ μὴ κοινὰς εἶναι λέ-

ΣΤΟ ΚΕΦΑΛΑΙΟ 2

§ 1. Τὴν θεαρχικήν: Ἀπὸ αὐτὸ τὸ κεφάλαιο κυρίως καταπολεμοῦνται καὶ οἱ Ἀρειανοὶ καὶ οἱ Εὐνομιανοὶ ποὺ πρεσβεύουν τὸ ἀνόμοιο, καὶ οἱ Νεστοριανοὶ καὶ οἱ Ἀκέφαλοι. Θεαρχικὴ λέει ὅλη τὴν ὕπαρξη τῆς ἁγίας καὶ μόνης προσκυνητῆς Τριάδας, τὴ θεότητα ποὺ διακρίνεται σὲ τρεῖς ὑποστάσεις. Καθόσον συνηθίζει αὐτὸς νὰ καλεῖ τὴ σεβάσμια Τριάδα 'ὅλη θεότητα'. Γιατὶ ἀποκαλύπτοντας τὸν ἑαυτό της καὶ τί εἶναι ὅλη θεότητα μὲ χωρισμὸ τῶν προσώπων, δηλαδὴ μὲ διαίρεση, φανέρωσε στοὺς ἁγίους, ἐξηγώντας τὶς ἰδιότητες τῶν τριῶν ὑποστάσεων, ὅτι εἶναι Πατέρας, Υἱὸς καὶ ἅγιο Πνεῦμα. Γιατὶ οἱ τρεῖς ὑποστάσεις εἶναι μία καὶ ὅλη καὶ μόνη θεότητα. Καὶ πρέπει νὰ γνωρίζομε ὅτι ὕπαρξη μὲ κυριολεξία δὲν λέγεται γιὰ τὸν Θεό, γιατὶ ὁ Θεὸς εἶναι προΰπαρξη, δηλαδὴ ὑπάρχει πρὶν ἀπὸ τὴν ὕπαρξη. Ἐπειδὴ ὅμως κάθε ὕπαρξη προέρχεται ἀπὸ αὐτόν, παίρνει τὸ ὄνομά του ἀπὸ ἐκεῖνα ποὺ ἦρθαν μέσω αὐτοῦ στὸ φῶς, ὥστε νὰ γίνει νοητὸς καὶ πάνω ἀπὸ αὐτά.

Ἀφορίζουσα: Δηλαδὴ γνωρίζοντας καὶ δείχνοντας.

Τὴν θεαρχίαν: Σημείωσε, ὅτι καὶ μὲ ἀνθρώπινο νόημα ἡ λέξη ἀποδίδεται στὴ θεότητα γιὰ τὴν ἑνότητα τῶν προσώπων.

Οὐ μερικῶς: Σωστὰ λέχθηκε τὸ 'μερικῶς'. Γιατὶ οἱ ἐνέργειες καὶ ὅλες οἱ ὑμνητικὲς ὀνομασίες τῆς θεολογίας δὲν ἀπονέμονται χωριστὰ σὲ ἕνα καὶ μόνο ἀπὸ τὰ πρόσωπα τῆς ἁγίας Τριάδας, ἀλλὰ ἀνήκουν ἀπὸ κοινοῦ στὴν ἁγία Τριάδα, ἐκτὸς μόνο ἀπὸ τὴν ἐνανθρώπηση. Γιατὶ αὐτὴ ἀναφέρεται μόνο στὸν Υἱό, ὅπως λέει στὴ συνέχεια. Καὶ μόνες οἱ χαρακτηριστικὲς ἰδιότητες τῶν τριῶν ὑποστάσεων ἀποδίδονται μερικὰ καὶ ἰδιαίτερα σὲ κάθε ὑπόσταση, ὅπως γιὰ παράδειγμα ἡ ἰδιότητα Πατέρας ἀποδίδεται στὸν Πατέρα καὶ ὄχι σὲ κάποιο ἄλλο. Τὸ ἴδιο συμβαίνει καὶ μὲ τὸν Υἱὸ καὶ τὸ ἅγιο Πνεῦμα.

Καὶ ὁλοκλήρου: Σημείωσε, ὅτι σημαίνεται ἡ Τριάδα τῆς θεότητας στὸ σύνολό της.

Εἰ μὴ περὶ τῆς ὅλης: Σημείωσε, ὅτι ὅποιος δὲν λέει ὅτι τὰ

γων τὰς θεωνυμίας, ἀποσχίζει ἀσεβῶς τὴν ἑνότητα τῆς προσκυνητῆς Τριάδος.

Τάδε λέγει ὁ ὤν: Σημειωτέον, ὅτι δέχεται τὴν Ἀποκάλυψιν τοῦ ἐν ἁγίοις Ἰωάννου τοῦ Εὐαγγελιστοῦ ὁ ἅγιος οὗτος Διονύσιος· ἐκεῖ γάρ ἐστι τὸ ῥητὸν τοῦτο. Ὅτι δέ, ὅτε ἦν ἐν Πάτμῳ ὁ θεῖος Εὐαγγελιστής, ὅπου καὶ τὴν Ἀποκάλυψιν εἶδεν, ἐγίνωσκεν ὁ ἅγιος Διονύσιος, καὶ τοῦτο μαθήσῃ κάτω ἐκ τῆς ι' ἐπιστολῆς, ἧς ἔγραψε πρὸς αὐτὸν τὸν ἅγιον Εὐαγγελιστὴν καὶ θεολόγον Ἰωάννην.

Προφητῶν: Ὁ Δαυὶδ τοῦτο λέγει.

Τὸ ὄν, ὃ παρὰ τοῦ Πατρός: Ἐπίσκεψαι, πῶς φησι τὴν χρῆσιν ταύτην· οὐ γὰρ φέρεται νῦν οὕτως.

Τὴν θεαρχίαν: Ἐν ἄλλοις θεαρχικὴν ζωήν.

Θεογόνου θεότητος. Σημείωσαι, ὅτι θεογόνον θεότητά φησι τὸν Πατέρα, καὶ υἱικὴν θεότητα τὸν Μονογενῆ.

Διεξοδικῶς: Ἀντὶ τοῦ πλατυτέρως.

Τὰ πάντα δι' αὐτοῦ: Σημείωσαι, ὅταν λέγῃ, ὅτι τὰ πάντα ἐκ τοῦ Θεοῦ ἐστι, περιληπτικῶς τὴν ὅλην θεότητα σημαίνει, τουτέστι τὴν ἁγίαν Τριάδα· ὅταν δὲ φῇ, «τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται», διεξοδικῶς περὶ τῶν ὑποστάσεων σημαίνει· τοῦτο γὰρ εἰς τὸν δημιουργικὸν Λόγον ἐδέξαντο πάντες.

Καὶ αὐτοῦ: Τοῦ Λόγου δηλονότι.

Κοινωνικῶς καὶ ἡνωμένως: Σημείωσαι, ὅτι κοινωνικῶς ἥνωται τὰ τῆς ἁγίας Τριάδος.

Τὰς θεουργίας: Οἷον τό, «Ἐγὼ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια»· τὸ σέβας, ὡς τό· «εἰς τὸ ἅγιον Πνεῦμα βλασφημήσαντι οὐκ ἀφεθήσεται»· τὸ δὲ τῶν δωρεῶν, ἤτοι τῶν χαρισμάτων, ἐν τῷ λέγειν· «λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς».

---

1. Κολ. 1,16. 2. Λουκᾶ 11,20.

θεῖα ὀνόματα εἶναι κοινά, διασπᾶ μὲ ἀσέβεια τὴν ἑνότητα τῆς προσκυνητῆς Τριάδας.

Τάδε λέγει ὁ ὤν: Πρέπει νὰ σημειωθεῖ, ὅτι ὁ ἅγιος Διονύσιος δέχεται τὴν Ἀποκάλυψη τοῦ ἁγίου Εὐαγγελιστῆ Ἰωάννη· γιατὶ ἐκεῖ ὑπάρχει τοῦτο τὸ ρητό. Καὶ ὅτι ὁ ἅγιος Διονύσιος γνώριζε ὅτι ὁ θεῖος Εὐαγγελιστὴς εἶδε τὴν Ἀποκάλυψη ὅταν ἦταν στὴν Πάτμο θὰ τὸ μάθεις κι αὐτὸ ἀπὸ τὴ δέκατη ἐπιστολή, ποὺ ἔγραψε στὸν ἴδιο τὸν ἅγιο Εὐαγγελιστὴ καὶ Θεολόγο Ἰωάννη.

Προφητῶν: Αὐτὸ τὸ λέει ὁ Δαβίδ.

Τὸ ὄν, ὃ παρὰ τοῦ Πατρός: Ἐξέτασε πῶς ἐννοεῖ αὐτὴ τὴ γνώμη· γιατὶ δὲν λέγεται τώρα μ' αὐτὸν τὸν τρόπο.

Τὴν θεαρχίαν: Σὲ ἄλλα (χειρόγραφα) λέει θεαρχικὴ ζωή.

Θεογόνου θεότητος: Σημείωσε ὅτι θεογόνο θεότητα ὀνομάζει τὸν Πατέρα καὶ υἱικὴ θεότητα τὸν Μονογενῆ.

Διεξοδικῶς: Ἀντὶ πλατύτερα.

Τὰ πάντα δι' αὐτοῦ: Σημείωσε, πῶς ὅταν λέει ὅτι τὰ πάντα προέρχονται ἀπὸ τὸν Θεό, δηλώνει περιληπτικὰ ὅλη τὴ θεότητα, δηλαδὴ τὴν ἁγία Τριάδα. Καὶ ὅταν λέει ὅτι «τὰ πάντα δημιουργήθηκαν ἀπὸ αὐτὸν καὶ γι' αὐτὸν»[1] μιλάει ἀναλυτικὰ γιὰ τὶς ὑποστάσεις. Γιατὶ δέχθηκαν ὅλοι ὅτι αὐτὸ ἀναφέρεται στὸν Δημιουργικὸ Λόγο.

Κατ' αὐτοῦ: Δηλαδὴ τοῦ Λόγου.

Κοινωνικῶς καὶ ἡνωμένως: Σημείωσε, ὅτι τὰ πρόσωπα τῆς ἁγίας Τριάδας βρίσκονται σὲ κοινωνία καὶ ἕνωση.

Τὰς θεουργίας: Ὅπως γιὰ παράδειγμα αὐτὸ ποὺ λέει, «Ἐγὼ μὲ τὸ Πνεῦμα τοῦ Θεοῦ βγάζω τὰ δαιμόνια»[2]· δείχνει τὸ σεβασμὸ ὅπως τό· «ὅποιος βλασφημήσει τὸ ἅγιο Πνεῦμα δὲ θὰ συγχωρηθεῖ»[3]. Δηλώνονται οἱ δωρεές, ἤτοι τὰ χαρίσματα, ὅταν λέει· «θὰ λάβετε δύναμη, ὅταν ἔρθει σ' ἐσᾶς τὸ ἅγιο Πνεῦμα»[4].

---

3. Λουκᾶ 12,10.
4. Πράξ. 1,8.

Τὴν πηγαίαν: Εἴρηται ἐν τοῖς Ψαλμοῖς, «ὅτι παρὰ σοὶ πηγὴ ζωῆς», καὶ ἐν Ἱερεμίᾳ, «Ἐμὲ ἐγκατέλιπον, πηγὴν ὕδατος ζῶντος». Ὁ οὖν Θεὸς λέγεται πηγή, οἱά τις μήτρα καὶ ἀρχὴ καὶ αἰτία τῶν φανέντων καὶ προελθόντων εἰς οὐσίαν ἁπάντων· ἃ γὰρ καλεῖν εἰώθασί τινες καθολικά, ἤτοι γένη ἢ ὅλα ἢ περιέχοντα, ἅτε περιληπτικὰ τῶν μερικῶν ἐξ αὐτῶν προόδων, ταῦτα αἱ θεῖαι Γραφαὶ 'πηγαίαν αἰτίαν' φασί· διὰ τὸ δημιουργικὸν τοίνυν καὶ ἀνέκλειπτον τῶν διὰ τοῦ Πνεύματος ὑφισταμένων, καὶ ὅτι τὸ Πνεῦμα τὸ ἅγιον καὶ αὐτὸ πάντων τῶν ὄντων αἴτιον, ὡς καὶ ἐν τῇ Σοφίᾳ εἴρηται, εἰκότως καὶ πηγαίαν αὐτὸ αἰτίαν θεολογεῖ· τὸ δὲ ἀνέκλειπτον τοῦ δημιουργεῖν ἐκεῖθεν νόησον εἰς τό· «ὁ Πατήρ μοι ἕως ἄρτι ἐργάζεταί, κἀγὼ ἐργάζομαι». Ὡσαύτως καὶ τὸ Πνεῦμα τὸ ἅγιον, σὺν τῷ Πατρὶ καὶ τῷ Υἱῷ ἀεὶ ἐργάζεται ἀνεκλείπτως· εἴρηται γάρ· «ἐξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται».

§ 2. Ἀδιαστρόφοις ἐννοίαις: Καλῶς εἶπε τὸ 'ἀδιαστρόφοις'· ἐπειδὴ καὶ οἱ αἱρετικοὶ ἀναγινώσκουσι τὰς Γραφὰς καὶ ἐντρέφονται ἐν αὐταῖς, καὶ ὅμως διαστρέφουσιν ἑαυτούς.

Θεοπρεποῦς διαιρέσεως: Θεοπρεπῆ διαίρεσιν ἐπὶ τῆς ἁγίας Τριάδος τὴν περὶ τῶν ὑποστάσεων ἀσύγχυτον ἔφη γνῶσιν, καὶ ὅτι οὐ χρὴ φροντίζειν πείθειν τοὺς μὴ δεχόμενους τὴν θείαν Γραφήν. Τὸ γὰρ κοινῶς ἐπὶ τῆς ἁγίας Τριάδος θεολογεῖν οὐκ ἔστι σύγχυσιν εἰσάγειν τῶν ὑποστάσεων.

Ἐπὶ τὴν θεολογικήν: Θεολογικὴν ἐπιστήμην ἀνωτέρω περὶ Θεοῦ διηγούμενος, οὐκ ἔφη αὐτὴν ἐπιστήμην εἶναι, ἐνταῦθα δὲ τὰ περὶ θεολογίας ἐπιστήμην φησίν. Ἐπιστήμη δέ ἐστι

5. Ψαλμ. 35,10. 6. Ἱερ. 2,13.

Τὴν πηγαίαν: Λέγεται στοὺς Ψαλμούς, ὅτι «ἀπὸ σένα ἀναβλύζει ἡ πηγὴ τῆς ζωῆς»[5], καὶ στὸν Ἱερεμία· «ἐγκατέλειψαν ἐμένα, τὴν πηγὴ τοῦ ζωντανοῦ νεροῦ»[6]. Ὁ Θεὸς λοιπὸν λέγεται πηγή, σὰν κάποια μήτρα καὶ ἀρχὴ καὶ αἰτία ὅλων ὅσων φάνηκαν καὶ ἦρθαν στὴν ὕπαρξη. Αὐτὰ δηλαδὴ ποὺ συνηθίζουν μερικοὶ νὰ καλοῦν καθολικά, δηλαδὴ γένη, ἢ ὅλα, ἢ περιέχοντα, ἐπειδὴ περιλαμβάνουν τὶς μερικὲς ἀπὸ αὐτὰ μεταδόσεις, αὐτὰ οἱ θεῖες Γραφὲς τὰ ὀνομάζουν πηγαία αἰτία. Ἐξαιτίας λοιπὸν τῆς δημιουργικῆς ἱκανότητας καὶ γιὰ τὸ ὅτι δὲ θὰ ἐκλείψουν ὅσα ὑπάρχουν χάρη στὸ Πνεῦμα, κι ἐπειδὴ τὸ Πνεῦμα τὸ ἅγιο εἶναι κι αὐτὸ αἴτιο ὅλων τῶν ὄντων, ὅπως λέγεται καὶ στὴ Σοφία, εὔλογα τὸ θεολογεῖ καὶ ὡς πηγαία αἰτία. Τὸ ὅτι δὲ θὰ σταματήσει νὰ δημιουργεῖ ἐννόησέ το ἀπὸ αὐτό· «ὁ Πατέρας μου ἐργάζεται ὣς τώρα, ἐπείσης κι ἐγὼ ἐργάζομαι»[7]. Ἐπίσης καὶ τὸ ἅγιο Πνεῦμα μαζὶ μὲ τὸν Πατέρα καὶ τὸν Υἱὸ ἐργάζεται πάντοτε χωρὶς διάλειμμα. Γιατὶ ἔχει λεχθεῖ· «θὰ στείλεις τὸ Πνεῦμα σου καὶ θὰ δημιουργηθοῦν»[8].

§ 2. Ἀδιαστρόφοις ἐννοίαις: Καλῶς ἔθεσε τὸ ἀδιάστροφες. Ἐπειδὴ καὶ οἱ αἱρετικοὶ διαβάζουν τὶς Γραφὲς καὶ τρέφονται πνευματικὰ ἀπὸ αὐτές, ἀλλ' ὅμως διαστρέφουν ὁ ἕνας τὸν ἄλλο.

Θεοπρεποῦς διαιρέσεως: Θεοπρεπῆ διαίρεση εἶπε τὴν ἀσύγχυτη γνώση σχετικὰ μὲ τὶς ὑποστάσεις τῆς ἁγίας Τριάδας, καὶ ὅτι δὲν πρέπει νὰ προσπαθοῦμε νὰ πείθομε ὅσους δὲν δέχονται τὴ θεία Γραφή. Γιατὶ τὸ νὰ θεολογοῦμε ὅτι κοινωνοῦν μεταξύ τους τὰ πρόσωπα τῆς ἁγίας Τριάδας δὲ σημαίνει ὅτι εἰσάγομε σύγχυση τῶν ὑποστάσεων.

Ἐπὶ τὴν θεολογικήν: Ἐκθέτοντας πιὸ πάνω τὴ θεολογικὴ ἐπιστήμη γιὰ τὸν Θεό, δὲν εἶπε ὅτι εἶναι ἐπιστήμη, ἐδῶ ὅμως χαρακτηρίζει τὰ σχετικὰ μὲ τὴ θεολογία ἐπιστήμη. Ἐπιστήμη

7. Ἰω. 5,17.
8. Ψαλμ. 103,30.

δόξα ὀρθὴ λογισμῷ δεθεῖσα, ἢ λόγος ἀληθὴς ἐπὶ διάνοιαν ἀμετάπτωτος, καὶ ἡ ἀκριβὴς εἴδησις τοῦ πράγματος καὶ ἀπόφανσις, οὗ καὶ λέγεται ἐπιστήμη, ἀληθείας λόγον καὶ δόξαν ὀρθὴν προβαλλομένη, μὴ δεομένη τῆς ἐκ παραθέσεως τοῦ ὁμοίου βεβαιώσεως.

Τὰς θείας ἐκφαντορίας: Ἐκφαντορίας φησὶ τὰς τὰ μυστήρια ἐκφαινούσας διδασκαλίας.

Ἐν ἑαυτοῖς ἀπλήθυντα: Ὅτι οὐ δεῖ παρεξιέναι τὴν θείαν Γραφὴν ἐν τῷ θεολογεῖν.

§ 3. Καὶ ὅσα τῆς ὑπεροχικῆς: Κατὰ ἀφαίρεσιν ὑπὲρ ἔννοιαν δοξολογεῖται· ἐκ γὰρ τῶν μὴ θεωρουμένων περὶ αὐτὸν ὑπεραναβεβηκότως προσκυνεῖται, οἷον ὡς ἀθάνατος, ὡς ἀτελεύτητος καὶ ἀόρατος καὶ ἀνεδεής, καὶ ὅσα τοιαῦτα· κοινὰ γὰρ τῆς Τριάδος καὶ ταῦτα· αἰτιολογικὰ δέ εἰσιν ὅσα ἐπὶ τὴν κτίσιν ἔρρευσε παρ' αὐτοῦ, ἅτε αἰτίου παντὸς καλοῦ, ὡς γέγραπται, ὅτι «πᾶν ἐστι καλὸν αὐτοῦ».

Τὸ τοῦ Πατρός: Κατὰ κοινοῦ δὲ τὸ ὑπερούσιον, ὡς ἐπὶ τοῦ Πατρός, οὕτω καὶ ἐπὶ τοῦ Υἱοῦ καὶ ἐπὶ τοῦ ἁγίου Πνεύματος. Ἐπὶ δὲ τῶν διακεκριμένων τῆς ἁγίας Τριάδος, οἷον ὀνομάτων, οὐδεμίαν φησὶν ὅλως εἶναι ἀντιστροφὴν ἢ κοινωνίαν· ὁ γὰρ Πατὴρ οὐκ ἂν εὐσεβῶς κληθείη Υἱός, οὐδὲ ὁ Υἱὸς Πατήρ· τὸ αὐτὸ καὶ ἐπὶ τοῦ ἁγίου Πνεύματος.

Ἡ καθ' ἡμᾶς Ἰησοῦ: Σημείωσαι, ὅτι μόνου τοῦ Θεοῦ Λόγου ἐστὶν ἡ ἐνανθρώπησις. Παντελῆ δὲ αὐτήν φησι κατὰ Ἀπολλιναρίου, ὡς ἐκ ψυχῆς νοερᾶς καὶ ἡμετέρου σώματος· τοῦτο γὰρ δηλοῖ τὸ εἰπεῖν αὐτὸν «καθ' ἡμᾶς», ὅπερ ἐστὶ καὶ κατὰ Εὐτυχοῦς· κατὰ Νεστορίου δέ, ὅτι φησί, τοῦ Ἰησοῦ τὴν ἀναλλοίωτον ὡς Θεοῦ καθ' ἡμᾶς ὕπαρξιν· καὶ ὅτι οὐσιώδη φησὶ τὰ ἐν τῇ ἀνθρωπότητι μυστήρια, τὴν πεῖναν, τὸν κόπον,

εἶναι γνώμη ὀρθὴ διαρθρωμένη λογικά, ἢ λόγος ἀληθινὸς μὲ νόημα ἀμετάβλητο, ἢ ἀκριβὴς γνώση τοῦ πράγματος καὶ ἀπόφανση γι' αὐτό, τοῦ ὁποίου καὶ λέγεται ἐπιστήμη (λ.χ. ἐπιστήμη τῶν αἰσθητῶν), προβάλλοντας λόγο ἀληθινὸ καὶ ὀρθὴ γνώμη, ποὺ δὲν ἔχει ἀνάγκη νὰ βεβαιωθεῖ μὲ ἀντιπαράθεση τοῦ ὁμοίου.

Τὰς θείας ἐκφαντορίας: Ἐκφαντορίες λέει τὶς διδασκαλίες ποὺ διασαφηνίζουν τὰ μυστήρια.

Ἐν ἑαυτοῖς ἀπλήθυντα: Ὅταν θεολογεῖ κάποιος δὲν πρέπει νὰ μὴ λαμβάνει ὑπόψη τὴ Γραφή.

§ 3. Καὶ ὅσα τῆς ὑπεροχικῆς: Δοξολογεῖται μὲ ἀφαίρεση πάνω ἀπὸ ἔννοια· προσκυνεῖται δηλαδὴ σὲ ὑπερβατικὸ βαθμὸ ἀπὸ ἰδιότητες ποὺ δὲν νοοῦνται σ' αὐτόν, ὅπως γιὰ παράδειγμα ὡς ἀθάνατος, ἀτελεύτητος, ἀόρατος, χωρὶς ἀνάγκη, καὶ ὅσα ἄλλα παρόμοια. Γιατὶ κι αὐτὰ εἶναι κοινὰ γνωρίσματα τῆς Τριάδας· ἐνῶ αἰτιολογικὰ εἶναι ὅσα προῆλθαν στὴ δημιουργία ἀπὸ αὐτόν, ἐπειδὴ εἶναι αἴτιος κάθε καλοῦ, ὅπως ἔχει γραφεῖ, ὅτι «κάθε καλὸ εἶναι δικό του».

Τὸ τοῦ Πατρός: Ἀπὸ κοινοῦ ἀποδίδεται τὸ ὑπερούσιο ὅπως στὸν Πατέρα, ἔτσι καὶ στὸν Υἱὸ καὶ στὸ ἅγιο Πνεῦμα. Στὰ ἰδιαίτερα ὅμως γνωρίσματα τῆς ἁγίας Τριάδας, ὅπως εἶναι τὰ ὀνόματα, δὲν ὑπάρχει, λέει, καμμιὰ ἀντιστροφὴ ἢ κοινωνία. Ὁ Πατέρας δηλαδὴ δὲν εἶναι εὐσεβὲς νὰ ὀνομαστεῖ Υἱός, οὔτε ὁ Υἱὸς Πατέρας. Τὸ ἴδιο ἰσχύει καὶ γιὰ τὸ ἅγιο Πνεῦμα.

Ἡ καθ' ἡμᾶς Ἰησοῦ: Σημείωσε, ὅτι ἡ ἐνανθρώπηση εἶναι μόνο τοῦ Θεοῦ Λόγου. Καὶ πολεμώντας τὸν Ἀπολλινάριο, λέει ὅτι αὐτὴ εἶναι τέλεια, ὡς ἀποτελούμενη ἀπὸ νοερὴ ψυχὴ καὶ τὸ δικό μας σῶμα. Γιατὶ αὐτὸ σημαίνει ἡ ἔκφραση «καθ' ἡμᾶς» (= ὅπως ἐμεῖς), πράγμα ποὺ λέγεται καὶ κατὰ τοῦ Εὐτυχοῦς. Λέγεται καὶ κατὰ τοῦ Νεστόριου, γιατὶ λέει ὅτι ἡ ὕπαρξη τοῦ Ἰησοῦ σύμφωνα μ' ἐμᾶς ὑπῆρξε χωρὶς ἀλλοίωσή του ὡς Θεοῦ. Καὶ λέει ἐπίσης ὅτι εἶναι οὐσιώδη (πραγματικὰ) τὰ μυστήρια ποὺ ἐκδηλώνονται στὴν ἀνθρώπινη φύση του, ἡ πείνα, ὁ κόπος, καὶ

καὶ τὸ ἐπὶ ὕδατος βαδίσαι, καὶ τὸ εἰσελθεῖν τῶν θυρῶν κεκλεισμένων πρὸς τοὺς μαθητάς, καὶ τὸ ἐγεῖραι τοὺς νεκρούς, καὶ αὐτὸ τὸ πάθος, καὶ ὅσα τοιαῦτα.

Οὐσιώδη μυστήρια: Σημείωσαι τὸ οὐσιώδη ἐπὶ τῆς σαρκώσεως· τοῦτο γὰρ ἔφη, ἐκβάλλων τὴν κατὰ φαντασίαν δόξαν.

§ 4. Παραδόσεως ἱερομύσται. Ἱερομύσται λέγονται οἱ τὰ ἱερὰ μεμυημένοι.

Κρυφίας καὶ ἀνεκφοιτήτους: Κρυφίας ἑνώσεις φησὶ τὰς περὶ τῆς θείας οὐσίας ἀκαταλήπτους γνώσεις· τὴν οὐσίαν αὐτὴν τῆς ἁγίας Τριάδος, τί ἐστιν, οὐδεὶς γνώσεταί ποτε.

Τὰς διακρίσεις: Διακρίσεις φησὶ τὰς ἐνυποστάτους προσκυνητὰς ὑπάρξεις, τουτέστι, τοῦ μὲν Υἱοῦ τὸν ἐκ Πατρὸς ἀνέκφραστον ἀπαυγασμόν, τοῦ δὲ ἁγίου Πνεύματος τὴν ἐκ Πατρὸς ἀνεννόητον ἐκπόρευσιν.

Ἡ ὑπὲρ ἐναρχίαν: Ἡ ὑπὲρ ἐναρχίαν ἑνότης τὸ ὑπὲρ πᾶσαν ἑνότητα καὶ ἁπλότητα ἐν τοῖς οὖσι τῆς θείας φύσεως ἀμερές τε καὶ ἁπλοῦν σημαίνει.

Τὸ ἄφθεγκτον: Ἄφθεγκτον διὰ τὸ ἀκατονόμαστον τῆς οὐσίας, πολύφωνον δέ, ὅτι τῇ ποικιλίᾳ τῶν εὐεργετουμένων τὸ πολύφωνον ἔχει.

Τὸ παννόητον: Πῶς ἄγνωστος καὶ παννόητος ὁ Θεός, καὶ πῶς ἐν ἀγνωσίᾳ τὴν περὶ αὐτοῦ κτώμεθα γνῶσιν, ῥητέον· ἀγνοίᾳ γὰρ γίνεται γνωστὸς ὁ Θεός· ἄγνοιαν δέ, μὴ τὴν διὰ τῆς ἀμαθίας λάβης· αὕτη γὰρ σκότος ἐστὶ ψυχῆς· μήτε τὴν γινώσκουσαν, ὅτι ἀγνοεῖται ὁ ἄγνωστος· εἶδος γὰρ καὶ αὐτὴ γνωριστικόν· ἀλλὰ κατ᾽ ἐκείνην τὴν ἄγνοιαν γινώσκεται γνωστός, καθ᾽ ἣν ἁπλωθέντες ὑπὲρ τὰς νοήσεις, αἵτινες πληθυνόμεναι σκεδάννυνται, καὶ αὖθις συμπτύσσονται, οὐκ οὖσαι ἑνάς. Ὅθεν οὖν πᾶσαν νόησιν περὶ Θεὸν ὑπερβάντες, ἁπλοῖ γινόμεθα, ἀγνο-

τὸ βάδισμα ἐπάνω στὸ νερό, καὶ ἡ εἴσοδός του μὲ κλειστὲς πόρτες στοὺς μαθητές του, καὶ τὸ ὅτι ἀνάστησε νεκρούς, καὶ τὸ ἴδιο τὸ πάθος του, καὶ ὅσα ἄλλα ὅμοια.

Οὐσιώδη μυστήρια: Σημείωσε τὸ ἐπίθετο 'οὐσιώδη' ποὺ χρησιμοποιεῖ γιὰ τὴ σάρκωση. Αὐτὸ τὸ εἶπε θέλοντας νὰ πολεμήσει τὴ γνώμη ὅτι πρόκειται γιὰ φαντασία.

§ 4. Παραδόσεως ἱερομύσται: Ἱερομύστες λέγονται ὅσοι ἔχουν διδαχθεῖ τὰ ἱερά.

Κρυφίας καὶ ἀνεκφοιτήτους: Κρύφιες ἑνώσεις λέει τὶς ἀκατάληπτες γνώσεις ποὺ ἀναφέρονται στὴ θεία οὐσία. Τὴν ἴδια τὴν οὐσία τῆς ἁγίας Τριάδας, τί ἀκριβῶς εἶναι, κανένας ποτὲ δὲ θὰ τὸ μάθει.

Τὰς διακρίσεις: Διακρίσεις ἀποκαλεῖ τὶς προσκυνητὲς ἐνυπόστατες ὑπάρξεις, δηλαδὴ τὸν ἀνέκφραστο ἀπαυγασμὸ τοῦ Υἱοῦ ἀπὸ τὸν Πατέρα καὶ τὴν ἀκατανόητη ἐκπόρευση ἀπὸ τὸν Πατέρα τοῦ ἁγίου Πνεύματος.

Ἡ ὑπὲρ ἐναρχίαν: Ἡ πάνω ἀπὸ τὴν ἐναρχία ἑνότητα σημαίνει τὴ δίχως μέρη ἁπλότητα τῆς θείας φύσης ποὺ εἶναι πάνω ἀπὸ κάθε ἑνότητα καὶ ἁπλότητα.

Τὸ ἄφθεγκτον: Ἄφθεγκτη τὴ λέει, ἐπειδὴ ἡ οὐσία δὲν ἐπιδέχεται κατονομασία, ἐνῶ πολύφωνη, ἐπειδὴ ἔχει τὴν πολυφωνία ἐξαιτίας τῆς ποικιλίας ἐκείνων ποὺ εὐεργετοῦνται.

Τὸ παννόητον: (τελείως νοητόν). Πρέπει νὰ ποῦμε πῶς εἶναι ἄγνωστος ἀλλὰ καὶ τελείως νοητὸς ὁ Θεός, καὶ πῶς μὲ ἄγνωστα ἀποχτοῦμε τὴ γνώση γι' αὐτόν· γιατὶ ὁ Θεὸς γίνεται γνωστὸς μὲ τὴν ἄγνοια· καὶ ἄγνοια μὴν ἐννοήσεις τὴν ἄγνοια ἀπὸ ἀμάθεια· γιατὶ αὐτὴ εἶναι σκότος τῆς ψυχῆς· οὔτε αὐτὴν ποὺ γνωρίζει, γιατὶ ὁ ἄγνωστος ἀγνοεῖται· καθόσον κι αὐτὴ εἶναι εἶδος ποὺ γνωρίζει. Ἀλλὰ γίνεται γνωστὸς σύμφωνα μ' ἐκείνη τὴν ἄγνοια κατὰ τὴν ὁποία, ἀφοῦ γίνομε ἁπλοὶ ξεπερνώντας τὶς γνώσεις, ποὺ καθὼς πληθαίνουν διασκορπίζονται καὶ πάλι συμπτύσσονται, ἀφοῦ δὲν εἶναι ἑνάδα. Γι' αὐτὸ λοιπὸν ξεπερνώντας κάθε γνώση περὶ Θεοῦ γινόμαστε ἁπλοί, στὸ ἑξῆς

οὖντες λοιπὸν καὶ ἀδιάκριτοι μένοντες διὰ τὴν πρὸς τὴν ἑνότητα στάσιν, καὶ βεβαίως ἑστῶτες ἐν τῇ ἑνώσει, ἀγνοοῦμεν ὅτι ἀγνοοῦμεν, τουτέστιν οὐχ ἑτέρου τινὸς εἰδότες, ἡμεῖς ὡς ἀμαθεῖς ἀγνοοῦμεν, δυνάμενοι μαθεῖν ἃ τέως ἀγνοοῦμεν, ἀλλὰ τὰ παρὰ πάσης λογικῆς κτίσεως εὐσεβῶς ἀγνοούμενα ἀγνοοῦντες· ἐν ταύτῃ γὰρ στάντες τῇ ἀγνοίᾳ, εἶδος γινόμεθα τοῦ πρὸ πάντων ὄντος· ἐάσαντες μὲν πάντα τὰ εἴδη καὶ τὰς νοήσεις, ἐν ἀφασίᾳ δὲ κρείττονι πάσης φθέγξεως ἱδρυμένοι, τῷ μηδὲ τοῦτο γινώσκειν, ὅτι ἀγνοοῦμεν· εἶτα πάλιν ὑποστρέψαντες ἐκ τῆς ἐν ἀφασίᾳ σιωπῆς, καὶ ἀπὸ τῆς σιγῆς εἰς φθέγξιν καταβαίνοντες, συνιέντες ὅτι ἠγνοοῦμεν, ἀφιστάμεθα λοιπὸν τοῦ περὶ ἀγνώστου ζητεῖν. Παννόητος δὲ πάλιν ὁ Θεός, ἐκ τῶν φιλοδώρων προνοιῶν νοούμενος, ὅ,τι ἐστί, καὶ ἐκ τῶν δημιουργημάτων· ἐκ τῶν μέν, ὅτι σωτήρ ἐστιν, ἐκ τῶν δέ, ὅτι δημιουργός. Καὶ θέσιν μὲν τὴν ὕπαρξίν φησιν, ὡς ἐξ αὐτῆς τῆς πάντων οὔσης ὑπάρξεως. Λέγουσι δὲ καὶ οἱ φιλόσοφοι 'θέσιν' τὰ ἐπιτιθέμενα εἴδη τῇ ὕλῃ, 'ἀφαίρεσιν' δέ, ὅταν αἱ ποιότητες ἀφαιρεθῶσι τῶν εἰδῶν, οἷον γῆς τὸ βαρύ, ὕδατος τὸ ὑγρόν. Ὁ οὖν Θεός, ὁ καὶ ταῦτα μετασχηματίζων, ἡ πάντων θέσις καὶ ἀφαίρεσίς ἐστι· θέσις μὲν πάντων, ὡς τὰ πάντα θεὶς καὶ ποιήσας καὶ ἱδρῦσθαι παρασκευάζων· ἐν αὐτῷ γὰρ τὰ ἅπαντα συνέστηκεν· ἀφαίρεσις δὲ πάντων ἐστίν, ὡς καὶ τὴν θέσιν αὐτὴν τῶν ὄντων καὶ τὴν ποίησιν μεταρρυθμίζων καὶ μετασκευάζων καὶ ἀφαιρῶν ἐκ τῶν τεθειμένων τὰ κατὰ φύσιν· εἰ γὰρ ὁμολογεῖται τὰ ἐν γενέσει, πάντως καὶ φθείρεσθαι· αὐτὸς δὲ πλούτῳ ἀγαθότητος τῶν μὲν ἀνεῖλε καὶ τὸ φθαρτόν, ὡς ἀγγέλων καὶ ψυχῶν, τῶν δὲ τὸ φθαρτὸν εἰς ἀφθαρσίαν καὶ τὸ θνητὸν εἰς ἀθανασίαν μετάγει, ὡς τὰ σώματα ἡμῶν ἐν τῇ ἀναστάσει· δῆλον ὡς αὐτὸς ταῦτα

ἀγνοώντας καὶ μένοντας ἀδιάσπαστοι γιὰ τὴ στάση μας στὴν ἑνότητα, καὶ ἑδραιωμένοι μέσα στὴν ἕνωση, ἀγνοοῦμε ὅτι δὲν γνωρίζομε, χωρὶς αὐτὸ νὰ σημαίνει ὅτι ἕνας ἄλλος γνωρίζει καὶ ἐμεῖς ὡς ἀμαθεῖς ἀγνοοῦμε, καὶ ὅτι μποροῦμε νὰ μάθομε αὐτὰ ποὺ ὦς τώρα ἀγνοοῦμε, ἀλλὰ ἀγνοοῦμε αὐτὰ γιὰ τὰ ὁποῖα κάθε λογικὴ φύση ἔχει εὐσεβῆ ἄγνοια. Ὅταν λοιπὸν σταθοῦμε σ' αὐτὴ τὴν ἄγνοια, γινόμαστε καὶ εἰκόνα ἐκείνου ποὺ ὑπάρχει πρὶν ἀπὸ τὰ πάντα, ἐγκαταλείποντας ὅλες τὶς μορφὲς (εἴδη) καὶ τὶς γνώσεις καὶ στερεωμένοι σὲ ἀφασία καλύτερη ἀπὸ κάθε λόγο ἐξαιτίας τοῦ ὅτι δὲν γνωρίζομε οὔτε τοῦτο, ὅτι δηλαδὴ ἀγνοοῦμε. Ἔπειτα ἐπιστρέφοντας πάλι ἀπὸ τὴ σιωπὴ τῆς ἀφασίας κι ἀπὸ τὴ σιωπὴ κατεβαίνοντας στὸ λόγο, συνειδητοποιώντας ὅτι ἀγνοούσαμε, ἀπέχομε πιὰ ἀπὸ τὴ ζήτηση τοῦ ἀγνώστου. Καὶ πάλι, ὁ Θεὸς εἶναι τελείως νοητός, νοούμενος ὅ,τι εἶναι ἀπὸ τὶς πρόνοιες ποὺ μᾶς φιλοδωρεῖ καὶ ἀπὸ τὰ δημιουργήματα· ἀπὸ τὶς πρόνοιες νοεῖται ὅτι εἶναι σωτήρας, ἐνῶ ἀπὸ τὰ δημιουργήματα ὅτι εἶναι δημιουργός. Καὶ θέση βέβαια λέει τὴν ὕπαρξη, ἐπειδὴ ἀπὸ αὐτὴν προέρχεται ἡ ὕπαρξη ὅλων. Καὶ οἱ φιλόσοφοι καλοῦν θέση τὰ εἴδη ποὺ δίνονται στὴν ὕλη, ἐνῶ ἀφαίρεση ὅταν οἱ ποιότητες ἀφαιρεθοῦν ἀπὸ τὰ εἴδη, ὅπως ἀπὸ τὴ γῆ τὸ βάρος κι ἀπὸ τὸ νερὸ ἡ ὑγρότητα. Ὁ Θεὸς λοιπόν, ποὺ κι αὐτὰ τὰ μετασχηματίζει, εἶναι τῶν πάντων καὶ θέση καὶ ἀφαίρεση· εἶναι θέση γιατὶ ἔθεσε καὶ δημιούργησε τὰ πάντα καὶ τὰ κάνει νὰ παραμένουν, γιατὶ ὅλα ἔχουν τὴ σύστασή τους μέσα σ' αὐτόν· ἀφαίρεση πάλι ὅλων εἶναι ἐπειδὴ καὶ τὴν ἴδια τὴ 'θέση' καὶ τὴ δημιουργία μεταρρυθμίζει καὶ μεταποιεῖ καὶ ἀπὸ ὅσα ἔχουν τεθεῖ ἀφαιρεῖ τὰ κατὰ φύση. Ἂν δηλαδὴ εἶναι παραδεκτὸ ὅτι ὅσα ἔγιναν ὁπωσδήποτε καὶ φθείρονται καὶ οἱ ἴδιος μὲ τὸν πλοῦτο τῆς ἀγαθότητάς του ἀπὸ ἄλλα ἀφαίρεσε τὴ φθαρτότητα, ὅπως ἀπὸ τοὺς ἀγγέλους καὶ τὶς ψυχές, καὶ σὲ ἄλλα μεταβάλλει τὴ φθαρτότητα σὲ ἀφθαρσία καὶ τὴ θνητότητα σὲ ἀθανασία, ὅπως γίνεται στὰ σώματά μας κατὰ τὴν ἀνάσταση, εἶναι φανερὸ ὅτι ὁ Θεός, ποὺ εἶναι γιὰ μᾶς ὅλα αὐτά, εἶναι ὁ

ἡμῖν ὑπάρχων, αὐτὸς καὶ ὑπὲρ θέσιν ἐστὶ καὶ ἀφαίρεσιν, καὶ θεμέλιος καὶ ῥίζα πάντων ὤν, οὐ τοπικῶς, ἀλλὰ κατὰ τὸ αἴτιον· οὔτε ἀφαίρεσις αὐτὸς ὤν, ὧν αὐτὸς ἔχει· αὐτὸ γὰρ ἀθάνατον αὐτὸς ἔχει. Τὸ γὰρ ἀθάνατον καὶ ἀκατάληπτον καὶ ἄγνωστον καὶ ὅσα τοιαῦτα ἔχει, οὐχ ὡς μὴ ὢν τὸ ἐναντίον, ἀλλὰ κατὰ ἰδιότητά τινα πᾶσιν ἄρρητον καὶ ἀνεπινόητον· ἐξήρηται γὰρ τῶν ἁπάντων, ὡς ἀφῃρημένος τῶν ὄντων, καὶ ὑπ' οὐδενὸς νοούμενος τῶν ἐν δημιουργίᾳ ἢ καταλαμβανόμενος, ὡς αὐτὸς ἑαυτὸν ἁρπάσας διὰ τῆς ἀπειρίας· οὐ γάρ ἐστιν αὐτοῦ πέρας. Σημείωσαι δὲ τὸ ἐν ἀλλήλαις εἶναι, κατά τινα μονὴν καὶ ἵδρυσιν τὰς θείας ὑποστάσεις, ὡς τό· «Ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί»· οὕτω καὶ περὶ τοῦ ἁγίου Πνεύματος ὁ Ἀπόστολος λέγει.

Καθάπερ φῶτα λαμπτήρων: Ὅλος ὁ νοῦς τοῦ πατρὸς τοῦτον ἔχει τὸν τρόπον. Παράδειγμα εἶπεν ἐπὶ τῆς ἁγίας Τριάδος, ὥσπερ τριῶν τινων λύχνων, φησίν, ἢ κηρῶν ἡμμένων ἔν τινι ναῷ ἢ οἴκῳ, ταῖς μὲν ὑποστάσεσι διακεκριμένων, ἤγουν κεχωρισμένων ἀλλήλων· ἄλλος γὰρ καὶ ἄλλος λύχνος ἐστὶν ἰδικῶς ὁ καθείς, τῷ δὲ φωτὶ ἡνωμένην ἔχουσι καὶ ἀχώριστον τὴν κοινωνίαν τῆς φύσεως καὶ τῆς ἐνεργείας· καὶ οὐδεὶς δύναται ἐν τῷ οἴκῳ ἐν τῷ ἀέρι αὐτοῦ διακρῖναι καὶ εἰπεῖν, ποῖον μέν ἐστι φῶς τοῦδε τοῦ λύχνου, ποῖον δὲ τοῦ ἑτέρου. Ταῦτα εἰπών, μετέρχεται λοιπὸν ἐκ τοῦ τριαδικοῦ εἰς τὸν τῆς οἰκονομίας λόγον καὶ τὴν ἔνδοξον ἔξοδον τοῦ Θεοῦ Λόγου τὴν ἐκ Πατρὸς κατὰ τὴν αὐτοῦ φωνὴν τὴν φάσκουσαν, ὅτι, «ἐκ τοῦ Πατρός μου ἐγὼ ἐξῆλθον, καὶ πρὸς τὸν Πατέρα μου ὑπάγω», σαφηνίζει καθά φησιν· Ἀλλ', εἰ καὶ τὸν ἕνα τις τῶ πυρσῶν ὑπεξάγοι τοῦ δωμα-

ἴδιος καὶ πάνω ἀπὸ θέση καὶ πάνω ἀπὸ ἀφαίρεση, καὶ εἶναι θεμέλιο καὶ ρίζα ὅλων, ὄχι ταπεινὰ ἀλλὰ αἰτιακά· οὔτε βέβαια εἶναι ὁ ἴδιος ἀφαίρεση αὐτῶν ποὺ ἔχει, γιατὶ αὐτὸς ἔχει τὴν ἴδια τὴν ἀθανασία. Τὴν ἀθανασία δηλαδὴ καὶ τὴν ἀκαταληψία καὶ τὸ ἄγνωστο καὶ τὰ παρόμοια τὰ ἔχει ὄχι γιατὶ δὲν εἶναι τὸ ἀντίθετο, ἀλλὰ σύμφωνα μὲ μιὰ ἰδιότητα σὲ ὅλους ἄρρητη καὶ ἀκατανόητη. Γιατὶ ἔχει ἀφαιρεθεῖ ἀπὸ ὅλα, ἀφοῦ εἶναι ἔξω ἀπὸ τὰ ὄντα, καὶ κανένα δημιούργημα δὲν μπορεῖ νὰ τὸν βάλει στὸ νοῦ του καὶ νὰ τὸν κατανοήσει, ἐπειδὴ ὁ ἴδιος ἔχει ἁρπάξει τὸν ἑαυτό του ἀπὸ τὰ πάντα μὲ τὴν ἀπειρία του· γιατὶ γι' αὐτὸν δὲν ὑπάρχει πέρας. Σημείωσε, τὸ ὅτι εἶναι ἡ μιὰ μέσα στὴν ἄλλη οἱ θεῖες ὑποστάσεις σύμφωνα μὲ μιὰ παραμονὴ καὶ σταθερότητα, ὅπως λέει τὸ «Ἐγὼ εἶμαι μέσα στὸν Πατέρα καὶ ὁ Πατέρας μέσα σ' ἐμένα»· τὸ ἴδιο λέει ὁ Ἀπόστολος[9] καὶ γιὰ τὸ ἅγιο Πνεῦμα.

Καθάπερ φῶτα λαμπτήρων: Ὅλος ὁ νοῦς τοῦ πατέρα αὐτοῦ ἐκδηλώνεται μ' αὐτὸν τὸν τρόπο. Παράδειγμα ἔφερε γιὰ τὴν ἁγία Τριάδα τρία λυχνάρια ἢ κεριὰ ἀναμμένα σ' ἕνα ναὸ ἢ σ' ἕνα σπίτι ποὺ διακρίνονται ὡς πρὸς τὶς ὑποστάσεις, δηλαδὴ εἶναι χωρισμένα τὸ ἕνα ἀπὸ τὸ ἄλλο. Τὸ κάθε λυχνάρι δηλαδὴ εἶναι χωριστὸ ἀπὸ τὰ ἄλλα, μέσα στὸ φῶς τους ὅμως ἔχουν ἑνωμένη κι ἀχώριστη τὴν κοινωνία τῆς φύσης καὶ τῆς ἐνέργειας, καὶ κανένας δὲν μπορεῖ μέσα στὴν ἀτμόσφαιρα ἑνὸς σπιτιοῦ νὰ διακρίνει καὶ νὰ πεῖ ποιό εἶναι τὸ φῶς αὐτοῦ τοῦ λυχναριοῦ καὶ ποιό τοῦ ἄλλου. Ἀφοῦ εἶπε αὐτὰ μεταβαίνει ἀπὸ τὸ λόγο γιὰ τὴν Τριάδα στὸ λόγο τῆς οἰκονομίας καὶ σαφηνίζει μ' αὐτὰ ποὺ λέει τὴν ἔνδοξη ἔξοδο τοῦ Θεοῦ Λόγου ἀπὸ τὸν Πατέρα του σύμφωνα μὲ τὴν ἴδια του τὴ μαρτυρία ποὺ λέει, «Ἐγὼ βγῆκα ἀπὸ τὸν Πατέρα μου καὶ πρὸς τὸν Πατέρα μου πηγαίνω»[10]. Ἀλλὰ κι ἂν κάποιος βγάλει τὸ ἕνα μόνο λυχνάρι ἀπὸ τὸ

9. Ἰω. 10,38.
10. Ἰω. 16,28.

τίου, συνεξελεύσεται καὶ τὸ οἰκεῖον ἅπαν φῶς, οὐδὲν τῆς τῶν ἑτέρων φώτων ἐν ἑαυτῷ συνεπισπώμενον λαμπηδόνος, ἢ τὸ ἑαυτοῦ τοῖς ἑτέροις καταλεῖπον. Ἐλθὼν γὰρ ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς καὶ ἐπιδημήσας ἐν τῷ κόσμῳ οὐδὲ τὸν Πατέρα καὶ τὸ Πνεῦμα συνήγαγεν ἐν ἑαυτῷ, οὐδὲ μὴν τῶν οἰκείων ἐξελθὼν ἐκείνοις κατέλιπεν, ἀλλ' ἀδιαίρετον τῆς ἑαυτοῦ μονῆς ἐποιήσατο τὴν ἔξοδον.

Ὅπου γε καὶ τὴν ὑπερούσιον: Αἱ τῶν σωμάτων ἑνώσεις, τῶν τε στοιχειωδῶς θεωρουμένων καὶ τῶν ἄλλως πως μιγνυμένων, δυνάμεσι καὶ ποιότησι τὸ παρηλλαγμένον ἔχουσι, καὶ ἕτερόν τι παρὰ τὴν τῶν ἁπλῶν φύσιν ἡ τούτων ἕνωσις ἀποτελεῖ· ὡσαύτως καὶ ψυχικαὶ δυνάμεις τὸ ἑτεροειδὲς κατὰ τὴν κίνησιν διάφορον ἔχουσι· καὶ μὴν καὶ αἱ τῶν ἀγγέλων πρὸς τὰς θείας ἐλλάμψεις ἑνότητες τὸ ἀνὰ μέρος καὶ ἀνάλογον ταῖς οἰκείαις τάξεσιν ἔχουσιν, ἡ δὲ ἐν τῇ ἁγίᾳ Τριάδι θεότης καὶ ὅσα ταύτης, οὐδενὶ τῶν εἰρημένων διακοπτομένη ἢ ἑαυτῆς διαφέρουσα, εἰκότως ὑπὲρ ταύτας τὰς ἑνώσεις εἶναι δοξάζεται.

Καὶ ὑπερουράνια φῶτα: Σημείωσαι, ὅτι καὶ τὰς ψυχὰς καὶ τοὺς νόας ἅπαντας ὑπερουράνια φῶτα καλεῖ, καί φησιν ἑνοῦσθαι τὰς ζωούσας οὐσίας ταύτας ἁπάσας, ὡς εἴρηται ἐν τῷ παραδείγματι τῶν ἐν οἴκῳ τινὶ πολλῶν λαμπτήρων ἀλλήλοις ἀμιγῶς τε καὶ ἀσυγχύτως ἑνουμένων, θεοειδεῖς τε οὔσας καὶ μετεχούσας ἀναλόγως ἑαυτοῖς τῆς τοῦ Θεοῦ ὑπερηνωμένης ἑνώσεως, ἅστινας, ἑνώσεις δηλονότι, ἐπὶ τὰ ἀσώματα, ἃ καὶ δι' ἀλλήλων ἀσυγχύτως χωρεῖ.

§ 5. Ὑπερουσίου θεογονίας: Σημείωσαι, ὅτι ὑπερούσιον θεογονίαν καὶ πηγὴν τὸν Πατέρα καλεῖ, καὶ ὅτι οὐκ ἀντιστρέφει τὰ ὀνόματα.

Ἑνώσεις τε καὶ διακρίσεις: Τὰ περὶ τῆς ἀφράστου Τριάδος μέχρι τριῶν ὑποστάσεων προόδου νῦν θεολογεῖ, ὅτιπερ ὁ Θεὸς καὶ Πατήρ, κινηθεὶς ἀχρόνως καὶ ἀγαπητικῶς, προῆλθεν

δωμάτιο θὰ βγεῖ μαζί του καὶ ὅλο τὸ δικό του φῶς, χωρὶς ν' ἀποσπᾶ καὶ νὰ παίρνει μαζί του καθόλου ἀπὸ τὴ λάμψη τῶν ἄλλων φώτων ἢ ν' ἀφήνει τὴ δική του στὰ ἄλλα λυχνάρια. Ὅταν ἦρθε δηλαδὴ ὁ Υἱὸς ἀπὸ τὸν Πατέρα του κι ἐπιδήμησε στὸν κόσμο οὔτε τὸν Πατέρα ἔφερε μαζί του οὔτε τὸ Πνεῦμα, οὔτε ὅμως κι ἄφησε σ' ἐκείνους κάτι δικό του, ἀλλὰ κατὰ τὴν ἔξοδό του δὲν στερήθηκε τίποτε ἀπὸ τὸν ἑαυτό του.

Ὅπου γε καὶ τὴν ὑπερούσιον: Οἱ ἑνώσεις τῶν σωμάτων καὶ ὅσων θεωροῦνται στὰ στοιχεῖα τους καὶ ὅσων συντίθεται κάπως διαφορετικά, παραλλάσσουν μὲ τὶς δυνάμεις καὶ τὶς ποιότητες, καὶ ἡ ἕνωσή τους ἀποτελεῖ κάτι ἄλλο πέρα ἀπὸ τὴ φύση τῶν ἁπλῶν. Παρόμοια καὶ οἱ ψυχικὲς δυνάμεις ἔχουν διαφορετικὴ τὴν ἑτεροείδεια κατὰ τὴν κίνηση. Ἀλλὰ καὶ τῶν ἀγγέλων οἱ ἑνότητες πρὸς τὶς θεῖες λάμψεις ἔχουν τὸ μερίδιό τους καὶ τὴν ἀναλογία στὶς δικές τους τάξεις. Ἡ θεότητα ὅμως τῆς ἁγίας Τριάδας κι ὅσα περιλαμβάνει χωρὶς νὰ διακόπτεται ἀπὸ κανένα ἀπὸ ὅσα εἰπώθηκαν ἢ νὰ διαφέρει ἀπὸ τὸν ἑαυτό της, εὔλογα πιστεύεται πὼς εἶναι πάνω ἀπὸ αὐτὲς τὶς ἑνώσεις.

Καὶ ὑπερουράνια φῶτα: Σημείωσε, ὅτι καλεῖ ὑπερουράνια φῶτα καὶ τὶς ψυχὲς καὶ τοὺς νόες ὅλους, καὶ λέει ὅτι ὅλες αὐτὲς οἱ οὐσίες ποὺ παρέχουν ζωὴ ἑνώνονται, ὅπως εἴπαμε στὸ παράδειγμα γιὰ τοὺς πολλοὺς λαμπτῆρες μέσα σ' ἕνα σπίτι ποὺ ἑνώνονται μεταξύ τους χωρὶς νὰ ἀναμιγνύονται καὶ νὰ συγχέονται. Καὶ ὅτι αὐτὲς οἱ οὐσίες εἶναι θεόμοιαστες καὶ μετέχουν ἀνάλογα μὲ τὸν ἑαυτό τους τῆς ὑπερενωμένης ἕνωσης τοῦ Θεοῦ. Αὐτές, δηλαδὴ τὶς ἑνώσεις, τὶς ἐννοεῖ στὰ ἀσώματα, τὰ ὁποῖα καὶ ἀσύγχυτα εἰσδύουν τὸ ἕνα μέσα στὸ ἄλλο.

§ 5. Ὑπερουσίου θεογονίας: Σημείωσε, ὅτι ὑπερούσια θεογονία καὶ πηγὴ καλεῖ τὸν Πατέρα, καὶ ὅτι δὲν ἀποδίδει κατὰ ἐναλλαγὴ τὰ ὀνόματα.

Ἑνώσεις τε καὶ διακρίσεις: Τώρα διατυπώνει τὴ θεολογία γιὰ τὴν ἄρρητη προχώρηση τῆς ἁγίας Τριάδας ὡς τὶς τρεῖς ὑποστάσεις, ὅτι ὁ Θεὸς καὶ Πατέρας κινημένος ἔξω ἀπὸ τὸ χρόνο

εἰς διάκρισιν ὑποστάσεων, ἀμερῶς τε καὶ ἀμειώτως μείνας ἐν τῇ οἰκείᾳ ὁλότητι ὑπερηνωμένος καὶ ὑπερηπλωμένος, τοῦ οἰκείου ἀπαυγάσματος εἰς ὕπαρξιν προελθόντος, ὡς εἰκόνος ζώσης, καὶ τοῦ παναγίου Πνεύματος προσκυνητῶς καὶ ὑπεραεννάως ἐκπορευομένου ἐκ τοῦ Πατρός, ὡς μυσταγωγεῖ ὁ Κύριος· ἀγαθότητι δὲ ἐπληθύνθη ἐπὶ τρισυπόστατον θεαρχίαν ἡ αἰτία πάντων καὶ πηγή. Ταῦτα καὶ ὁ θεολόγος Γρηγόριος ἐν τοῖς Κατὰ Εὐνομίου λόγοις φησίν. Ἔστι δὲ καὶ κατὰ ἄλλον λόγον θεία διάκρισις, ἡ διὰ πλῆθος ἀγαθότητος πρόοδος τοῦ Θεοῦ εἰς τὴν πολυείδειαν τῆς δημιουργίας τῆς ἀοράτου καὶ ὁρατῆς. Κοιναὶ δέ εἰσι τῆς τρισυποστάτου καὶ διακεκριμένης ἑνάδος αἱ δημιουργικαὶ πρόνοιαί τε καὶ ἀγαθότητες· ἡ γὰρ παμβασιλὶς Τριὰς ἐν μεθέξει τῶν δυναμένων μετέχειν γίνεται ἀσχέτως τε καὶ ἀμεθέκτως· ταὐτὸν γὰρ δηλοῖ ἑκάτερον· μετέχεται γὰρ ὁ Θεὸς ἀσχέτως οὐ κατεχόμενος ἐν τόπῳ τῷ μετέχοντι, οὐδὲ αἰσθητῶς μετεχόμενος, ἀλλ᾽ ὅλος ἐν μετοχῇ ἑκάστου ὢν καὶ ἐξῃρημένος τῶν ἁπάντων· ὥσπερ φωνῆς μεγάλης γενομένης ἅπαντες μετέχουσιν οἱ παρόντες κατὰ τὴν οἰκείαν δύναμιν, καὶ ἀνὴρ καὶ νήπιον καὶ ἄλογα, ἀλλ᾽ οἱ μὲν ἐρρωμενέστερον, οἱ δὲ ἀμυδρότερον, πρὸς τὴν τῆς ἀκουστικῆς ἐνέργειαν, καὶ ἔστι μεθεκτὴ ἡ φωνή, καὶ ἐφ᾽ ἑαυτῆς ἀμέθεκτος μείνασα.

Ἐκ τῶν μετοχῶν καὶ τῶν μετεχόντων: Τὸ κατ᾽ οὐσίαν μὲν ἡ θεότης οὐ μετέχεται, οὔτε νοεῖται· μεθεκτὴ δέ ἐστιν ἐν τῷ ἐξ αὐτῆς εἶναι τὰ πάντα, καὶ ὑπ᾽ αὐτῆς συνέχεσθαι εἰς τὸ εἶναι.

Ἐν ἑκάστῳ τῶν ἐκτυπωμάτων: Παραδειγματικῶς φησι, πῶς ἀμεθέκτως μετέχεται ὁ Θεός.

§ 6. Οὐκ ἔστιν ἡ σφραγίς: Ἀντίθεσις καὶ λύσις ἐκ τοῦ παραδείγματος τῆς σφραγῖδος.

κι ἀπὸ ἀγάπη προχώρησε στὴ διάκριση τῶν ὑποστάσεων, παραμένοντας δίχως νὰ χωριστεῖ σὲ μέρη καὶ νὰ μειωθεῖ μέσα στὴν ὁλότητά του πέρα ἀπὸ κάθε ἕνωση καὶ κάθε ἀπλότητα, καθόσον προχώρησε στὴν ὕπαρξη τὸ ἀπαύγασμά του ὡς ζωντανὴ εἰκόνα καὶ τὸ πανάγιο Πνεῦμα ἐκπορεύεται ἀέναα ἀπὸ τὸν Πατέρα γιὰ νὰ τὸ προσκυνοῦμε, ὅπως διδάσκει μυστικὰ ὁ Κύριος, καὶ ἡ αἰτία καὶ ἡ πηγὴ ὅλων ἀπὸ ἀγάπη πληθύνθηκε σὲ τρισυπόστατη θεαρχία. Αὐτὰ λέει καὶ ὁ Γρηγόριος ὁ Θεολόγος στοὺς λόγους του κατὰ τοῦ Εὐνομίου. Ὑπάρχει ὅμως θεία διάκριση καὶ ἀπὸ ἄλλη ἄποψη, ποὺ γίνεται ἀπὸ ἀγαθότητα ἡ προχώρηση τοῦ Θεοῦ στὰ πολυπληθῆ εἴδη τῆς δημιουργίας τῆς ἀόρατης καὶ τῆς ὁρατῆς. Καὶ εἶναι κοινὲς οἱ δημιουργικὲς ἀγαθότητες καὶ πρόνοιες τῆς τρισυπόστατης καὶ διακεκριμένης ἑνάδας. Γιατὶ ἡ παμβασίλισσα Τριάδα μετέχεται ἀπὸ αὐτοὺς ποὺ ἔχουν τὴ δύναμη γι' αὐτὸ χωρὶς νὰ κρατιέται (ἄσχετα) καὶ χωρὶς νὰ μετέχεται ἀπὸ αὐτοὺς (ἀμέθεκτα). Κάθε μιὰ διατύπωση ἀπὸ αὐτὲς (καὶ κάθε ἐπίρρημα) σημαίνει τὸ ἴδιο. Ὁ Θεὸς δηλαδὴ μετέχεται χωρὶς νὰ κρατιέται καὶ χωρὶς νὰ κατέχεται στὸν τόπο ποὺ τὸν μετέχει κανείς, οὔτε μετέχεται αἰσθητά, ἀλλὰ ἀκέραιος ἀπὸ τὸ κάθε τι καὶ διακρινόμενος ἀπὸ ὅλα. Ὅπως ὅταν ἀκουστεῖ μιὰ δυνατὴ φωνὴ τὴν ἀκοῦν (τὴ μετέχουν) ὅλοι οἱ παρόντες ἀνάλογα μὲ τὴ δύναμή του ὁ καθένας, καὶ ὁ ἄνδρας καὶ τὸ νήπιο καὶ τὰ ἄλογα, ἀλλ' ἄλλοι τὴ μετέχουν πιὸ ἔντονα κι ἄλλοι πιὸ ἀδύνατα ἀνάλογα μὲ τὴν ἀκουστική τους ἱκανότητα, καὶ ἔτσι εἶναι ἡ φωνὴ μεθεκτή, ἔμεινε ὅμως καθεαυτὴ ἀμέθεκτη.

Ἐκ τῶν μετοχῶν καὶ τῶν μετεχόντων: Ἡ θεότητα κατὰ τὴν οὐσία της δὲν μετέχεται οὔτε νοεῖται. Μεθεκτὴ εἶναι κατὰ τὸ ὅτι τὰ πάντα προέρχονται ἀπὸ αὐτὴν καὶ ἀπὸ αὐτὴν συγκρατοῦνται στὸ εἶναι.

Ἐν ἑκάστῳ τῶν ἐκτυπωμάτων: Λέει μὲ παράδειγμα πῶς μετέχεται, χωρὶς ὡστόσο νὰ μετέχεται ὁ Θεός.

§ 6. Οὐκ ἔστιν ἡ σφραγίς: Ἀντίθεση καὶ λύση ἀπὸ τὸ παράδειγμα τῆς σφραγίδας.

Ἀπομόργματα: Ἀπομόργματα ἐνταῦθα τὰ ἐκτυπώματα λέγει.

Καὶ μήτε ἀντίτυπα: Ὡς λίθοι καὶ ξύλα, ἢ πάλιν τὰ τῆς ὑγρᾶς οὐσίας, ὧν οὐδὲν ἐπιδέχεται τὴν ἐκ δακτυλίου σφραγῖδα.

Διακέκριται δέ: Σημείωσαι, ὅτι διακέκριται τῆς ἁγίας Τριάδος ἡ ἐνανθρώπησις τοῦ Λόγου ὁλικῶς καὶ ἀληθῶς.

Τὸ καθ' ἡμᾶς: Ἐνταῦθα περὶ τῆς οἰκονομίας πάλιν διαλαβών, τῷ Θεῷ Λόγῳ ταύτην προσάπτει, μήτε Πατρός, μήτε τοῦ Πνεύματος ἐπικοινωνησάντων, πλὴν κατὰ βουλὴν μόνην. Σημείωσαι δὲ τὴν ἀκριβῆ τῆς οἰκονομίας διήγησιν, ὅτι οὐσιώθη ὁ ὑπερούσιος Θεὸς Λόγος ἀναλλοιώτως, ἐπεὶ μεμένηκε Θεός, καὶ οὐσιώθη καθ' ἡμᾶς ἐξ ἡμῶν ὁλικῶς, τουτέστι, σῶμα καὶ ψυχὴν λογικὴν κατὰ ἀλήθειαν ἐσχηκώς, καὶ ὅτι Θεὸς Λόγος ἐστὶ κατ' ἀλήθειαν ὁ παθών, δηλονότι σαρκί, καὶ ὅτι ἀνθρωπικὴ αὐτοῦ ἐστι θεουργία πάντα τὰ ἐν τῇ οἰκονομίᾳ, καὶ ὅτι οὐκ ἐκοινώνησεν εἰς ταῦτα Πατήρ, οὔτε τὸ Πνεῦμα τὸ ἅγιον, εἰ μὴ τῇ εὐδοκίᾳ καὶ βουλήσει τῆς σαρκώσεως καὶ εἰς τὸ συνεργάζεσθαι τῷ Υἱῷ Θεῷ τὰς θεοσημείας. Σημείωσαι δὲ ταῦτα μάλιστα κατὰ Νεστοριανῶν καὶ Ἀκεφάλων καὶ Φαντασιαστῶν.

Διακέκριται: Τοῦτ' ἔστι κεχωρῆσθαι τοῦ τριαδικοῦ καὶ θεολογικοῦ Λόγου τὸ καθ' ἡμᾶς ἐξ ἡμῶν ὁλικῶς καὶ ἀληθῶς σαρκωθῆναι, τοῦτ' ἔστιν ὁ τῆς ἐνανθρωπήσεως καὶ σαρκώσεως τοῦ Χριστοῦ Λόγος, καὶ δρᾶσαι καὶ παθεῖν ὅσα τῆς ἀνθρωπικῆς αὐτοῦ θεωρίας ἐστὶν ἔκκριτα. Ἀδιατήρητά φησι καὶ ἐξαίρετα, τοῦτ' ἔστιν καθαρὰ καὶ ἀδιάβλητα τῆς ἀνθρωπίνης αὐτοῦ φύσεως, ἅτινά ἐστι τόκος, νηπιότης, αὔξησις, δίψα, κόπος, λύπη, δάκρυον, πτύελος, αἷμα, τρῆσις, φθορά, ῥύσις, ἑκούσιος νέκρωσις, ἀφθεγξία, ἀκινησία, καὶ τὰ ὅμοια. Τούτοις γὰρ ὁ Πατὴρ καὶ τὸ Πνεῦμα κατ' οὐδένα τρόπον ἢ λόγον κεκοινώνηκεν, εἰ μή τις φαίη κατ' εὐδοκίαν τε καὶ βούλησιν.

Ἀπομόργματα: Ἀπομόργματα λέει ἐδῶ τὰ ἐκτυπώματα (τὰ ἀποτυπώματα).

Καὶ μήτε ἀντίτυπα: Ὅπως εἶναι οἱ πέτρες καὶ τὰ ξύλα, ἢ πάλι ὅσα ἔχουν ὑγρὴ φύση ποὺ δὲν ἀποδέχονται τὸ ἀποτύπωμα τῆς σφραγίδας.

Διακέκριται δέ: Σημείωσε, ὅτι διακρίνεται ὁλικὰ καὶ πραγματικὰ ἀπὸ τὴν ἁγία Τριάδα ἡ ἐνανθρώπηση τοῦ Λόγου.

Τὸ καθ' ἡμᾶς: Ἐδῶ κάνοντας πάλι λόγο γιὰ τὴν οἰκονομία τὴν ἀποδίδει στὸν Θεὸ Λόγο, χωρὶς νὰ συμμετεῖχαν οὔτε ὁ Πατέρας οὔτε τὸ ἅγιο Πνεῦμα, παρὰ μονάχα μὲ τὴ βούληση. Σημείωσε ἐπίσης τὴν ἀκριβὴ ἔκθεση τῆς οἰκονομίας, ὅτι ὁ ὑπερούσιος Θεὸς Λόγος ἔλαβε χωρὶς μεταβολὴ οὐσία, ἐπειδὴ ἔμεινε Θεός, καὶ ἔλαβε οὐσία σύμφωνα μὲ ἐμᾶς καὶ ἀπὸ ἐμᾶς ὁλικά, δηλαδὴ ἔλαβε πραγματικὰ σῶμα καὶ λογικὴ ψυχή, καὶ ὅτι ὁ Θεὸς Λόγος εἶναι αὐτὸς ποὺ ἔπαθε ἀληθινά, δηλαδὴ στὴ σάρκα. Ἐπίσης ὅτι εἶναι ἀνθρώπινη ἐκδήλωση Θεοῦ ὅλα ὅσα ἀποτελοῦν τὴν οἰκονομία, κι ὅτι σ' αὐτὰ δὲν ἔλαβαν μέρος ὁ Πατέρας οὔτε τὸ Πνεῦμα τὸ ἅγιο, παρὰ μονάχα μὲ τὴ συγκατάθεση καὶ τὴ βούληση στὴ σάρκωση καὶ μὲ τὴ συνεργασία μὲ τὸν Υἱὸ Θεὸ στὶς θεοσημεῖες. Σημείωσε ὅτι αὐτὰ στρέφονται κυρίως κατὰ τῶν Νεστοριανῶν καὶ τῶν Ἀκεφάλων καὶ τῶν Φαντασιαστῶν.

Διακέκριται: Σημαίνει ὅτι ἔχει χωρισθεῖ ἀπὸ τὸν τριαδικὸ θεολογικὸ λόγο ἡ σύμφωνη μὲ ἐμᾶς ἀπὸ ἐμᾶς ὁλικὴ καὶ ἀληθινὴ σάρκωση, δηλαδὴ ὁ λόγος γιὰ τὴν ἐνανθρώπηση καὶ τη σάρκωση τοῦ Χριστοῦ καὶ τὸ νὰ ἐνεργήσει καὶ νὰ πάθει ὅσα εἶναι ἴδια τῆς ἀνθρώπινης μορφῆς του. Ἀδιατήρητα λέει κι ἐξαίρετα, δηλαδὴ καθαρὰ καὶ ἀδιάβλητα, τὰ γνωρίσματα τῆς ἀνθρώπινης φύσης του, ποὺ εἶναι ἡ γέννηση, ἡ νηπιότητα, ἡ αὔξηση, ἡ δίψα, ὁ κόπος, ἡ λύπη, τὸ δάκρυ, τὸ σάλιο, τὸ αἷμα, τὸ τρύπημα τῆς πλευρᾶς, ἡ φθορά, ἡ ἔκκριση, ὁ ἐθελούσιος θάνατος, ἡ ἀδυναμία ὁμιλίας, κίνησης καὶ τὰ ὅμοια. Αὐτὰ βέβαια μὲ κανένα τρόπο δὲν εἶναι κοινὰ στὸν Πατέρα καὶ τὸ ἅγιο Πνεῦμα, ἐκτὸς ἂν πεῖ κανένας ὅτι συναινοῦσαν καὶ τὰ ἤθελαν.

Γεγονὼς ὁ ἀναλλοίωτος: Πῶς λέγει τὸν Λόγον παθεῖν, ὡς καὶ τό, «αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν» περὶ τοῦ Λόγου τῆς ζωῆς, ἐξεθέμεθα.

§ 7. *Τοῖς δὲ ὡς μυστικοῖς:* Κατὰ τὴν δύναμιν τὴν ἐνυπάρχουσαν ἐν τῷ ἄρτῳ καὶ τῷ ποτηρίῳ.

Ὑπὲρ νοερὰν ἐνέργειαν: Τῶν περὶ Θεοῦ λεγομένων τὴν διάνοιαν μὲν ἀναπτύσσει ὁ ἱερὸς νοῦς, ἤγουν ἑρμηνεύει, ὁ τοῖς θείοις διόλου ἐνασχολούμενος, καὶ τοῖς γηΐνοις καὶ ἐμπαθέσιν ἀνεπιθολώτως μένων, αὐτοῖς δὲ τοῖς θείοις οὐκ ἄλλως ἐπιβάλλει, ἢ κατὰ ἀπόπαυσιν πάσης κινήσεως νοητικῆς τῶν ὄντων· τοῦτο· γὰρ δηλοῖ τὸ ὑπὲρ νοερὰν ἐνέργειαν εἰπεῖν, τουτέστιν ὅταν τῷ ἀκαταλήπτῳ τοῦ Θεοῦ πάντοθεν περισχεθῇ, τότε καταλαμβάνει τὸ ζητούμενον.

Ταῖς μετοχαῖς μόναις: Προσυπακουστέον ὀνόματα. Μετοχὰς δέ φησιν, ὧν μετέχομεν τὴν ἐξ αὐτοῦ τοῦ Θεοῦ παροχήν.

Κρυφιότητα: Ὅτι καὶ τὸ Θεὸς ὄνομα οὐ δηλοῖ οὐσίαν, οὐδὲ τί ἐστιν ὁ Θεός, ἀλλ' εὐεργεσίαν τινὰ εἰς ἡμᾶς· καὶ ὅτι ἐκ τῶν μετοχῶν τῶν ὑπὸ τοῦ Θεοῦ δωρουμένων ἡμῖν, καὶ τὰς περὶ Θεοῦ ὀνομασίας ποιούμεθα, τὸ δὲ τί ἐστιν ὁ Θεός, πᾶσίν ἐστιν ἀνεπινόητον· καὶ γὰρ ἡ θεία ὕπαρξις, οὕτως ἀξίως ποσῶς ὑμνηθήσεται, ὅτε πάσης ἐνεργείας, καὶ τῆς δραστικωτάτης, νοερᾶς δέ, πάντως ὑφ' ἡμῶν ἀπολυθεῖσα, δέξεται ἡμᾶς διὰ σιγῆς ἁγίας, ἐπιβάλλοντας ταῖς ἐκεῖθεν ἐκφοιτώσαις δωρεαῖς· θελήματι γὰρ τὰ ὄντα παράγει, στάντων ἡμῶν βεβαίως ἐν τῇ τοῦ ἡμετέρου νοῦ ἀδιακρισίᾳ, ἣν ἐκάλεσε πρὸ μικροῦ 'γνῶσιν ἐν ἀγνωσίᾳ'.

Πάλιν, ὅτι μέν ἐστι πηγαία: Σημείωσαι τὰ σεβάσμια καὶ φρικτὰ ἐπὶ τῆς ἀχράντου Τριάδος ὀνόματα, ὅτι πηγαία θεότης ὁ Πατήρ, ὁ δὲ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον βλαστοί εἰσι τῆς θεο-

Γεγονὼς ὁ ἀναλλοίωτος: Ἔχομε ἐκθέσει πῶς λέει ὅτι ἔπαθε ὁ Λόγος, καθὼς καὶ τὴ φράση «τὰ χέρια μας ψηλάφησαν γιὰ τὸ Λόγο τῆς ζωῆς»[11].

§ 7. Τοῖς δὲ ὡς μυστικοῖς: Σύμφωνα μὲ τὴ δύναμη ποὺ ὑπάρχει στὸν ἄρτο καὶ τὸ ποτήριο.

Ὑπὲρ νοερὰν ἐνέργειαν: Τὸ νόημα ὅσων λέγονται γιὰ τὸν Θεὸ τὸ ἀναπτύσσει ὁ ἱερὸς νοῦς, δηλαδὴ τὸ ἑρμηνεύει ὅποιος ἀσχολεῖται ἐξ ὁλοκλήρου μὲ τὰ θεῖα καὶ μένει ἀθόλωτος ἀπὸ τὰ γήινα καὶ γεμάτα πάθη. Καὶ αὐτὰ πάλι τὰ θεῖα δὲν τὰ κατανοεῖ ἀλλιῶς, παρὰ σταματώντας κάθε λειτουργία διανοητική. Γιατὶ αὐτὸ σημαίνει ὁ λόγος του «πάνω ἀπὸ νοερὴ ἐνέργεια», δηλαδὴ ὅταν περικυκλωθεῖ ὁλόγυρα ἀπὸ τὴν ἀκαταληψία τοῦ Θεοῦ, τότε συλλαμβάνει αὐτὸ ποὺ ζητᾶ.

Ταῖς μετοχαῖς μόναις: Πρέπει νὰ ἐννοήσομε μαζὶ τὴ λέξη 'ὀνόματα'. Μετοχὴ ἐννοεῖ τὴν παροχὴ ἀπὸ τὸν ἴδιο τὸν Θεὸ ὅλων ἐκείνων ποὺ μετέχομε.

Κρυφιότητα: Καὶ τὸ ὄνομα 'Θεὸς' δὲν δηλώνει οὐσία οὔτε τί εἶναι ὁ Θεός, ἀλλὰ κάποια εὐεργεσία σ' ἐμᾶς, καὶ ὅτι ἀπὸ τὶς μετοχὲς ποὺ μᾶς δωρίζει ὁ Θεὸς δημιουργοῦμε καὶ τὶς ὀνομασίες τὶς σχετικὲς μὲ τὸν Θεό, τί εἶναι ὅμως ὁ Θεός, αὐτὸ κανένας δὲν μπορεῖ νὰ τὸ συλλάβει. Γιατὶ ἡ θεία ὕπαρξη ἔτσι κάπως ἐπάξια θὰ ὑμνηθεῖ, ὅταν, ἐλευθερωμένη ἐκ μέρους μας ἀπὸ κάθε ἐνέργεια καὶ τὴ δραστικότερη ποὺ εἶναι ἡ νοερή, θὰ μᾶς δεχθεῖ μὲ ἅγια σιγὴ νὰ προσεγγίζομε τὶς δωρεὲς ποὺ πηγάζουν ἀπὸ αὐτήν. Γιατὶ μὲ θέλημά του δημιουργεῖ τὰ ὄντα, ἂν σταθοῦμε ἐμεῖς βεβαιότερα στὸ ἀδιάσπαστο καὶ ἀδιαχώριστο τοῦ νοῦ μας, ποὺ λίγο πιὸ πάνω τὴν εἶπε γνώση ἀπὸ ἀγνωσία.

Πάλιν ὅτι μέν ἐστι πηγαία: Σημείωσε τὰ σεβαστὰ καὶ φρικτὰ ὀνόματα γιὰ τὴν ἄχραντη Τριάδα: ὁ Πατέρας εἶναι πηγαία θεότητα, ἐνῶ ὁ Υἱὸς καὶ τὸ ἅγιο Πνεῦμα εἶναι βλαστοὶ τῆς θεο-

11. Α' Ἰω. 1,1.

γόνου θεότητος, τουτέστι τοῦ Πατρός, θεόφυτοι, καὶ ἄνθη, καὶ φῶτα ὑπερούσια. Μᾶλλον δὲ βλαστούς φησιν εἰρῆσθαι ἐν τῇ Γραφῇ ἀπὸ τῆς τῶν ἐλαιῶν ὀπτασίας Ζαχαρίου τοῦ ἑνδεκάτου τῶν προφητῶν· δύο γὰρ κλάδους τῆς ἐλαίας φασὶν οἱ Ἑβδομήκοντα, οἱ δὲ ἄλλοι ἑρμηνευταὶ στάχυας καὶ βλαστούς· φῶτα δέ, ἐν οἷς εἴρηται, «Πατρὸς τῶν φώτων» καὶ «Φῶς ἐκ φωτός». Πατριὰν δὲ λέγει τὴν οἱονεὶ πατρότητα. Ἐπιφέρει γοῦν υἱότης· καὶ γοῦν φησιν ὁ Ἀπόστολος· «ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται»· τὸ γὰρ εἶναί τε πατέρας καὶ υἱοὺς ὀνομάζεσθαι ἄνωθεν ἔρρευσεν, ἐκ τοῦ Πατρὸς μὲν φύσει τοῦ Υἱοῦ ὄντος, Πατρὸς δὲ πάντων δημιουργικῶς καὶ διδασκαλικῶς· ὅθεν καὶ ἀσώματοι καὶ νοητοὶ θεῶν πατέρες καὶ υἱοὶ διδασκαλικῶς καὶ ὑπερκειμένως ἐν ἀγγέλοις καὶ δικαίοις, ὡς καὶ ὁ Ἀπόστολος δηλοῖ, πάντων τῶν πατέρων ἄρχοντος τοῦ κυρίως Πατρός, ἅτε καὶ τὴν τοιαύτην μέθεξιν δόντος, καὶ πάντων τῶν υἱῶν ἄρχοντος τοῦ Υἱοῦ, ἅτε καὶ αὐτοῦ μεθεκτοῦ ἐν τούτῳ γινομένου, ὡς αὐτός φησιν· «ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις»· ὅτι καλεῖται Πατὴρ ὁ αὐτὸν ἔχων Υἱόν, τὸν ταῦτα εἰπόντα.

§ 8. Τοῖς αἰτιατοῖς: Αἰτιατά ἐστι πάντα τὰ παραχθέντα εἰς κτίσιν, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς, αἴτια δὲ τὰ ὑπερόντα, τουτέστιν αἱ τρεῖς ὑποστάσεις τῆς ἁγίας Τριάδος. Πρόδηλον οὖν ὅτι οὐδεμία ἐμφέρεια τούτων πρὸς ἄλληλα, αἰτίων φησὶ καὶ αἰτιατῶν. Καλῶς δὲ προσέθηκε τὸ 'ἐνδεχομένας'· οὐ γὰρ ἁπάσας.

Καὶ ζῆν εἴ τις φαίη: Ὅτι περισσῶς καὶ οὐσιωδῶς προσένεστι τὰ τῶν αἰτιατῶν τοῖς αἰτίοις. Ὥστε οὐ καλῶς λέγομεν ζῆν καὶ φωτίζεσθαι τὸ θεῖον· τοῦτο γὰρ τοῦ ζῆν ἡμᾶς καὶ φωτί-

γόνου θεότητας, δηλαδὴ τοῦ Πατέρα, θεοβλάστητοι καὶ ἄνθη καὶ φῶτα ὑπερούσια. Καὶ μᾶλλον λέει ὅτι ὀνομάστηκαν βλαστοὶ ἀπὸ τὶς ἐλιὲς τῆς ὀπτασίας τοῦ Ζαχαρία τοῦ ἑνδέκατου ἀπὸ τοὺς προφῆτες· οἱ ἑβδομήκοντα λένε δύο κλαδιὰ τῆς ἐλιᾶς, ἐνῶ οἱ ἄλλοι ἑρμηνευτὲς χρησιμοποιοῦν τὰ ὀνόματα στάχυα καὶ βλαστούς. Φῶτα λέγονται ἀπὸ αὐτὰ ποὺ εἰπώθηκαν, «τοῦ Πατέρα τῶν φώτων» καὶ «φῶς ἐκ φωτός». Πατριὰ λέει κατὰ κάποιο τρόπο τὴν πατρότητα (τὴν ἰδιότητα τοῦ Πατέρα). Προϋποθέτει λοιπὸν τὸ 'υἱότης' (ἰδιότητα τοῦ Υἱοῦ)· καὶ πράγματι λέει ὁ Ἀπόστολος· «ἀπὸ τὸν ὁποῖον κάθε πατριὰ ὀνομάζεται καὶ στὸν οὐρανὸ καὶ στὴ γῆ»[12]. Τὸ νὰ ὑπάρχουν πατέρες καὶ νὰ ὀνομάζονται υἱοί, προῆλθε ἀπὸ ἄνω, ἀπὸ ἐκεῖνον ποὺ εἶναι ἀπὸ τὴ φύση του Πατέρας τοῦ Υἱοῦ, καὶ Πατέρας ὅλων ἐπειδὴ τοὺς δημιούργησε καὶ τοὺς δίδαξε. Γι' αὐτὸ εἶναι κι ἀσώματοι καὶ νοητοὶ πατέρες θεῶν καὶ υἱοὶ μὲ τὴ διδασκαλία καὶ ὑπερβατὰ στοὺς ἀγγέλους καὶ στοὺς δίκαιους, ὅπως δηλώνει καὶ ὁ Ἀπόστολος, ὅλων τῶν πατέρων ἀρχηγὸς εἶναι ὁ καθευτὸ Πατέρας, ἐπειδὴ ἔδωσε καὶ τὴ μετοχὴ στὴν πατρότητα, καὶ ὅλων τῶν υἱῶν ἀρχηγὸς ὁ Υἱός, ἐπειδὴ κι αὐτὸς μετεῖχε τὴν υἱότητα, ὅπως λέει ὁ ἴδιος, «φανέρωσα τὸ ὄνομά σου στοὺς ἀνθρώπους»[13]· γιατὶ καλεῖται Πατέρας ποὺ ἔχει Υἱὸ αὐτὸν τὸν ἴδιο ποὺ εἶπε αὐτὸ τὸ λόγο.

Τοῖς αἰτιατοῖς: Αἰτιατὰ εἶναι ὅλα ὅσα ἦρθαν στὴ δημιουργία εἴτε στὸν οὐρανὸ εἴτε στὴ γῆ. Αἴτια εἶναι τὰ πάνω ἀπὸ τὰ ὄντα, δηλαδὴ οἱ τρεῖς ὑποστάσεις τῆς ἁγίας Τριάδας. Εἶναι ὁλοφάνερο λοιπὸν ὅτι δὲν ὑπάρχει καμμιὰ ὁμοιότητα μεταξὺ τῶν δύο, τῶν αἰτίων, λέει, καὶ τῶν αἰτιατῶν. Σωστὰ πρόσθεσε τὸ 'ἐνδεχόμενες', γιατὶ δὲν εἶναι ὅλες.

Καὶ ζῆν εἴ τις φαίη: Λέει ὅτι περισσὰ καὶ κατ' οὐσίαν προσενυπάρχουν τὰ αἰτιατὰ μέσα στὰ αἴτια. Ἑπομένως δὲν λέμε σωστὰ ὅτι τὸ Θεῖο ζεῖ καὶ φωτίζεται· γιατὶ τὸ Θεῖο εἶναι γιὰ

---

12. Ἐφ. 3,15.
13. Ἰω. 17,6.

ζεσθαι αἴτιον· οὐσιωδῶς οὖν προσένεστι τῷ θείῳ, ἅπερ ἡμῖν κατὰ χάριν· τοῦτο γὰρ σημαίνει τὸ 'κατὰ μέθεξιν'· λέγει γὰρ ὁ Ἀπόστολος· «χάριτί ἐστε σεσωσμένοι»· καὶ ἡμεῖς μὲν σεσωσμένοι λεγόμεθα, αὐτὸς δὲ ἡμῶν Σωτήρ ἐστι. Καὶ πάλιν· «ἀπὸ γὰρ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν».

§ 9. Ἀλλὰ καὶ τὸ πάσης θεολογίας: Ὅτι θεολογίαν καλεῖ τὰ περὶ τῆς ἐνανθρωπήσεως, καὶ ὅτι καθ' ἡμᾶς θεοπλασίαν φησὶ τὴν τοῦ Κυρίου Ἰησοῦ σάρκωσιν. Ταῦτα κατὰ Νεστοριανῶν μάλιστα, τὸ ἀνδρικῶς αὐτὸν οὐσιωθῆναι λέγειν· ὅρα δὲ ὅτι ἐκ τῶν παρθενικῶν αἱμάτων φησὶ τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ διαπλασθῆναι. Σημείωσαι δέ, πῶς φησι, πρεσβυτάτους ἀγγέλους εἶναί τινας, καὶ πρῶτον αὐτῶν τινα εἶναι. Λέγει δὲ πρεσβυτέρους ἀγγέλους ὁ θεῖος Ἰωάννης ἐν τῇ Ἀποκαλύψει· καὶ ἑπτὰ εἶναι τοὺς πρώτους ἐν τῷ Τωβίᾳ ἀνέγνωμεν, καὶ παρὰ Κλήμεντι βιβλίῳ ε' τῶν Ὑποτυπώσεων. Πρεσβυτάτους δὲ ἀγγέλους εἴωθε καλεῖν, τὰς ἀνωτάτω τρεῖς τάξεις, θρόνους, σεραφίμ, χερουβίμ, ὡς δηλοῖ ἐν τῷ Περὶ τῆς οὐρανίας ἱεραρχίας λόγῳ πολλάκις· φησὶ δὲ ἐνταῦθα, μήτε τῷ πρωτίστῳ τῶν ἀγγέλων ἐφικτὸν εἶναι τὸν τρόπον τῆς ἐνανθρωπήσεως.

Καὶ τῷ κλεινῷ: Ἐνδόξῳ.

Καθηγεμόνι: Καθηγεμόνα οἰκεῖον, τὸν ἅγιον Ἱερόθεον αἰνίττεται, ὡς εὐθὺς δηλοῖ· μετὰ γὰρ τὸν Παῦλον ἐκ τούτου ὠφελήθη· λέγει δὲ ὅτι ἴσως παθὼν τὰ θεῖα ἐκεῖνος, οὕτως ἐνεπνεύσθη· τί δέ ἐστιν οὐ μόνον μαθών, ἀλλὰ καὶ παθών, εἴρηται μὲν οὖν καὶ ἐν τῇ πρὸς Ἑβραίους· «ἔμαθε γὰρ ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν». Ὁ γὰρ παθὼν πείρᾳ λαμβάνει τὸ διδασκόμενον,

---

14. Ἐφ. 2,18.

μᾶς αἴτιο τοῦ νὰ ζοῦμε καὶ νὰ φωτιζόμαστε. Ἐνυπάρχουν λοιπὸν στὸ Θεῖο κατ' οὐσίαν ὅσα σ' ἐμᾶς κατὰ χάρη· καθόσον αὐτὸ σημαίνει τὸ 'κατὰ μέθεξη'. Γιατὶ ὁ Ἀπόστολος λέει, «ἔχετε σωθεῖ κατὰ χάρη»[14], καὶ ἐμεῖς λεγόμαστε σωσμένοι, ἐνῶ ἐκεῖνος Σωτήρας μας. Καὶ ἀλλοῦ· «ἐμεῖς ὅλοι ἔχομε λάβει ἀπὸ τὸ πλεόνασμα ποὺ τὸν γεμίζει»[15].

§ 9. Ἀλλὰ καὶ τὸ πάσης θεολογίας: Θεολογία καλεῖ ὅσα ἀφοροῦν τὴν ἐνανθρώπηση, καὶ θεοπλαστία σύμφωνα μ' ἐμᾶς καλεῖ τὴ σάρκωση τοῦ Κυρίου Ἰησοῦ. Αὐτὰ λέγονται κυρίως κατὰ τῶν Νεστοριανῶν, ὅτι ἔλαβε τὴν οὐσία τοῦ ἀνθρώπου. Πρόσεχε ποὺ λέει ὅτι ἀπὸ αἵματα παρθενικὰ διαπλάστηκε τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ. Σημείωσε ἐπίσης πῶς λέει ὅτι ὑπάρχουν μερικοὶ ἄγγελοι ποὺ ἔχουν τὰ πρεσβεῖα καὶ ὅτι εἶναι κάποιος ἀπὸ αὐτοὺς πρῶτος. Γιὰ τοὺς ἀγγέλους ποὺ ἔχουν τὰ πρεσβεῖα μιλάει ὁ ἅγιος Ἰωάννης στὴν Ἀποκάλυψή του· διαβάσαμε καὶ στὸν Τωβία, ὅτι οἱ πρῶτοι ἄγγελοι εἶναι ἑπτά, καθὼς καὶ στὸ πέμπτο βιβλίο τῶν Ὑποτυπώσεων τοῦ Κλήμεντα. Πρεσβυτέρους ἀγγέλους συνήθως καλεῖ τὶς τρεῖς ἀνώτατες τάξεις, τοὺς θρόνους, τὰ σεραφὶμ καὶ τὰ χερουβίμ, ὅπως λέει συχνὰ στὸ ἔργο του Περὶ οὐρανίας ἱεραρχίας. Λέει λοιπὸν ἐδῶ πὼς οὔτε ὁ πρῶτος πρῶτος ἀπὸ τοὺς ἀγγέλους μπορεῖ νὰ καταλάβει τὸν τρόπο τῆς ἐναθρώπησης.

Καὶ τῷ κλεινῷ: Δηλαδὴ στὸν ἔνδοξο.

Καθηγεμόνι: Ὡς δικό του καθηγεμόνα ὑπαινίσσεται τὸν ἅγιο Ἱερόθεο, ὅπως δηλώνει ἀμέσως. Γιατὶ ἔπειτα ἀπὸ τὸν Παῦλο ὠφελήθηκε ἀπὸ αὐτόν. Καὶ λέει ὅτι, ἐπειδὴ ἐκεῖνος ἔπαθε ἐξίσου μ' ἐκεῖνον, ἐμπιστεύθηκε ὅμοια. Τί σημαίνει τὸ ὄχι μόνο ἔμαθε, ἀλλὰ καὶ ἔπαθε, ἔχει εἰπωθεῖ καὶ στὴν πρὸς Ἑβραίους ἐπιστολή· γιατὶ «ἔμαθε τὴν ὑπακοὴ ἀπὸ τὰ ὅσα ἔπαθε»[16]. Ἐκεῖνος δηλαδὴ ποὺ παθαίνει παίρνει τὸ δίδαγμα μὲ τὴν

15. Ἰω. 1,16.
16. Ἑβρ. 5,8.

οἷον ὁ τυπτόμενος, μᾶλλον τοῦ μόνον ἀκούσαντος· οὐ μὴν καὶ τυπτηθέντος ποτέ, τίς ὁ τοιοῦτος πόνος γινώσκει, καὶ μᾶλλον ἂν παραστήσειεν, ὁποῖόν ἐστι τὸ ἄλγος· οὕτω καὶ ὁ δι' ἀποκαλύψεως μυούμενος, θειότερον ἑρμηνεύσει τὰ θεῖα. Τὸ δὲ παθεῖν τὰ θεῖα τοιοῦτόν ἐστιν· εἴρηται τῷ 'Αποστόλῳ, «συνταφῶμεν τῷ Χριστῷ, ἵνα καὶ συναναστῶμεν αὐτῷ καὶ συμβασιλεύσωμεν», ὁ δὲ σταυρῶν ἑαυτὸν καὶ τὴν ἑαυτοῦ σάρκα, αὐτὸς τὰ στίγματα τοῦ Χριστοῦ ἐν τῷ οἰκείῳ σώματι περιφέρει· εἰκότως οὖν καὶ συμβασιλεύει τῷ Χριστῷ καὶ τὰ θεῖα αὐτοῦ θαρρεῖται μυστήρια, ὅταν καὶ ὁ ἅγιος Ἱερόθεος λέγεται μὴ μόνον μαθεῖν, ἀλλὰ καὶ παθεῖν τὰ θεῖα· καὶ ὁ δι' ἀποκαλύψεως τὰ θεῖα μυούμενος, ἐξίσταται ἑαυτοῦ, καὶ καλῶς λέγεται παθεῖν τὸ ἐπωφελὲς τοῦτο πάθος, ἵνα Θεοῦ γένηται καταγώγιον. Ἄλλως. Παθεῖν αὐτὸν ἔφη τὰ θεῖα, ὡς οὐ διδακτῶς διὰ λόγου τὴν περὶ τούτων δέξασθαι μύησιν λέγων, ἀλλὰ τῇ θείᾳ ἐκλάμψει ἐντυπωθῆναι, καὶ οἷον ἐνσημανθῆναι τῇ διανοίᾳ τὴν γνῶσιν τῶν ὑπὲρ φύσιν, καὶ τὴν τοιαύτην τῶν θειοτέρων μύησιν συμπάθειαν ἐκάλεσεν, ἤγουν συνδιάθεσιν.

§ 10. Ἡ πάντων αἰτία: Τὰ θεῖα ταῦτα παρίστησι ρήματα, πῶς καὶ ὁ Υἱὸς «τὰ πάντα ἐν πᾶσι», καὶ «κεφαλὴ πάντων» κατὰ τὸν 'Απόστολον· καί φησιν, ὅτι πάντων ἐστὶ πλήρωμα καὶ συνοχεύς, τὴν ἀλληλουχίαν τῶν δημιουργημάτων συσφίγγων, τουτέστι τὰ μέρη τῷ παντί, ὡς τὸ πᾶν ὤν· ὡς τοῦ παντὸς οὖν συναγωγεύς, καὶ μέρος εἰκότως, ἐπειδὴ καὶ πᾶν μέρος τοῦ παντός ἐστι μέρος, καὶ οὔτε πᾶν, οὔτε μέρος, ὡς μηδὲν ὤν ἐξ αὐ-

πείρα, ὅπως αὐτὸς ποὺ δέχεται χτυπήματα μαθαίνει καλύτερα ἀπὸ ἐκεῖνον ποὺ ἀκούει μονάχα. Κι αὐτὸς ποὺ δέχθηκε τὰ χτυπήματα κάποτε, γνωρίζει τί εἶναι αὐτὸς ὁ πόνος καὶ θὰ τὸν παραστήσει καλύτερα. Ἔτσι κι ὅποιος διδάσκεται μὲ ἀποκάλυψη, θὰ ἑρμηνεύσει τὰ θεῖα θεϊκότερα. Τὸ νὰ πάθει κανεὶς τὰ θεῖα ἔχει κάπως ἔτσι. Ἔχει πεῖ ὁ Ἀπόστολος, «ἂς ταφοῦμε μαζὶ μὲ τὸν Χριστό, ὥστε καὶ νὰ συναναστηθοῦμε μαζί του καὶ νὰ συμβασιλέψουμε»[17]. Κι ὅποιος σταυρώνει τὸν ἑαυτό του καὶ τὴ σάρκα του, αὐτὸς περιφέρει στὸ σῶμα του τὰ στίγματα τοῦ Χριστοῦ. Ἐπομένως δικαιλογημένα βασιλεύει μαζὶ μὲ τὸν Χριστὸ καὶ τολμᾶ ν' ἀντικρύσει τὰ θεῖα μυστήριά του, ὅταν κι ὁ θεϊκὸς Ἱερόθεος λέγεται ὅτι ὄχι μόνο ἔμαθε, ἀλλὰ ἔπαθε (ἐβίωσε) τὰ θεῖα. Κι ὅποιος διδάσκεται τὰ θεῖα μυστήρια μὲ ἀποκάλυψη, ζεῖ μιὰ ἔκσταση ἀπὸ τὸν ἑαυτό του, καὶ ὀρθὰ λέγεται ὅτι ἔπαθε αὐτὸ τὸ ὠφέλιμο πάθος (βίωση), γιὰ νὰ γίνει κατοικία τοῦ Θεοῦ. Ἄλλη ἐξήγηση. Εἶπε ὅτι αὐτὸς ἔπαθε (βίωσε) τὰ θεῖα, ἐπειδὴ δὲν δέχθηκε μὲ διδασκαλία λόγων τὴ μύησή του σχετικὰ μὲ αὐτά, ἀλλὰ τοῦ ἐντυπώθηκαν μὲ θεῖο φωτισμὸ καὶ σφραγίστηκε κατὰ κάποιο τρόπο στὴ διάνοιά του ἡ γνώση τῶν ὑπερφυσικῶν πραγμάτων, κι αὐτὴ τὴ μυητικὴ διδασκαλία τῶν θείων τὴν κάλεσε συμ–πάθεια, δηλαδὴ συν–διάθεση.

§ 10. Ἡ πάντων αἰτία: Τὰ λόγια αὐτὰ παριστάνουν τὰ θεῖα, πῶς καὶ ὁ Υἱὸς εἶναι τὰ πάντα μέσα στὰ πάντα καὶ τῶν ὅλων κεφαλή, κατὰ τὸν Ἀπόστολο[18]. Καὶ λέει ὅτι εἶναι τὸ πλήρωμα ὅλων κι αὐτὸς ποὺ συγκρατεῖ ὅλα, συσφίγγοντας τὴν ἀλληλουχία τῶν δημιουργημάτων, συσφίγγοντας δηλαδὴ τὰ μέρη μὲ τὸ σύνολο, ἐπειδὴ αὐτὸς εἶναι τὸ σύνολο. Ὡς αὐτὸς λοιπὸν ποὺ συνάγει τὸ σύνολο, εἶναι φυσικὰ καὶ μέρος, ἐπειδὴ καὶ κάθε μέρος εἶναι μέρος τοῦ παντός, ἀλλὰ καὶ οὔτε πᾶν, οὔτε μέρος, ἐπειδὴ δὲν εἶναι τίποτε ἀπὸ αὐτά, ἀλλ' εἶναι καὶ πάνω ἀπὸ κάθε

17. Ἐπιστολὲς Παύλου πολλαχοῦ.
18. Κολ. 2,10.

τῶν, ἀλλὰ καὶ ὑπὲρ πᾶσαν οὐσίαν· μέρη δὲ ὅλου τοῦ κόσμου εἰσὶ τὰ κατ' εἶδος ὁρώμενα, ἀήρ, γῆ, φυτά, καὶ τὰ λοιπά· καὶ ἔστι μὲν οἷά τις τελεία λεγομένη ἡ αὐτοῦ θεότης, ὡς πρὸς ἡμᾶς τοὺς ἀτελεῖς, ὡς παρὰ Ματθαίῳ· «τέλειοι γίνεσθαι, ὅτι ἐγὼ τέλειός εἰμι»· πρὸς δὲ ἀγγέλους τοὺς τελείους οὐ τέλειος, ἀλλ' ὑπερτέλειός ἐστι· καὶ τελετάρχης ὁ Υἱός, ὡς ἄρχων πάσης τελειότητος, ἐπειδὴ καὶ προτέλειος. Οὕτω καὶ εἶδος λέγεται ἐν τοῖς ἀνειδέοις καὶ ἀσωμάτοις, ὡς ἀπάσης τῆς εἰδοποιίας δηδημιουργός, καὶ ἀρχὴ παντὸς εἴδους· πρὸς δὲ ταῦτα τὰ εἴδη ἀνείδεος καὶ ὑπὲρ εἶδος, ἐπειδὴ δεύτερα αὐτοῦ καὶ τὰ εἴδη καὶ αἱ ἰδέαι.

Ἀφορίζουσα: Ἀντὶ τοῦ διακρίνουσα καὶ πρὸς τὸ ἀσύγχυτον διασῴζουσα.

Καὶ μέτρον ἐστί: Μέτρον ἐστὶ τῶν ὄντων, ἐπειδὴ ἐν αὐτῷ τὰ πάντα πεπέρασται, καὶ αἰὼν μάλιστα δικαίως ἂν λέγοιτο· εἰ γὰρ αἰὼν λέγεται, οἱονεὶ ἀεὶ ὤν, αὐτός ἐστιν ὁ ἀεὶ ὤν· εἴρηται γάρ, «Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι»· καὶ πάλιν· «ὁ ἀριθμῶν πλήθη ἄστρων, καὶ τὸν οὐρανὸν μετρῶν σπιθαμῇ, καὶ τὴν γῆν δρακί». Ποιητὴς δὲ αἰώνων, ἅτε τῶν ἀγγέλων ποιητὴς ὤν· ἀθάνατοι γὰρ οὗτοι, καὶ ἡ ἀθανασία, παράτασις, ἀειζωΐα, αἰών, ἀλλ' οὐ χρόνος, ἀτελεύτητος καὶ ἀεὶ ἐσόμενος, λέγεται· οὐ κατὰ τοῦτο οὖν λέγεται αἰών, κατὰ τὸν χρόνον τὸν τέλος ἔχοντα, ἀλλὰ κατὰ τὸ ἀεὶ ὤν, εἰς αἰῶνας τέλος οὐκ ἔχοντας.

Πλήρης ἐν τοῖς ἐνδεέσιν: Ὅπερ εἶπεν ἄνω, ἀτελὴς δὲ ἐν τοῖς τελείοις, ὧδέ φησιν ὑπερπλήρης ἐν τοῖς πλήρεσι· καὶ τὸ ἀτελὴς οὖν οὕτως ὀφείλεις νοεῖν, ὑπερτέλεια ἐν τοῖς τελείοις.

---

19. Ματθ. 5,48. 20. Ψαλμ. 110,28.

οὐσία. Μέρη τοῦ κόσμου ὅλου εἶναι τὰ διάφορα εἴδη ποὺ βλέπομε, ὅπως ὁ ἀέρας, ἡ γῆ, τὰ φυτὰ κ.τ.λ. Καὶ εἶναι τέλεια, ὅπως λέγεται, ἡ θεότητά του σὲ σχέση μὲ ἐμᾶς τοὺς ἀτελεῖς, ὅπως λέγεται στὸ Ματθαῖο· «γίνετε τέλειοι, γιατὶ κι ἐγὼ εἶμαι τέλειος»[19]. Σὲ σχέση μὲ τοὺς ἀγγέλους τοὺς τέλειους δὲν εἶναι πιὰ τέλειος, ἀλλὰ ὑπερτέλειος. Εἶναι καὶ τελετάρχης ὁ Υἱός, ἐπειδὴ εἶναι ἀρχὴ κάθε τελειότητας, ἀφοῦ εἶναι καὶ ὑπερτέλειος. Γι' αὐτὸ λέγεται καὶ εἶδος ἀνάμεσα στὰ ἀνείδεα καὶ ἀσώματα, ἐπειδὴ εἶναι ὁ δημιουργὸς ὅλης τῆς ποικιλίας τῶν εἰδῶν καὶ ἀρχὴ κάθε εἴδους. Ἔναντι αὐτῶν τῶν εἰδῶν αὐτὸς εἶναι ἀνείδεος καὶ πάνω ἀπὸ τὸ εἶδος, ἐπειδὴ τὰ εἴδη καὶ οἱ ἰδέες εἶναι κατώτερά του.

Ἀφορίζουσα: Ἀντὶ τοῦ, ποὺ διακρίνει (ποὺ διαχωρίζει), καὶ διασώζει νὰ μένουν ἀσύγχυτες.

Καὶ μέτρον ἐστί: Εἶναι μέτρο τῶν ὄντων, ἐπειδὴ τὰ πάντα περατώνονται μέσα σ' αὐτὸν καὶ πολὺ σωστὰ θὰ λεγόταν αἰώνας. Γιατί, ἂν λέγεται αἰώνας, ὡς ὑπάρχων κατὰ κάποιο τρόπο πάντοτε, αὐτὸς εἶναι ποὺ αἰώνια ὑπάρχει. Γιατὶ ἔχει λεχθεῖ, «Σὺ εἶσαι ὁ ἴδιος καὶ τὰ ἔτη δὲ θὰ λείψουν ἀπὸ Σένα»[20]· καὶ πάλι, «Αὐτὸς ποὺ ἀριθμεῖ τὰ πλήθη τῶν ἀστεριῶν»[21], «ποὺ μετρᾶ μὲ τὴ σπιθαμή του τὸν οὐρανὸ καὶ μὲ τὴ φούχτα του τὴ γῆ»[22]. Ποιητὴς τῶν αἰώνων εἶναι, ἐπειδὴ εἶναι ποιητὴς τῶν ἀγγέλων, ποὺ εἶναι αὐτοὶ ἀθάνατοι· λέγεται ἀθανασία, παράταση, ἀειζωία, αἰώνας, ὄχι ὅμως χρόνος, ἀτελεύτητος καὶ ποὺ θὰ ὑπάρχει πάντα. Δὲ λέγεται λοιπὸν αἰώνας σύμφωνα μ' αὐτό, κατὰ τὸ χρόνο δηλαδὴ ποὺ ἔχει τέλος, ἀλλὰ σύμφωνα μὲ τὸ ἀεὶ ὤν, τὸ ὅτι αἰώνια ὑπάρχει, στοὺς αἰῶνες ποὺ δὲν ἔχουν τέλος.

Πλήρης ἐν τοῖς ἐνδεέσιν: Αὐτὸ ποὺ εἶπε πιὸ πάνω, 'ἀτελὴς μέσα στοὺς τέλειους', ἐδῶ τὸ λέει 'ὑπερπλήρης μέσα στοὺς πλήρεις. Καὶ τὸ ἀτελὴς λοιπὸν ἔτσι ὀφείλεις νὰ τὸ ἀντιλαμβάνεσαι, 'ὑπερτέλεια μέσα στὰ τέλεια'.

---

21. Ψαλμ. 146,4.
22. Ἠσ. 40,12.

Καὶ ἕως φύσεως: Ὁρᾷς πῶς φησιν, ἐπειδὴ καὶ ἕως φύσεως ἐλήλυθε· φύσεως μὲν τῆς ἡμετέρας νόησον· καὶ ὅτι τὸ φύσεως οὐ καλῶς λέγομεν ἐπὶ Θεοῦ· ἰδοὺ γὰρ πῶς φησιν, 'ἕως φύσεως κατῆλθε', τουτέστιν, ἕως ἐκείνου ἔφθασε τοῦ ἀτιμοτέρου, καὶ οὗπερ αὐτὸς οὐκ ἐκέκτητο. Σημείωσαι τὰς ἐμφάσεις τῶν λέξεων.

Ἀναλλοιώτως. Σημείωσαι, ὅτι ἀναλλοιώτως καὶ ἀσυγχύτως ἐκοινώνησεν ἡμῖν καὶ ἀπαθῶς, καὶ ὅτι ἐν τοῖς φυσικοῖς ἡμῶν ἔμεινεν ὑπερφυής, καὶ ἐν τοῖς κατ' οὐσίαν ὑπερούσιος, καὶ εἶχε τὰ ἡμῶν ὑπὲρ ἡμᾶς, οἷον τὸ ἐκ παρθένου, τὸ ἀναμάρτητον, τὸ ἐν ἐξουσίᾳ Θεοῦ λαλεῖν καὶ πάντα πράττειν, τὸ περιπατεῖν ἐπάνω τοῦ ὕδατος, καὶ ὅσα τοιαῦτα. Σημείωσαι οὖν, ὅτι οὐδεὶς οὕτω θεολογεῖ περὶ τῆς οἰκονομίας κατὰ Νεστοριανῶν καὶ Ἀκεφάλων καὶ Φαντασιαστῶν.

§ 11. Τὰ κοινὰ καί: Κοινὰ καὶ ἡνωμένα τὰ τῆς ἁγίας Τριάδος ὀνόματα, ὅσα ἐκ τῶν αὐτῆς δωρεῶν τῶν εἰς τὰ μετ' αὐτὴν ὀνομάζεται, ἅς τινας δωρεὰς διακρίσεις φησί, καὶ οἱονεὶ πληθυσμούς.

Πληθύεται δὲ ἑνικῶς: Τοῦτο κατὰ Φαντασιαστῶν, πολλαπλασιάζεσθαι λέγεται τὸ ἕν· ἐπειδὴ γὰρ ἐξ αὐτοῦ ἅπαντα, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ἔκτισται, καὶ αὐτός ἐστι κεφαλὴ πάντων τῶν ὄντων, καὶ αὐτὸς τὰς ὅλας οὐσίας παρήγαγεν, εἰκότως πολλαπλασιάζεσθαι λέγεται διὰ τῶν παρ' αὐτοῦ γενομένων, ὅταν καὶ πάντων ὑποταττομένων τῷ Πατρί, αὐτὸς λέγεται διὰ τῶν παρ' αὐτοῦ γενομένων, τῷ Πατρὶ ὑποτάττεσθαι, ὥς φησιν ὁ Ἀπόστολος, «τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται»· καὶ ὁ τοιοῦτος ἐν τῷ πληθυσμῷ τῆς πάντων παραγωγῆς ἔμεινεν εἷς καὶ ὁ αὐτὸς ἐν τῇ ἀνελαττώτῳ χύσει τῶν αὐτοῦ μεταδόσεων, ἐν

Καὶ ἕως φύσεως: Βλέπεις τί λέει· ἐπειδὴ καὶ ἔφτασε ὣς τὴ φύση· ὣς τὴ φύση, νὰ ἐννοήσεις τὴ δική μας, καὶ ὅτι δὲν λέμε σωστὰ τὸ φύσεως σχετικὰ μὲ τὸν Θεό. Ἰδοὺ πῶς λέει, κατέβηκε ὣς τὴ φύση, δηλαδή, ἔφτασε ὡς ἐκεῖνο τὸ ἀνάξιο, ποὺ αὐτὸς δὲν εἶχε. Σημείωσε τὶς σημασίες τῶν λέξεων.

Ἀναλλοιώτως: Σημείωσε, ὅτι ἔγινε ἴδιος μ' ἐμᾶς χωρὶς νὰ ὑποστεῖ καμμιὰ μεταβολὴ καὶ καμμιὰ σύγχυση μαζί μας, καὶ ὅτι μέσα στὴ δική μας φυσικὴ κατάσταση ἔμεινε ὑπερφυσικὸς καὶ ὑπερούσιος πάνω ἀπὸ τὴ δική μας οὐσία, καὶ εἶχε τὰ δικά μας γνωρίσματα πάνω ἀπὸ ἐμᾶς, ὅπως γιὰ παράδειγμα τὴ γέννηση ἀπὸ παρθένο, τὸ ἀναμάρτητο, τὸ ὅτι μιλοῦσε μὲ ἐξουσία Θεοῦ, κι ἔπραττε τὰ πάντα, τὸ ὅτι περπατοῦσε πάνω στὸ νερὸ καὶ ὅσα ἄλλα παρόμοια. Σημείωσε λοιπὸν ὅτι κανένας δὲν ἐκθέτει τέτοια θεολογία γιὰ τὴ θεία οἰκονομία κατὰ τῶν Νεστοριανῶν καὶ τῶν Ἀκεφάλων καὶ τῶν Φαντασιαστῶν.

§ 11. Τὰ κοινὰ καί: Τὰ ὀνόματα τῆς ἁγίας Τριάδας εἶναι κοινὰ καὶ ἑνωμένα, ὅσα λέγονται ἀπὸ τὶς δωρεές της στὰ ἔπειτα ἀπὸ αὐτήν. Τὶς δωρεὲς αὐτὲς τὶς λέει διακρίσεις καὶ κατὰ κάποιο τρόπο πληθυσμούς.

Πληθύεται δὲ ἑνικῶς: Τοῦτο λέγεται ἐναντίον τῶν Φαντασιαστῶν· λέγεται ὅτι πολλαπλασιάζεται τὸ ἕνα. Ἐπειδὴ δηλαδὴ τὰ πάντα ἔχουν δημιουργηθεῖ ἀπὸ αὐτόν, μέσω αὐτοῦ καὶ γι' αὐτόν, καὶ εἶναι ὁ ἴδιος κεφαλὴ ὅλων τῶν ὄντων καὶ εἶναι αὐτὸς ποὺ δημιούργησε ὅλες τὶς οὐσίες, εὔλογα λέγεται ὅτι πολλαπλασιάζεται μὲ ὅσα ἔχουν γίνει ἀπὸ αὐτόν, ὅταν καὶ μὲ τὴν ὑποταγὴ ὅλων στὸν Πατέρα λέγεται κι ὁ ἴδιος ὅτι μὲ ὅσα δημιουργήθηκαν ἀπὸ αὐτὸν ὑποτάσσεται στὸν Πατέρα, ὅπως λέει ὁ Ἀπόστολος, «τότε θὰ ὑποταγεῖ καὶ ὁ ἴδιος ὁ Υἱός»[23]. Κι αὐτὸς μέσα στὸν πολλαπλασιασμὸ τῆς παραγωγῆς τῶν ὅλων ἔμεινε ἕνας καὶ ὁ αὐτὸς μέσα στὴν ἀμείωτη διάχυση τῶν μετα-

23. Α Κορ. 15,28.

τῷ παντὶ μέρος ὤν, καὶ μηδὲν ὢν τοῦ παντός· ἔστι γὰρ ὑπερούσιος· καὶ ἡμῖν ἀνέφικτος· ἑρμηνεύει δὲ αὐτὸ ὑποκατιών.

Καὶ τῇ ἑνιαίᾳ: Ἑνιαίαν ἔφη τῶν ὅλων παραγωγήν, δηλῶν ἅμα τῷ βούλεσθαι, καὶ οὐ κατὰ μικρόν τι καὶ μερικῶς κτισθῆναι, ἤτοι πρὸς τὸ εἶναι ἐλθεῖν τὰ γεγονότα. Ἀνελάττωτον δὲ μετάδοσιν, ἤτοι ὅτι κτίζων τὰ ὄντα ὁ Θεός, οὐδὲν τῶν οἰκείων μειοῖ ἀγαθῶν.

Ἐννοήσας ὁ κοινὸς ἡμῶν: Κοινὸς καθηγεμὼν καὶ χειραγωγὸς ὁ ἀπόστολος Παῦλος δηλονότι· δι' αὐτοῦ γὰρ ἐπίστευσεν, ὡς ἔγνωμεν ἐν ταῖς Πράξεσι. Καὶ σημειωτέον, ὅτι καὶ ὁ ἅγιος Ἱερόθεος τῷ ἁγίῳ Παύλῳ ἐμαθητεύθη.

Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι: Τό, κἂν θεοὶ πολλοὶ καὶ κύριοι ὦσι, πλὴν ἕνα εἶναι τὸν ἀληθῶς Θεὸν καὶ Πατέρα, καὶ ἕνα τὸν ἀληθῶς Κύριον Ἰησοῦν, τοῦτο δηλοῖ, ὅτι ἡ πάντων αἰτία, καὶ δημιουργὸς θεότης κατὰ μετάδοσιν ἀμέριστον καὶ ἀσκέδαστον τῆς ἐπωνυμίας τῆς οἰκείας θεότητος καὶ κυριότητος τοὺς λεγομένους θεοὺς καὶ κυρίους προήγαγεν, οὐ κατακερματισθείσης τῆς θεότητος εἰς μέρη θεοτήτων, ὡς χρυσὸς εἰς νομίσματα πολλά, οὔτε τῶν πολλῶν θεῶν συμπληρούντων τὴν αὐτοῦ θεότητα, ὃν τρόπον τὰ πολλὰ εἴδη, τὸν ἕνα κόσμον, ἀλλὰ πληθύνεσθαι λέγεται ὁ Θεός, τῷ καθ' ἕκαστον εἰς παραγωγὴν τῶν ὄντων βουλήματι, προνοητικαῖς προόδοις, πολλαπλασιαζόμενος μέν, μένων δὲ ἀμερὲς ἕν, ὥσπερ ἥλιος ἀκτῖνας πολλὰς ἐκπέμπων, καὶ μένων ἐν τῇ ἑνότητι· εἴρηται γὰρ καὶ περὶ τοῦ Ἡλίου τῆς δικαιοσύνης, ὁ καθ' ἡμέραν μεριζόμενος, καὶ μὴ δαπανώμενος· καλῶς δὲ καὶ ἐπὶ τῶν θείων εἴρηται, τὰς ἑνώσεις τῶν διακρίσεων ἐπικρατεστέρας εἶναι· καὶ γὰρ οὐ δεῖ τὸν νουνεχῶς ἀκροώμενον περὶ Θεοῦ, ἑνάδα περὶ αὐτοῦ ἀκούοντα, ὑπονοεῖν ἀσθένειαν, οὔτε ἁπλοῦν ὡς ἀδύνατον· οὐδὲν γὰρ ἐπὶ Θεοῦ οἰ-

δόσεών του, ὄντας ἕνα μέρος μέσα στὸ πᾶν, καὶ χωρὶς νὰ εἶναι τίποτε ἀπὸ τὸ πᾶν. Γιατὶ εἶναι ὑπερούσιος καὶ ἀπροσπέλαστος ἀπὸ ἐμᾶς. Αὐτὸ τὸ ἑρμηνεύει παρακάτω.

Καὶ τῇ ἑνιαίᾳ: Ἑνιαία εἶπε τὴ δημιουργία τῶν ὅλων, δηλώνοντας ὅτι συγχρόνως μὲ τὴ θέλησή του ἦρθαν στὴν ὕπαρξη ὅσα ἔγιναν, καὶ δὲν δημιουργήθηκαν λίγο λίγο καὶ κατὰ μέρη. Ἀνελάττωτη μετάδοση ἐννοεῖ ὅτι, δημιουργώντας ὁ Θεὸς τὰ ὄντα, δὲν ἐλαττώνει κανένα ἀπὸ τὰ ἀγαθά του.

Ἐννοήσας ὁ κοινὸς ἡμῶν: Κοινὸς ὁδηγὸς καὶ δάσκαλος εἶναι προφανῶς ὁ ἀπόστολος Παῦλος. Γιατὶ μέσω τοῦ Παύλου πίστεψε, ὅπως εἴδαμε στὶς Γραφές. Καὶ νὰ σημειώσεις ὅτι καὶ ὁ ἅγιος Ἱερόθεος μαθήτεψε κοντὰ στὸν ἅγιο Παῦλο.

Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι: Αὐτὸ τὸ λέει 'ἀκόμη κι ἂν ὑπάρχουν πολλοὶ θεοὶ καὶ κύριοι, ὡστόσο ἕνας εἶναι ὁ ἀληθινὸς Θεὸς καὶ Πατέρας καὶ ἕνας ὁ ἀληθινὸς Κύριος Ἰησοῦς', ποὺ σημαίνει ὅτι ἡ αἰτία καὶ δημιουργὸς ὅλων θεότητα σύμφωνα μὲ ἀδιαίρετη καὶ ἀσκόρπιστη μετάδοση τῆς ἐπωνυμίας τῆς θεότητας καὶ τῆς κυριότητάς της ἔκανε τοὺς λεγόμενους θεοὺς καὶ κυρίους, χωρὶς νὰ κατακερματίσθηκε ἡ θεότητα σὲ ἐπιμέρους θεότητες, ὅπως ὁ χρυσὸς σὲ πολλὰ νομίσματα, οὔτε οἱ πολλοὶ θεοὶ συμπληρώνουν τὴ θεότητά του, ὅπως τὰ πολλὰ εἴδη τὸν ἕνα κόσμο. Ἀλλὰ ὁ Θεὸς λέγεται ὅτι πληθαίνει, ἐπειδὴ μὲ τὸ ἐπὶ μέρους θέλημά του γιὰ τὴν παραγωγὴ καθενὸς ἀπὸ τὰ ὄντα χωριστὰ πολλαπλασιάζεται μὲ τὶς ἐκδηλώσεις τῆς πρόνοιάς του, μένοντας ὡστόσο ἕνα χωρὶς μέρη, ὅπως ὁ ἥλιος ποὺ ἐξακοντίζει πολλὲς ἀκτίνες, ἀλλὰ μένει μέσα στὴν ἑνότητά του, ἔτσι ἔχει λεχθεῖ καὶ γιὰ τὸν ἥλιο τῆς δικαιοσύνης ποὺ μοιράζεται κάθε μέρα χωρὶς νὰ ἐξαντλεῖται. Ὀρθὰ λέγεται καὶ γιὰ τὰ θεῖα, ὅτι οἱ ἑνώσεις εἶναι ἐπικρατέστερες ἀπὸ τὶς διακρίσεις. Γιατὶ βέβαια δὲν πρέπει ὁποιος ἀντιλαμβάνεται μὲ σύνεση ὅσα λέγονται γιὰ τὸν Θεό, ἀκούοντας τὴν ἔννοια 'ἑνότητα' γι' αὐτόν, νὰ τὴ νομίζει ἀσθένεια, οὔτε 'τὴν ἁπλότητα' ἀδυναμία. Γιατὶ δὲ λέγεται περὶ Θεοῦ τίποτε ἀνάλογα μὲ τὰ δικά μας καὶ

κείως παρ' ἡμῶν λέγεται τῆς ἰδιότητος ἐκείνης ἐφικνούμενον, οὔτε κατὰ στέρησιν, ὡς ἀθάνατος, καὶ τὰ ὅμοια· οὔτε κατὰ θέσιν, ὡς ζωὴ τυχὸν καὶ τὸ ἕν, ἀλλὰ τὸ ἕν, ὡς πᾶσιν ἀσύμβλητον ῥητέον, ὅπερ ὡσαύτως ἔχει καὶ ἐν ταῖς ἀνεκφοιτήτοις τῆς οἰκείας ἑνάδος τῶν λοιπῶν ὑποστάσεσι· μένει γὰρ ὁ αὐτός, κἄν τὸ βούλημα δοκῇ διακρίνεσθαι εἰς τὴν τῶν λοιπῶν παραγωγήν. Πάσης οὖν διακρίσεως, τουτέστιν εἰς τὸ εἶναι τὰ πάντα παρόδου. Προαιτία δὲ καὶ ἐπικρατεστέρα ἡ τοῦ Θεοῦ ἀμέριστος ἑνάς. Ἐπὶ δὲ τῶν αἰσθητῶν τὸ ἐναντίον· οὐδὲ γὰρ αὐτῶν ἐστιν ἑνάς, ἀλλ' αἱ διακρίσεις τῶν στοιχείων, προϋποῦσαι, σύνδρομοι γινόμεναι καὶ ἑνούμεναι, δευτέρας τὰς ἐκ τῆς συνθέσεως ἑνώσεις ἐργάζονται· ἐπὶ δὲ τῶν θείων οὐχ οὕτως· ἐπὶ αὐτῶν γὰρ προϋποῦσα ἡ ἕνωσις τὰς διακρίσεις βουλήματι δευτέρας ποιεῖ.

Καὶ μετὰ τὴν τοῦ ἑνός: Ἑνώσεις μὲν ἐπὶ τῶν θείων φησίν, ἤτοι τὰ ἑνιαίως τε καὶ μοναδικῶς ἐπὶ τῆς θεότητος θεωρούμενα, ἄνευ γε δηλαδὴ ὧν προϋπεστείλατο ἰδιοτήτων, τουτέστι πατρότητος, υἱότητος, καὶ τῆς ἐκ τοῦ Πατρὸς Πνεύματος ἐκπορεύσεως· διακρίσεις δέ, τὸ πολλὰ εἶναι τὰ τῶν θείων μετέχοντα δωρεῶν· προκατάρχουσι τοίνυν καὶ ἐπικρατοῦσι τὰ τῶν ἑνώσεων· οὐ γὰρ ἐκ τῶν πολλῶν συνήχθη τὰ τῆς μιᾶς θεότητος καὶ κυριότητος, ἀλλὰ ἐκ τοῦ ταύτης μοναδικοῦ, ὃ ἐν ἐκείνοις πληθυσμὸς θεωρεῖται.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟ Γ'

§ 1. Τὴν ἀγαθαρχικήν: Τὴν ἀρχηγὸν πάσης ἀγαθότητος.

Οὐ πάντα δέ: Πῶς οὐ πάντα πάρεστι τῷ Θεῷ, φησὶ μὲν καὶ αὐτός, νοήσεις δὲ αὐτὸ καὶ ἐκ θείου χρησμοῦ· «ἐγγίσατε πρὸς μέ, καὶ ἐγὼ ἐγγιῶ πρὸς ὑμᾶς, λέγει Κύριος».

Ἡμᾶς οὖν αὐτούς: Σημείωσαι, ὅτι ἡ εὐχὴ ἡμᾶς ἀνάγει πρὸς

νὰ φτάνει ἐκείνη τὴν ἰδιότητά του, οὔτε κατὰ στέρηση (ἀρνητικό), ὅπως ἀθάνατος καὶ τὰ ὅμοια, οὔτε κατὰ θέση (θετικό, καταφατικό), ὅπως γιὰ παράδειγμα ζωὴ καὶ ἕνα, ἀλλὰ τὸ ἕνα πρέπει νὰ λεχθεῖ ὡς ἀσυμβίβαστο μὲ ὅλα, τὸ ὁποῖο εἶναι τὸ ἴδιο καὶ στῶν λοιπῶν τὶς ὑποστάσεις ποὺ δὲν ἐξέρχονται ἀπὸ τὴν ἑνάδα τους. Γιατὶ μένει ὁ ἴδιος ἀκόμα κι ἂν τὸ θέλημά του φαίνεται πὼς διασπᾶται στὴν παραγωγὴ τῶν λοιπῶν. Τὸ 'πάσης οὖν διακρίσεως' σημαίνει τὴν παραγωγὴ στὸ εἶναι. Πρώτη αἰτία καὶ ἐπικρατέστερη εἶναι ἡ ἀδιαίρετη ἑνάδα τοῦ Θεοῦ. Στὰ αἰσθητὰ ὅμως συμβαίνει τὸ ἀντίθετο. Δὲν ὑπάρχει σ' αὐτὰ ἑνότητα, ἀλλὰ οἱ διακρίσεις τῶν στοιχείων ποὺ προϋπάρχουν, μὲ τὴ σύγκλιση καὶ τὴν ἕνωσή τους πραγματοποιοῦν ἀπὸ τὴ σύνθεση τὶς δεύτερες ἑνώσεις. Στὰ θεῖα ὅμως δὲ συμβαίνει τὸ ἴδιο. Γιατὶ σ' αὐτὰ προϋπάρχοντας ἡ ἕνωση μὲ τὸ θέλημά του κάνει τὶς διακρίσεις δεύτερες.

Καὶ μετὰ τὴν τοῦ ἑνός: Ἑνώσεις σχετικὰ μὲ τὰ θεῖα λέει ὅσα γνωρίζομε ἑνιαῖα καὶ μοναδικά· γιὰ τὴ θεότητα, δηλαδὴ χωρὶς τὶς ἰδιότητες μὲ τὶς ὁποῖες εἶχε περιοριστεῖ, δηλαδὴ τὴν πατρότητα, τὴν υἱότητα καὶ τὴν ἐκπόρευση τοῦ Πνεύματος ἀπὸ τὸν Πατέρα. Διακρίσεις λέει τὸ πλῆθος ἐκείνων ποὺ μετέχουν τὶς θεῖες δωρεές. Εἶναι λοιπὸν πρωταρχικὰ καὶ ἐπικρατοῦν τὰ τῶν ἑνώσεων· γιατὶ δὲν συνενώθηκε ἀπὸ πολλὰ ἡ μία θεότητα καὶ κυριότητα, ἀλλὰ ἀπὸ τὸ ἑνιαῖο καὶ τὴ μοναδικότητα τῆς μιᾶς θεότητας προῆλθε ὁ πολλαπλασιασμὸς ἐκείνων.

ΣΤΟ ΚΕΦΑΛΑΙΟ 3

§ 1. Τὴν ἀγαθαρχικήν: Τὴν ἀρχηγὸ κάθε ἀγαθότητας.

Οὐ πάντα δέ: Πῶς δὲν εἶναι ὅλα παρόντα στὸν Θεό, τὸ λέει κι αὐτός, θὰ τὸ ἐννοήσεις ὅμως καὶ ἀπὸ θεῖο λόγο· «πλησιάστε σ' ἐμένα, καὶ θὰ πλησιάσω κι ἐγὼ σ' ἐσᾶς», λέει ὁ Κύριος.

Ἡμᾶς οὖν αὐτούς: Σημείωσε ὅτι ἡ προσευχὴ μᾶς ἀνυψώνει

τὸν Θεόν, οὐκ αὐτὸν πρὸς ἡμᾶς κατάγει· σημείωσαι δὲ καὶ τὰ παραδείγματα ὡραῖα ὄντα.

Πολυφώτου σειρᾶς: Καλῶς ἀπείκασεν οὐρανίᾳ σειρᾷ τὴν καθ' ἡμᾶς προσευχήν. Ὥσπερ γὰρ ὁ εἰς ὕψος οὐρανοῦ ἀνιέναι θέλων ἐπιδράττεται ταῖς χερσὶν ἰσχυρῶς τῆς σχοίνου ταύτης.

Πεισμάτων: Σχοινίων.

Τὴν ἁπανταχῇ: Πῶς πανταχοῦ πάρεστι καὶ οὐδαμοῦ ὁ Θεός, εἴρηται ἡμῖν ἀνωτέρω ἐν τῇ ἐξηγήσει, ἧς ἡ ἀρχή, Θέσιν φασὶν οἱ φιλόσοφοι. Ὥσπερ οὖν ὁ κατὰ μικρὸν ἑαυτὸν τῆς γῆς κουφίζων ταῖς χερσὶ δοκεῖ μὲν καθέλκειν τὴν σειράν, αὐτὸς δὲ κουφίζεται καὶ πρὸς ὕψος αἴρεται τῇ κατὰ μικρὸν ἀναβάσει, οὕτω καὶ ὁ ἐκτενῶς προσευχόμενος διὰ τῶν πράξεων, ἃς ὁ λόγος χεῖρας καλεῖ, τῇ κατὰ μικρὸν ἐργασίᾳ καὶ προσευχῇ τὸν νοῦν αὐτοῦ πρὸς Θεὸν ἀνυψοῖ· ἐὰν δὲ τὰς χεῖρας ἀπολύσωμεν τῆς σειρᾶς καὶ μὴ φροντίσωμεν τῆς ἐπὶ τὰ ἄνω φορᾶς, πίπτομεν ἐξ ὕψους. Τὸ αὐτὸ καὶ περὶ τῆς νηός, ἵνα νοήσωμεν ναῦν τὴν ἡμῖν διάνοιαν ῥιπιζομένην τοῖς τοῦ βίου ἀνέμοις, θάλασσαν δὲ τὸν βίον τὸν γέμοντα πολλῶν χειμώνων, πέτραν δὲ τὸν Χριστόν, ὃν κρατοῦντες ἀσάλευτοι διαμένομεν πρὸς αὐτόν, τὸν βίον ἡμῶν ἕλκοντες.

§ 2. Τοῦ κλεινοῦ: Ἐνδόξου.

Εἰκαιολογῆσαι: Ματαιολογῆσαι.

Στοιχειωθέντας: Στοιχειωθέντας λέγει ἀντὶ τοῦ ὠφεληθέντας. Ἰστέον δέ, ὅτι μετὰ Παῦλον ἐμαθητεύθη τῷ ἁγίῳ Ἱεροθέῳ. 'Ὑφαρπάζοντας' δὲ λέγει ἀντὶ τοῦ 'κρυφίως ἰδιοποιουμένους καὶ σφετεριζομένους'.

Πρεσβυτικῶς: Τὸ πρεσβυτικῶς μὲν ἴσως ἔλαβεν ἀντὶ τοῦ ἐμπείρως καὶ ἐπιστημονικῶς· συνοπτικοὺς δὲ ὅρους φησὶ τοὺς σύντομον ἔχοντας τὴν θεωρίαν· τοῦτο γὰρ ἐδήλωσε καὶ 'ἑνιαίας' εἰπών· συνελίξεις δέ φησι τὰς δι' ὀλίγων ἐκφράσεις.

στὸν Θεό, δὲν κατεβάζει τὸν Θεὸ σ' ἐμᾶς. Σημείωσε ἐπίσης ὅτι καὶ τὰ παραδείγματα εἶναι κατάλληλα.

Πολυφώτου σειρᾶς: Ὡραία παρομοίασε τὴν προσευχή μας μὲ κλίμακα. Ὅπως δηλαδὴ αὐτὸς ποὺ θέλει ν' ἀνεβεῖ στὸν οὐρανό, ἁρπάζει δυνατὰ μὲ τὰ χέρια του τὸ σχοινὶ αὐτῆς τῆς σκάλας.

Πεισμάτων: Δηλαδὴ σχοινιῶν.

Τὴν ἁπανταχῆ: Πῶς ὁ Θεὸς εἶναι παρὼν παντοῦ καὶ πουθενά, τὸ ἔχομε πεῖ πιὸ πάνω στὴν ἐξήγηση ποὺ ἡ ἀρχή της εἶναι, 'Θέση λένε οἱ φιλόσοφοι'. Ὅπως λοιπὸν αὐτὸς ποὺ ὑψώνει λίγο τὸν ἑαυτό του ἀπὸ τὴ γῆ νομίζει ὅτι μὲ τὰ χέρια τραβάει τὴ σκάλα πρὸς τὰ κάτω, ἐνῶ ἀνεβαίνει πρὸς τὸ ὕψος ὁ ἴδιος, ἔτσι κι ὅποιος προσεύχεται ἐκτενῶς μὲ τὶς πράξεις, ποὺ ὁ λόγος ὀνομάζει χέρια, μὲ τὴ λίγη λίγη ἐργασία καὶ προσευχὴ ἀνυψώνει τὸ νοῦ του πρὸς τὸν Θεό. Ἂν ὅμως βγάλομε τὰ χέρια ἀπὸ τὴ σκάλα καὶ δὲν φροντίσομε γιὰ τὸ ἀνέβασμα, πέφτομε ἀπὸ τὸ ὕψος. Τὸ ἴδιο συμβαίνει καὶ στὸ πλοῖο, ἂν φανταστοῦμε σὰν πλοῖο τὴ διάνοιά μας ποὺ τὴ χτυποῦν οἱ ριπὲς τῶν ἀνέμων τῆς ζωῆς, ὡς θάλασσα τὸν βίο ποὺ εἶναι γεμάτος ἀπὸ τρικυμίες, καὶ ὡς πέτρα τὸν Χριστό, πού, ἂν τὸν κρατοῦμε, μένομε ἀσάλευτοι, τραβώντας κοντά του τὸν βίο μας.

§ 2. Τοῦ κλεινοῦ: Δηλαδὴ τοῦ ἐνδόξου.

Εἰκαιολογῆσαι: Τὸ νὰ λέει κανένας μάταια λόγια.

Στοιχειωθέντας: Χρησιμοποιεῖ τὸ στοιχειοθετοῦν ἀντὶ τὸ ὠφελοῦν. Πρέπει νὰ ξέρομε ὅτι μετὰ τὸν Παῦλο μαθήτευσε στὸν ἅγιο Ἱερόθεο. Τὴ μετοχὴ πάλι 'ὑφαρπάζοντας' τὴ χρησιμοποεῖ ἀντὶ νὰ πεῖ, αὐτοὶ ποὺ ἰδιοποιοῦνται καὶ σφετερίζονται κρυφά.

Πρεσβυτικῶς: Ἴσως χρησιμοποίησε αὐτὸ τὸ ἐπίρρημα ἀντὶ νὰ πεῖ μὲ ἐμπειρία καὶ ἐπιστημονικά. Συνοπτικοὺς ὅρους λέει ὅσους μποροῦν ν' ἀναλυθοῦν σύντομα. Τοῦτο τὸ δήλωσε ὅταν εἶπε καὶ 'ἑνιαίας'. Συνελίξεις λέει τὶς ὀλιγόλογες ἐκφράσεις.

Ὡς οἷον ἡμῖν: Τουτέστιν ὡς δυνατὸν ἐμοὶ καὶ αὐτὸς προέτρεψας ἑρμηνεῦσαι, καὶ ὅσοι καθ' ἡμᾶς διδάσκαλοι οὕτως ἡρμήνευσαν· αὕτη ἡ σύνθεσις τοῦ ὑπερβατοῦ.

Δεύτερα λόγια: Σημείωσαι, ὅτι τὰ τοῦ ἁγίου Ἱεροθέου Συγγράμματα ὡς δευτέραν ἁγίαν Γραφὴν νομιστέον.

Αὐτοπτικήν: Τὴν ἀνεπικάλυπτον καὶ ἐμφανεστέραν κατανόησιν λέγει.

Πρεσβυτικῆς: Ὅτι ἡ πρεσβυτικὴ ἀξία τελειοτέρα καὶ διδασκαλικωτέρα πάντων ἱερέων ἐστί. Τί δέ ἐστι πρεσβυτική, νοήσεις ἐξ Ἡσαΐου λέγοντος· «οὐ πρέσβυς, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἥξει καὶ σώσει ἡμᾶς»· καὶ ἐκ τῆς τοῦ ἁγίου Ἰωάννου Ἀποκαλύψεως, ὅς εἴκοσι τέσσαρας πρεσβυτέρους εἶπεν ἑωρακέναι ἐν οὐρανοῖς περὶ τὸν τοῦ Θεοῦ ἀνεκλάλητον θρόνον.

Τοῦ ζωαρχικοῦ: Ζωαρχικὸν καὶ θεοδόχον σῶμα τάχα τὸ τῆς ἁγίας Θεοτόκου λέγει, τότε κοιμηθείσης. Σημείωσαι δὲ καὶ τό, ὁ ἀδελφόθεος Ἰάκωβος, καὶ ὅτι συμπαρῆν Πέτρῳ καὶ Ἰακώβῳ τοῖς ἀποστόλοις ὁ θεῖος οὗτος ἀνήρ.

Τῶν θεολόγων: Περὶ τῶν ἁγίων ἀποστόλων λέγει.

Τῆς θεαρχικῆς ἀσθενείας. Θεαρχικὴν ἀσθένειαν ἐνταῦθά φησιν τὴν ἑκούσιον τοῦ Υἱοῦ ἄχρι σαρκός, ἁμαρτίας δίχα, συγκατάβασιν· ἁμαρτίαν γὰρ πάντη ἀγνοήσας, κατηξίωσεν ὑπὲρ ἡμῶν, μὴ ἐκστὰς τῶν οἰκείων, ἀναμαρτήτως ἁμαρτίᾳ διὰ τῆς δι' ἑαυτοῦ ἡμῶν υἱοθεσίας εἰς τὴν ἀρχαίαν ἐπαναγάγῃ ἐλευθερίαν· πλούσιος γὰρ ὢν θεότητι, πτωχεύει τὴν πλουτοποιὸν πτωχείαν, ἀναλαβὼν ὑπερφυῶς τὴν ἡμῶν σάρκα, ἵνα ἡμεῖς τὴν ἐκείνου πλουτήσωμεν θεότητα, καὶ ἐν μορφῇ Θεοῦ καὶ Θεὸς

Ὡς οἷον ἡμῖν: Δηλαδὴ καὶ σὺ μὲ παρακίνησες νὰ κάνω κι ἐγὼ μιὰ ἑρμηνεία σύμφωνα μὲ τὶς δυνατότητές μου, καὶ ὅσοι εἶναι δάσκαλοι δικοί μας τέτοια ἑρμηνεία ἔκαναν. Αὐτὴ εἶναι ἡ σύνθεση τοῦ ὑπερβατοῦ.

Δεύτερα λόγια: Σημείωσε ὅτι τὰ Συγγράμματα τοῦ ἁγίου Ἱεροθέου πρέπει νὰ θεωρηθοῦν σὰν δεύτερη ἁγία Γραφή.

Αὐτοπτικήν: Ἐννοεῖ τὴν χωρὶς ἐπικαλύμματα καὶ φανερὴ κατανόηση.

Πρεσβυτικῆς: Τὸ πρεσβυτικὸ ἀξίωμα εἶναι τελειότερο καὶ πιὸ διδασκαλικὸ ἀπὸ ὅλους τοὺς ἱερεῖς. Τί εἶναι τὸ πρεσβυτικὸ θὰ τὸ ἐννοήσεις ἀπὸ τὸν Ἠσαΐα ποὺ λέει· «ὄχι πρέσβυς, ὄχι ἄγγελος, ἀλλὰ θαρθεῖ ὁ ἴδιος ὁ Κύριος καὶ θὰ μᾶς σώσει»[1]. Καὶ ἀπὸ τὴν Ἀποκάλυψη τοῦ ἁγίου Ἰωάννη[2], ποὺ εἶπε ὅτι εἶδε στοὺς οὐρανοὺς εἴκοσι τέσσερες πρεσβύτες γύρω ἀπὸ τὸν ἀπερίγραπτο θρόνο τοῦ Θεοῦ.

Τοῦ ζωαρχικοῦ: Ζωαρχικὸ καὶ θεοδόχο σῶμα ἴσως λέει τὸ σῶμα τῆς ἁγίας Θεοτόκου, ποὺ εἶχε τότε κοιμηθεῖ. Σημείωσε καὶ τὸ 'ὁ ἀδελφόθεος Ἰάκωβος', καὶ ὅτι ἦταν παρὼν μαζὶ μὲ τοὺς ἀποστόλους Πέτρο καὶ Παῦλο καὶ ὁ θεῖος αὐτὸς ἄνδρας.

Τῶν θεολόγων: Ἀναφέρεται στοὺς ἁγίους ἀποστόλους.

Τῆς θεαρχικῆς ἀσθενείας: Θεαρχικὴ ἀσθένεια λέει ἐδῶ τὴν ἑκούσια συγκατάβαση τοῦ Υἱοῦ ὡς τὴ σάρκα χωρὶς ἁμαρτία. Γιατί, ἀγνοώντας τελείως τὴν ἁμαρτία, ἔκρινε ἄξιο χωρὶς νὰ βγεῖ ἀπὸ τὸν ἑαυτό του νὰ γίνει γιὰ χάρη μας ἁμαρτία χωρὶς ἁμαρτία, γιὰ νὰ ἐπαναφέρει ἐμᾶς, ποὺ ὑποδουλωθήκαμε στὴν ἁμαρτία, μὲ τὴν μέσω αὐτοῦ υἱοθεσία μας στὴν ἀρχαία ἐλευθερία. Ὄντας δηλαδὴ πλούσιος μὲ τὴ θεότητά του, γίνεται φτωχὸς μὲ τὴ φτώχεια τὴν πλουτοπάροχη, ἀναλαμβάνοντας μὲ τρόπο ὑπερφυσικὸ τὴ δική μας σάρκα, γιὰ νὰ γίνομε πλούσιοι κι ἐμεῖς μὲ τὴ θεότητα, καὶ μὲ τὴ μορφὴ Θεοῦ καὶ Θεὸς ὄντας

1. Ἠσ. 35,4.
2. Ἀποκ. 4,,4.

κατ᾿ οὐσίαν ὑπάρχων, τὴν τοῦ δούλου δι᾿ ὑπερέκχυσιν ἀγαθότητος ὑπέδυ μορφήν, Λόγος ἁπλοῦς ὤν, ἐνυπόστατος, καὶ γεγονὼς ἀτρέπτως σάρξ· ἔτι πρὸς τούτοις καὶ πᾶσαν τὴν ἔνσαρκον αὐτοῦ πενιχρὰν πολιτείαν, τὴν φάτνην, τὴν εἰς Αἴγυπτον φυγήν, τὴν μετὰ πορνῶν καὶ τελωνῶν ἀδιάφορον συνδιαγωγήν, τὴν ἐκλογὴν τῶν πτωχοτάτων ἁλιέων, τὸ ἄοικον αὐτοῦ, τὸ αὐτοσχέδιον καὶ ἀπροπαράσκευον πάντη τῆς ὅλης αὐτοῦ ἐνσάρκου ζωῆς, τὸν ἄτιμον ἐπὶ σταυροῦ θάνατον («ἐπικατάρατος γὰρ πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου»), τὴν μετὰ τῶν κακούργων λῃστῶν συναρίθμησιν, τὰς διαπερονήσεις τῶν ἥλων, τὴν διὰ τῆς λόγχης νύξιν τῆς πλευρᾶς, τὰ ραπίσματα, τὰ ἐμπτύσματα, τὸ ὄξος, τὴν χολήν, τὸν ἀκάνθινον στέφανον, τοὺς διαπαιγμοὺς καὶ διαγελασμούς, τὰς γονυπετήσεις, τὴν εὐτελεστάτην κηδείαν τε καὶ ταφήν. Τοῦτο τὸ ὡσανεὶ μωρὸν καὶ ἀσθενὲς τοῦ Θεοῦ, τῷ λόγῳ τῆς οἰκονομίας σοφώτερον καὶ ἰσχυρότερον ἀσυγκρίτως τῶν ἀνθρώπων, τῇ ὑπερδυνάμῳ καὶ ὑπερσόφῳ ἐκνικήσει τοῦ κρείττονος διαπρυσίως ἀπεδείχθη, ἀφθέκτῳ σιγῇ δι᾿ ἔργων, ἐκβοώμενον πάσῃ τῇ κτίσει ἀκαταλήπτως· «εἰ γὰρ καὶ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως», κατὰ Παῦλον τὸν θεσπέσιον. Εἰς τὸ αὐτὸ καλῶς τὸ τῆς ἀσθενείας τῆς θεαρχικῆς εἴρηκε· διὰ γὰρ τὴν πρὸς ἡμᾶς ἑκούσιον συγκατάβασιν, πάντα ὑπομείνας ἄχρι θανάτου, θανάτου δὲ σταυροῦ καὶ τὰς ἀσθενείας ἡμῶν αὐτὸς αἴρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ «τῷ μώλωπι αὐτοῦ ἡμεῖς πάντες ἰάθημεν», καὶ τὸ πάθος αὐτοῦ ἴδιον λέγεται κατὰ τὴν τοῦ Πέτρου φωνὴν τὴν λέγουσαν· «Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκί»· καί, «εἰ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν»· ὅθεν καὶ κυριοκτόνοι οἱ Ἰουδαῖοι λέγονται.

---

3. Ἰω. 1,14. 4. Γαλ. 3,13.

ὡς πρὸς τὴν οὐσία ἀπὸ ξεχείλισμα ἀγαθότητας ντύθηκε τὴ μορφὴ τοῦ δούλου, ἐνῶ ἦταν Λόγος ἁπλός, ἐνυπόστατος, κι ἔγινε σάρκα χωρὶς νὰ μεταβληθεῖ[3]. Ἀκόμη, ἐκτὸς ἀπὸ αὐτὰ καὶ ὅλη τὴ φτωχικὴ ζωή του μέσα στὴ σάρκα, τὴ φάτνη, τὴ φυγὴ στὴν Αἴγυπτο, τὴν χωρὶς διάκριση συναναστροφή του μὲ πόρνες καὶ τελῶνες, τὴν ἐκλογὴ τῶν πάμφτωχων ψαράδων, τὸ ὅτι δὲν εἶχε σπίτι, οὔτε εἶχε κάτι σὲ ὅλη τὴν ἔνσαρκη ζωή του ποὺ νὰ μὴν ἦταν πρόχειρο καὶ δίχως προετοιμασία, τὸν ἀτιμωτικὸ θάνατό του ἐπάνω στὸ σταυρὸ (γιατὶ ἦταν καταραμένος καθένας ποὺ κρεμαζόταν πάνω στὸ σταυρό[4]), τὴ συγκαταρίθμησή του μὲ τοὺς ἐγκληματίες ληστές, τὸ τρύπημά του ἀπὸ τὰ καρφιά, τὸ τρύπημα τῆς πλευρᾶς του ἀπὸ τὴ λόγχη, τὰ ραπίσματα, τὰ φτυσίματα, τὸ ξίδι, τὴ χολή, τὸ ἀγκάθινο στεφάνι, τοὺς ἐμπαιγμοὺς καὶ τὰ περιγελάσματα, τὰ γονατίσματα, τὴν ἐξευτελιστικὴ κηδεία καὶ ταφή. Αὐτὴ ἡ τάχα μωρία καὶ ἀσθένεια τοῦ Θεοῦ ἀποδείχθηκε ὁλοφάνερα κατὰ τὸ λόγο τῆς οἰκονομίας ἀσύγκριτα σοφότερη καὶ ἰσχυρότερη ἀπὸ τὴ σοφία καὶ τὴ δύναμη τῶν ἀνθρώπων μὲ τὴν πάνω ἀπὸ κάθε δύναμη καὶ σοφία ἐκνίκηση τοῦ καλύτερου μὲ τὴν ἀμίλητη σιωπὴ τῶν ἔργων, ποὺ ἀκούγεται μὲ ἄφθεγκτη σιωπὴ σ' ὅλη τὴν κτίση χωρὶς νὰ κατανοεῖται. Γιατί, ἂν καὶ σταυρώθηκε ἀπὸ ἀδυναμία, ζεῖ ὅμως χάρη στὴ δύναμή του, σύμφωνα μὲ τὸν θεορρήμονα Παῦλο. Στὸ λόγο αὐτὸν ὀρθὰ μίλησε γιὰ τὴ θεαρχικὴ ἀσθένεια. Ἐξαιτίας δηλαδὴ τῆς ἑκούσιας συγκατάβασης σ' ἐμᾶς, ἀφοῦ ὑπέμεινε τὰ πάντα ὣς τὸ θάνατο, καὶ μάλιστα θάνατο σταυρικό, καὶ τὶς δικές μας ἀδυναμίες σηκώνει καὶ γιὰ μᾶς εἶναι κυριευμένος ἀπὸ ὀδύνη[5], καὶ μὲ τὸ δικό του πάθος θεραπευθήκαμε ὅλοι ἐμεῖς. Καὶ τὸ πάθος ὡς δικό του χαρακτηρίζεται σύμφωνα μὲ τὸ λόγο τοῦ Πέτρου ποὺ κηρύττει· «ἐπειδὴ ὁ Χριστὸς ἔπαθε σωματικὰ γιὰ χάρη μας»[6], καὶ «ἂν εἶχαν καταλάβει, δὲ θὰ εἶχαν σταυρώσει τὸν Κύριο τῆς δόξας»[7]. Γι' αὐτὸ καὶ οἱ Ἰουδιαῖοι λέγονται 'κυριοκτόνοι'.

---

5. Φιλ. 2,8. 6. Α' Πέτρ. 4,1.
7. Α' Κορ. 2,8.

Ὑμνολόγοις κρινόμενος: "Ὅτι καὶ ψαλμοὺς ἔλεγον τότε ἐμμελεῖς οἱ περὶ τὸν ἅγιον Ἱερόθεον καὶ ᾠδάς, ὡς δηλοῖ καὶ τὸ ὑμνολογεῖν καὶ τὸ ὑμνῳδεῖν, καὶ ὅτι τὰ μὲν ὑψηλὰ καὶ μυστικὰ ἄρρητα τοῖς πολλοῖς δεῖ φυλάττειν, ὁμιλεῖν δὲ καὶ διδάσκειν δεῖ τοὺς πολλοὺς τὰ δυνατὰ καὶ εὐαπόδεικτα.

§ 3. Τῶν θείων Γραφῶν δηλονότι καὶ θεωρημάτων

Διὰ περισσὴν εὐλάβειαν: "Ὅτι εὐλαβὲς τὸ μὴ ζητεῖν τὰ θειότερα.

Εἰλήφαμεν: Σημείωσαι ὅτι οὐ δεῖ τῆς ἐνδεχομένης τῶν θείων γνώσεως ἀμελεῖν, ἀλλὰ καὶ ἑτέροις μεταδιδόναι καὶ ὅτι κατὰ φύσιν οἱ νόες ἔφεσιν ἔχουσι πρὸς τὴν ἐγχωροῦσαν τῶν ὑπερφυῶν θεωρίαν.

Τὰ μὲν ὑπὲρ ἡμᾶς: "Ὅτι οὐ δεῖ τὰ ὑπὲρ ἡμᾶς πολυπραγμονεῖν, οὐδὲ ἀμελεῖν τῆς θείας γνώσεως, ἀλλὰ καὶ ἑτέροις μεταδιδόναι τῶν ἐνδεχομένων· εἴρηται γάρ, «ὑψηλότερά σου μὴ ζήτει, καὶ βαθύτερά σου μὴ ἐρεύνα· ἃ προσετάγη σοι, ταῦτα διανοοῦ».

Ἐγκελευομένη: Κατὰ τὸν Ἀπόστολον εἰπόντα: «ταῦτα παράθου πιστοῖς ἀνθρώποις».

Τούτοις οὖν καὶ ἡμᾶς: Σημείωσαι, πόθεν ἐπὶ τὸ συγγράφειν ἦλθεν.

Ἱεροθέῳ: "Ὅτι ἐν τοῖς λεχθησομένοις τὰ Ἱεροθέου ἑρμηνεύσει.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ Α'

§ 1. Εἶεν δὲ οὖν: "Ἄγε δὴ οὖν.

Ἀφορίζουσι: Τὸ μὲν ἀφορίζουσι ἀντὶ τοῦ ἀνατιθέασιν

Ὑμνολογίας κρινόμενος: Ὅτι δηλαδή τότε ἔλεγαν καί μελωδικά, ψάλλοντας, οἱ γύρω ἀπό τόν Ἱερόθεο καθώς καί ᾠδές, ὕμνους, δηλώνει καί τό ὑμνολογήσουν καί τό ἐψάλλαν ὕμνους, καί ὅτι πρέπει νά μή λέγονται στούς πολλούς τά ὑψηλά καί μυστικά, ἀλλά νά λέγονται καί νά διδάσκονται στούς πολλούς τά δυνατά καί εὐκολοπαράδεκτα.

§ 3. Τῶν θείων: Δηλαδή τῶν Γραφῶν καί ἐξηγήσεων.

Διά περισσήν εὐλάβειαν: Ἀποτελεῖ εὐλάβεια τό νά μήν ἐρευνᾶς τά θεῖα.

Ἐλλείψομεν: Σημείωσε, ὅτι δέν πρέπει ν᾽ ἀμελοῦμε τή δυνατή σ᾽ ἐμᾶς γνώση τῶν θείων, ἀλλά νά τή μεταδίδομε καί σέ ἄλλους. Καί ὅτι οἱ νέοι ποθοῦν τή θεωρία τῶν ὑπερφυσικῶν πού μποροῦν νά χωρέσουν.

Τά μέν ὑπέρ ἡμᾶς: Δέν πρέπει νά πολυεξετάζομε τά πάνω ἀπό ἐμᾶς, οὔτε ν᾽ ἀμελοῦμε τή θεία γνώση, ἀλλά νά μεταδίδομε καί σέ ἄλλους ὅσα δεχθήκαμε. Γιατί ἔχει λεχθεῖ, «πιό ψηλά ἀπό ἐσένα μή ζητᾶς, καί βαθύτερα ἀπό ἐσένα νά μήν ἐρευνᾶς· ὅσα ὁρίστηκαν γιά σένα, αὐτά νά ἔχεις στό νοῦ σου»[8].

Ἐγκελευομένη: Σύμφωνα μέ τόν Ἀπόστολο πού εἶπε, «αὐτά νά τά ἐμπιστευθεῖς σέ πιστούς ἀνθρώπους»[9].

Ὁπόσους οὖν καί ἡμεῖς: Σημείωσε ποιός ἦταν ὁ λόγος πού τόν ὁδήγησε στή συγγραφή.

Ἱεροθέῳ: Σέ ὅσα θά πεῖ ἑρμηνεύει τίς ἀπόψεις τοῦ Ἱεροθέου.

ΣΤΟ ΚΕΦΑΛΑΙΟ 4

1. Εἶεν δέ οὖν: Ἐμπρός λοιπόν, ἄς εἶναι λοιπόν..

Ἀφορίζουσι: Τό ἀφορίζουσι πρέπει νά τό λάβομε στή

---

8. Ἐκκλ. 3,22.
9. Β΄ Τιμ. 2,2.

ἐκληπτέον, τὸ δὲ ἀπὸ πάντων δηλοῦσθαι τὴν θείαν ἀγαθότητα, τὸ πάντα ἐξ αὐτῆς παρῆχθαι πρὸς ὕπαρξιν δηλοῖ.

Ὡς οὐσιῶδες: Ὅτι οὐσιῶδες ἀγαθὸν αὐτὸ τὸ Θεῖον, καὶ ὅτι τοῦ ἀγαθοῦ πάντα τὰ ὄντα μετέχει, ὡς τοῦ ἡλίου τὰ ποιητά.

Ὥσπερ ὁ καθ' ἡμᾶς ἥλιος: Μηδεὶς ὑπολαβέτω πρὸς τὸ τοῦ ἡλίου παράδειγμα ὁλοκλήρως τὰ περὶ Θεοῦ κρίνειν τὸν μέγαν Διονύσιον, ἀλλ' οὕτω νοείσθω, ὥσπερ ὁ ἥλιος, οὐκ ἄλλο τι ὢν παρὰ τὸ φῶς, οὐ συμβατὸν ἔχει τὸ φῶς καὶ ὡς ἄλλο τι ὢν ἢ ψυχικῶς προαιρέσει τοῦ εὐεργετεῖν ἔσωθεν λαμβάνει τὸ φῶς καὶ διαδίδωσιν εἰς πάντα· τοὐναντίον γάρ· οὔτε ψυχικὸς ὤν, οὔτε προαίρεσιν ἔχων εὐεργετεῖ, ἄλογος γάρ· καὶ οὐδὲ ἑτέρωθεν τὸ φῶς λαμβάνων· αὐτὸ γὰρ τοῦτο φῶς ἐστι καὶ φωτίζει· οὕτω χρὴ τοῦτο μόνον καὶ ἐπὶ Θεοῦ νοεῖν, ὅτι ὁ Θεὸς τὸ ἀγαθὸν οὐ συμβεβηκότως ἔχει, καθάπερ τινὰ ποιότητα, ὡς ἡμεῖς τὰς ἀρετάς, ἀλλ' οὐσία τοῦ ἀγαθοῦ αὐτὸς ὁ Θεὸς ὑπάρχων, ὥσπερ καὶ τὸ φῶς, οὐσία ἡλίου, καὶ ὡς αὐτὸ τὸ ἀγαθὸν ὢν ὁ Θεὸς ἐκτείνει περὶ πάντας τὴν τῆς ἀγαθότητος αἴγλην διὰ τοῦ εὐεργετῆσαι τοὺς φωτιζομένους· ὅθεν φησὶ τὸ τοῦ ἡλίου παράδειγμα, ὡς σκοτεινὴν καὶ σχεδὸν ἀφανῆ εἰκόνα τοῦ παντελῶς ἀκοινωνήτου ἀρχετύπου ἔχει· εἰ γὰρ αἱ εἰκόνες ἀλήθειαν εἶχον, οὐκέτι ἦσαν παραδείγματα, ἀλλ' ἀρχέτυπα.

Αἱ νοηταὶ καὶ νοεραί: Κατὰ κυριότητα ἕτερόν ἐστι νοητόν, καὶ ἕτερον νοερόν. Τὸ γὰρ νοητὸν τροφή οἷά τις τοῦ νοεροῦ ἐστιν, εἴπερ τὸ νοούμενον, ὅ ἐστι νοητὸν, μεῖζόν ἐστι καὶ προεπινοούμενον τοῦ νοοῦντος, ὅ ἐστι νοερόν. Τὰ μὲν οὖν ὑπερκείμενα καὶ προσεχῆ τῷ Θεῷ τάγματα νοητὰ κυρίως λεκτέον, τὰ δὲ ὑποβεβηκότα νοερά, ἅτε νοοῦντα τὰ ὑπερκείμενα· οὐχ ὅτι δὲ νοητά ἐστι τὰ νοούμενα, νομιστέον αὐτὰ μὴ νοεῖν· νοεῖ γὰρ καὶ

θέση τοῦ 'ἀναθέτουν'· τὸ ὅτι ἡ θεία ἀγαθότητα δηλώνεται ἀπὸ ὅλα, τὸ δηλώνει τὸ ὅτι ὅλα ἔχουν ἔρθει στὴν ὕπαρξη ἀπὸ αὐτήν.

Ὡς οὐσιῶδες: Τὸ Θεῖο εἶναι ἀγαθὸ ποὺ ἔχει οὐσία, καὶ ὅτι ὅλα τὰ ὄντα μετέχουν τὸ ἀγαθό, ὅπως τὰ κτίσματα μετέχουν τὸν ἥλιο.

Ὥσπερ καθ' ἡμᾶς ἥλιος: Νὰ μὴν ὑποθέσει κανένας ὅτι σύμφωνα μὲ τὸ παράδειγμα τοῦ ἥλιου ὁλοκληρωτικὰ κρίνει ὁ μέγας Διονύσιος ὅ,τι ἀναφέρεται στὸν Θεό, ἀλλ' ἃς ἐννοηθεῖ ὡς ἑξῆς· ὅπως ἀκριβῶς ὁ ἥλιος, ποὺ δὲν εἶναι τίποτε ἄλλο ἐκτὸς ἀπὸ φῶς, δὲν ἔχει τὸ φῶς σὰν κάτι ποὺ τοῦ συνέβη ἢ καὶ σὰν νὰ εἶναι κάτι ἄλλο μὲ ψυχικὴ προαίρεση γιὰ εὐεργεσία ποὺ παίρνει ἀπὸ μέσα του τὸ φῶς καὶ τὸ διαδίδει σὲ ὅλα, ἀλλὰ τὸ ἐντελῶς ἀντίθετο· οὔτε ἐπειδὴ εἶναι ψυχικός, οὔτε ἐπειδὴ ἔχει προαίρεση νὰ εὐεργετεῖ, γιατὶ δὲν ἔχει λογική, καὶ οὔτε παίρνει ἀπὸ κάπου ἀλλοῦ τὸ φῶς· γιατὶ αὐτὸ τὸ ἴδιο εἶναι φῶς καὶ φωτίζει. Ἔτσι πρέπει νὰ σκεπτόμαστε καὶ γιὰ τὸν Θεὸ τοῦτο μονάχα. Ὅτι δηλαδὴ ὁ Θεὸς δὲν ἔχει τὸ ἀγαθὸ ὡς συμβεβηκός, σὰν μιὰ ἰδιότητα, ὅπως ἔχομε ἐμεῖς τὶς ἀρετές, ἀλλ' ἐπειδὴ ὁ ἴδιος ὁ Θεὸς εἶναι ἡ οὐσία τοῦ ἀγαθοῦ, καθὼς καὶ τὸ φῶς εἶναι ἡ οὐσία τοῦ ἥλιου, καὶ ὄντας ὁ Θεὸς αὐτὸ τὸ ἴδιο τὸ ἀγαθὸ ἁπλώνει καὶ τυλίγει ὅλους μὲ τὴν λάμψη τῆς ἀγαθότητας εὐεργετώντας ὅσους φωτίζει. Γι' αὐτὸ λέει τὸ παράδειγμα τοῦ ἥλιου περιέχει μιὰ σκοτεινὴ καὶ σχεδὸν ἀφανὴ εἰκόνα τοῦ ἀρχέτυπου (πρότυπου), ποὺ δὲν κοινωνεῖται μὲ κανένα τρόπο. Γιατί, ἂν οἱ εἰκόνες εἶχαν ἀλήθεια, δὲ θὰ ἦταν παραδείγματα, ἀλλὰ ἀρχέτυπα.

Αἱ νοηταὶ καὶ νοεραί: Κατὰ κυριολεξία ἄλλο εἶναι τὸ νοητὸ καὶ ἄλλο τὸ νοερό. Τὸ νοητὸ δηλαδὴ εἶναι ἕνα εἶδος τροφῆς τοῦ νοεροῦ, ἐφόσον τὸ νοούμενο, δηλαδὴ τὸ νοητό, εἶναι μεγαλύτερο καὶ προεπινοεῖται ἀπὸ ἐκεῖνο ποὺ νοεῖ, ποὺ εἶναι τὸ νοερό. Τὰ ἀνώτερα λοιπὸν καὶ πλησίον τοῦ Θεοῦ τάγματα πρέπει νὰ τὰ ποῦμε κατὰ κύριο λόγο νοητά, ἐνῶ τὰ κατώτερα νὰ τὰ ποῦμε νοερά, ἐπειδὴ νοοῦν τὰ ἀνώτερά τους. Καὶ νὰ μὴ νομίσο-

αὐτά, ἐπειδὴ νόες εἰσὶ καὶ οὐσίαι ζωῆς καὶ νοῦ ἀνωτάτου δημιουργηθεῖσαι, ἀλλὰ καὶ ἐνέργειαι ἐκεῖ ἐνυπόστατοί εἰσι καὶ οὐσίαι· πᾶσα γὰρ κίνησις καὶ ἠρεμία ἐκεῖ μέντοι ἐνυπόστατοί εἰσι, καὶ δυνάμεις ζῶσαι, καὶ τῶν ρευστῶν καὶ σωματικῶν ἀλλοιώσεων ὑπέρτεραι· διὸ νοοῦνται μέν, ὡς ἄϋλοι, νοοῦσι δὲ τὰ ὄντα, ὡς νόες ἀσώματοι καὶ ὑπερκόσμιοι ἄνωθεν ἐλλαμπόμενοι τοὺς περὶ τῶν ὄντων λόγους καὶ διαβιβάζοντες αὐτοὺς μυστικῶς εἰς τοὺς ὑποβεβηκότας ἀγγέλους νοητῶς καὶ ἀποκαλυπτικῶς. Δύνῃ δὲ καὶ ἄλλως νοῆσαι τὸ 'δυνάμεις' καὶ 'ἐνέργειαι'· δυνάμεις μὲν γάρ, ὅτι, καὶ μήπω τῶν ἐν τῇ κτίσει φανέντων, δυνάμει πάντα ἐν τῷ Θεῷ προϋφεστήκει, μέλλοντα παράγεσθαι δι' αὐτοῦ εἰς τὸ εἶναι· ἐνέργειαι δέ, ὅτι καὶ πρὸς ἔργον ἡ δημιουργία παρήχθη. Σημείωσαι δὲ καὶ τὸ τῆς ρευστῆς ἀλλοιώσεως ὡς ἡρμήνευσα, ἐπειδὴ τρεπτοὶ καὶ οἱ ἄγγελοι, κατὰ γνώμην δηλονότι, καὶ οὐκ οὐσίαν, ὡς μαρτυρεῖ ὁ διάβολος καὶ τὸ τάγμα αὐτοῦ, πεσὼν ἐκ τοῦ οὐρανοῦ, ὡς καὶ ἐν τῷ Ἰὼβ ἔχομεν.

Φθορᾶς καὶ θανάτου: Ταῦτα γὰρ σωμάτων ἴδια.

Οἰκείως ἐλλάμπονται: Ὅτι τὰ ἀσώματα καὶ οὐράνια νοοῦνται καὶ νοοῦσι.

Καὶ φρουρὰ καὶ ἑστία: Μονὴ καὶ ἑστία ἐκ παραλλήλου ταὐτὸν σημαίνουσι. Φίλων ὁ Ἰουδαῖος ἐν τῷ Περὶ τῆς φλογίνης ρομφαίας καὶ τῶν χερουβὶμ λόγῳ φησὶν οὕτως· Ἡ δὲ μονή, τῶν τοῦ κόσμου μερῶν ἑστῶσα παγίως, ἑστία πρὸς τῶν παλαιῶν εὐθυβόλως ὠνόμασται. Τοῦτο δὲ καὶ ἄνω φησί, περὶ τὸ τέλος τοῦ πρώτου κεφαλαίου, ἐν τῇ ἕκτῃ παραγραφῇ.

§ 2. Ἐκεῖθεν αὐταῖς: Σημείωσαι τὰ περὶ τῶν ἀγγέλων, καὶ ὅτι τὰ ἄϋλα καὶ ἐν ἀλλήλοις χωρεῖ ἀσυγχύτως καὶ ἀποχωρεῖ, καὶ οἱονεὶ βαθμὸς καὶ τάξεις εἰσὶν πρῶται καὶ δεύτεραι, καὶ ὅτι

με ὅτι, ἐπειδὴ τὰ νοητὰ εἶναι ἐκεῖνα ποὺ νοοῦνται, τὰ ἴδια δὲν νοοῦν. Γιατὶ κι αὐτὰ ἔχουν νόηση, ἐπειδὴ εἶναι νόες καὶ οὐσίες ζῶσες καὶ δημιουργήματα ἀνώτατου νοῦ, ἀλλ' ὑπάρχουν ἐκεῖ καὶ ἐνέργειες ἐνυπόστατες καὶ οὐσίες. Γιατὶ κάθε κίνηση ἐκεῖ καὶ ἠρεμία εἶναι ἐνυπόστατες καὶ ζῶσες δυνάμεις, ἀνώτερες ἀπὸ σωματικὲς καὶ ρευστὲς ἀλλοιώσεις. Γι' αὐτὸ καὶ νοοῦνται ὡς ἄυλες, νοοῦν ὅμως τὰ ὄντα, ὡς ἀσώματοι καὶ ὑπερκόσμιοι νόες ποὺ διδάσκονται μὲ φωτισμὸ ἀπὸ ἄνω τοὺς λόγους γιὰ τὰ ὄντα καὶ τοὺς μεταβιβάζουν μυστικὰ στοὺς πιὸ κάτω ἀγγέλους μὲ τρόπο νοητὸ καὶ ἀποκαλυπτικό. Μπορεῖ νὰ ἐννοήσεις καὶ μὲ ἄλλο τρόπο τὶς λέξεις δυνάμεις καὶ ἐνέργειες. Εἶναι δηλαδὴ δυνάμεις, ἐπειδὴ καὶ προτοῦ ἀκόμα φανερωθοῦν ὅσα ἀποτελοῦν τὴν κτίση, προϋπῆρχαν ὅλα δυνάμει μέσα στὸν Θεό, περιμένοντας νὰ τὰ φέρει αὐτὸς στὴν ὕπαρξη, ἐνέργειες πάλι εἶναι, γιατὶ ἡ δημιουργία ὁδηγήθηκε σὲ ἔργο. Σημείωσε ἐπίσης καὶ πῶς ἑρμήνευσα τὴ ρευστὴ ἀλλοίωση, ἐπειδὴ εἶναι δυνατὸν νὰ μεταβληθοῦν καὶ οἱ ἄγγελοι, κατὰ τὴ γνώμη βέβαια καὶ ὄχι κατὰ τὴν οὐσία, ὅπως μαρτυρεῖ ὁ διάβολος καὶ τὸ τάγμα του, ποὺ γκρεμίστηκε ἀπὸ τὸν οὐρανό, ὅπως τὸ διαπιστώνομε καὶ μέσα στὸν Ἰώβ.

Φθορᾶς καὶ θανάτου: Αὐτὰ εἶναι ἰδιότητες τῶν σωμάτων.

Οἰκείως ἐλλάμπεται: Ὅτι τὰ ἀσώματα καὶ τὰ οὐράνια νοοῦνται καὶ νοοῦν.

Καὶ φρουρὰ καὶ ἑστία: Μονὴ καὶ ἑστία εἶναι παράλληλα καὶ σημαίνουν τὸ ἴδιο. Ὁ Φίλων ὁ Ἰουδαῖος στὸ λόγο του 'Περὶ τῆς φλόγινης ρομφαίας καὶ τῶν χερουβὶμ' λέει τὰ ἑξῆς· «Ἡ μονὴ (παραμονὴ) τῶν μερῶν τοῦ κόσμου, ἐπειδὴ εἶναι σταθερὴ καὶ πάγια, ἔχει ὀνομαστεῖ ἀπὸ τοὺς παλαιοὺς εὔστοχα ἑστία. Τοῦτο τὸ λέει καὶ πιὸ πάνω, στὸ τέλος τοῦ πρώτου κεφαλαίου στὴν ἕκτη παράγραφο.

§ 2. Ἐκεῖθεν αὐταῖς: Σημείωσε τὰ σχετικὰ μὲ τοὺς ἀγγέλους καὶ ὅτι τὰ ἄυλα καὶ εἰσδύουν τὸ ἕνα μέσα στὰ ἄλλα χωρὶς νὰ συγχέονται καὶ ἐξέρχονται, καὶ κατὰ κάποιο τρόπο ὑπάρχουν

οἱ θεῖοι νόες ἐκεῖ περὶ ἑαυτοὺς ἑλίσσονται, οὐχ ἕλιξίν τινα σωματικήν, ἀλλ' ὑπερκόσμιον καὶ νοεράν, καὶ οἵαν πέφυκε νοῦς ἑλίττεσθαι, ἐξ ἑαυτοῦ προϊὼν εἰς ἐπινοήσεις καὶ εἰς ἑαυτὸν ἀναστρέφων, οὐ μὴν ἔξω ἑαυτοῦ χωρῶν σκεδαστῶς καὶ μεριστῶς· τοῦτο αἰνίττονται καὶ οἱ παρὰ τοῦ θεσπεσίου Ἰεζεκιὴλ τροχοὶ πολυόμματοι· καὶ ὅτι περὶ τὸν θεῖον ἔρωτα ἐν ταὐτότητί εἰσι καὶ ἀκρότητι· ταὐτότητα δὲ νοητέον τὴν ἀναπόστατον πρὸς Θεὸν προσοχήν, ἀκρότητα δέ, τὴν τῆς νοήσεως αὐτῶν καὶ οὐσίας ἤδη πως εἰς θέωσιν πρόοδον νόησον· καὶ τὰς ἑνώσεις δέ, τὰς πρὸς ἀλλήλας τῶν νοητῶν, τὸν πρὸς ἀλλήλους θεοπρεπῆ νόησον ἔρωτα, ὅς, θεῖος ὢν καὶ ἑνοποιός, συνάπτει αὐτούς, οὐ σωρηδὸν συγκομίζων, ἀλλ' ἀγαπητῶς συνδεσμῶν. Τῶν δὲ ὄντων καὶ τῶν νοητῶν, ὡς καὶ τῶν νοητῶν, ὡς καὶ τῶν αἰσθητῶν ὁμωνύμως λεγομένων, τὰ μὲν ἔστιν ἡνωμένα καὶ ἀλληλουχούμενα, τὰ δὲ διῃρημένα καὶ ἐν παραθέσει, οἷον σωρηδόν· καὶ νοητῶν μὲν ἡνωμένα, οἷον ζῶον καὶ φῶς καὶ νοητὸς κόσμος καὶ ὅσα τοιαῦτα, διῃρημένα δὲ καὶ ἐν παραθέσει, οἷον στρατιά, τάξις, πατριά, χορός· ἐπὶ δὲ αἰσθητῶν ἕνωσις, ζῶον, δένδρον, κόσμος, διαίρεσις δὲ κατὰ σωρείαν, ποίμνη, δῆμος σωρός, χορός.

Ἐν τῷ Περὶ τῶν ἀγγελικῶν: Ἰδοὺ ἄλλο πόνημα Διονυσίου ζητεῖται, Περὶ τῶν ἀγγελικῶν ἰδιοτήτων καὶ τάξεων.

Αἱ ἀγγελοπρεπεῖς: Ἀγγελοπρεπεῖς καθάρσεις φησίν, οἷον τὴν Ἠσαΐου καὶ τὴν Ἰεζεκιὴλ φαγόντος ἐν ἐκστάσει τὴν κεφαλίδα τοῦ βιβλίου. Τελεσιουργίαν δὲ ἀγγέλων λέγει, ὡς ἐπὶ τοῦ Δανιὴλ καὶ τοῦ ἀγγέλου τοῦ ἑρμηνεύσαντος αὐτό, καὶ περὶ τοῦ ποιμένος τὸν Ἑρμᾶν τελειώσαντος, ὡς ἐκεῖ ἀνέγνωμεν ἐν τῷ

1. Ὁ Ἑρμᾶς εἶναι ἕνας ἀπὸ τοὺς ἀποστολικοὺς πατέρες (2ος αἰ.). Σύμφωνα μὲ τὴ μαρτυρία ποὺ τὸν θέλει ἀδελφὸ τοῦ πάπα Πίου, εἶναι συγγραφέας τοῦ περίφημου ἔργου Ποιμήν, τὸ περιεχόμενο τοῦ ὁποίου παραδόθηκε στὸν συγγραφέα ἀπὸ ἄγγελο μὲ μορφὴ ποιμένος.

βαθμίδες καὶ τάξεις πρῶτες καὶ δεύτερες. Ἐπίσης ὅτι οἱ θεῖοι νόες ἐκεῖ στρέφονται γύρω ἀπὸ τὸν ἑαυτό τους, ὄχι βέβαια μὲ κάποια περιστροφὴ σωματική, ἀλλὰ ὑπερκόσμια καὶ νοερὴ περιστροφή, ποὺ μπορεῖ ὁ νοῦς νὰ κάνει ἀπὸ τὴ φύση του, βγαίνοντας ἀπὸ τὸν ἑαυτό του σὲ ἐπίνοιες καὶ ἐπιστρέφοντας στὸν ἑαυτό του, χωρὶς ὅμως νὰ προχωρεῖ ἔξω ἀπὸ τὸν ἑαυτό του διασκορπιζόμενος καὶ χωριζόμενος. Αὐτὸ ὑπαινίσσονται καὶ οἱ τροχοὶ μὲ τὰ πολλὰ μάτια τοῦ θεορρήμονα Ἰεζεκιήλ. Καὶ ἀκόμη ὅτι εἶναι ὡς πρὸς τὸν θεῖο ἔρωτα σὲ ταυτότητα καὶ ἀκρότητα. Ὡς ταυτότητα βέβαια πρέπει νὰ ἐννοήσομε τὴν προσοχὴ ποὺ δὲν ἀπομακρύνεται καθόλου ἀπὸ τὸν Θεό, ἐνῶ ὡς ἀκρότητα ἐννόησε τὴν προχώρηση πιὰ τῆς νόησης καὶ τῆς οὐσίας τους στὴ θέωση· καὶ τὶς ἑνώσεις ἐπίσης μεταξὺ τῶν νοητῶν θεώρησέ τις ὡς τὸν θεοπρεπῆ ἔρωτα μεταξὺ τῶν νοητῶν, πού, ἐπειδὴ εἶναι θεῖος καὶ ἑνοποεῖ, τοὺς συνδέει, ὄχι μαζεύοντάς τους σωριαστά, ἀλλὰ συνδέοντάς τους ἀγαπητικά. Ἀπὸ τὰ ὄντα καὶ τὰ νοητά, ὅπως ἀπὸ τὰ νοητὰ καὶ ὅπως ἀπὸ τὰ αἰσθητὰ ποὺ λέγονται μὲ τὸ ἴδιο ὄνομα, ἄλλα εἶναι ἑνωμένα καὶ βρίσκονται σὲ ἀλληλουχία, κι ἄλλα εἶναι διηρημένα καὶ βρίσκονται σὲ παράθεση, σὰν σὲ σωρὸ κατὰ κάποιο τρόπο. Καὶ ἀπὸ τὰ νοητὰ ἑνωμένα εἶναι γιὰ παράδειγμα τὸ ζωντανὸ ζῶο, τὸ φῶς, ὁ νοητὸς κόσμος καὶ ὅσα ὅμοια, ἐνῶ διηρημένα καὶ σὲ παράθεση, ὅπως ἡ στρατιά, ἡ τάξη, ἡ πατριά, ὁ χορός. Ἕνωση πάλι στὰ αἰσθητὰ εἶναι τὸ ζῶο, τὸ δέντρο, ὁ κόσμος, ἐνῶ διαίρεση κατὰ σωρὸ εἶναι τὸ κοπάδι, ὁ δῆμος, ὁ σωρός, ὁ χορός.

Ἐν τῷ Περὶ τῶν ἀγγελικῶν: Νὰ ποὺ ἀναζητεῖται τώρα ἄλλο ἕνα πόνημα τοῦ Διονυσίου 'Περὶ τῶν ἀγγελικῶν ἰδιοτήτων καὶ τάξεων'.

Αἱ ἀγγελοπρεπεῖς: Ἀγγελοπρεπεῖς καθάρσεις λέει ὅπως γιὰ παράδειγμα τοῦ Ἡσαΐα καὶ τοῦ Ἰεζεκιὴλ ποὺ καταβρόχθισε τὴν κεφαλίδα τοῦ βιβλίου. Τελετουργία ἀγγέλων λέει ὅπως τοῦ Δανιὴλ καὶ τοῦ ἀγγέλου ποὺ τοῦ ἑρμήνευσε αὐτό, καὶ περὶ τοῦ ποιμένος[1], ποὺ τελειοποίησε τὸν Ἑρμᾶ, ὅπως διαβάσαμε στὸ

Ποιμένι· ἀλλὰ καὶ αὐτοὶ οἱ ἄγγελοι πῶς καθαίρονται καὶ τελεσιουργοῦνταί φησιν ἐν τῷ Περὶ οὐρανίας ἱεραρχίας λόγῳ.

Καὶ εἶναι ἀγγέλους: Διὰ τί ἄγγελοι λέγονται, καὶ ὅτι καὶ αὐτοὶ φῶτα.

Αἱ ψυχαί: Σημείωσαι, ὅτι αἱ ψυχαὶ ἄλλαι μετὰ τοὺς ἀγγέλους εἰσὶν ὑποβεβηκυῖαι αὐτῶν, καὶ ὅτι ἀθάνατοί εἰσιν, ἅτε κτισθεῖσαι οὐσιώδεις ζωαί· καὶ ὅτι διὰ τῶν ἀγγέλων αἱ ψυχαὶ χειραγωγοῦνται, αἱ ζωὴν ἀγγελικὴν ἐπιτηδεύουσαι· οὕτω καὶ ἐν τῷ Ποιμένι ἀνέγνωμεν.

Ἀγαθαρχίαν: Σημείωσαι, ὅτι ἐπὶ τὴν πάντων τῶν ἀγαθῶν ἀγαθαρχίαν ἀνάγονται αἱ τῶν δικαίων ψυχαί, ἤγουν ἐπὶ τὸν Θεόν, καὶ ἐν μετουσίᾳ τῶν ἐλλάμψεων αὐτοῦ γινόμεναι, παρρησιασμένως πρεσβεύουσι.

Ἐν τοῖς Περὶ ψυχῆς: Ζητεῖται τὸ Περὶ ψυχῆς.

Ἀλόγων ψυχῶν: Ἀλόγων ψυχῶν καὶ αἰσθητικῶν φησι· καὶ σημείωσαι ὅτι ἄλλο ψυχή, καὶ ἄλλο ζωή.

Ἀμφιβίως λαχόντα: Τὰ ἑρπετὰ λέγει ἀμφιβίως λαχόντα, ὡς βάτραχοι, ὀκτάποδες, ἐγκεχωσμένα δέ, ὡς ἀσπάλακες καὶ ὅσα τοιαῦτα· σημείωσαι δέ, ὅτι αἱ ψυχαί εἰσι μετὰ τοὺς ἀγγέλους ὑποβεβηκυῖαι αὐτῶν, καὶ ὅτι ἀθάνατοί εἰσιν, ἅτε κτισθεῖσαι οὐσιώδεις ζωαί· καὶ ὅτι διὰ τῶν ἀγγέλων αἱ ψυχαὶ χειραγωγοῦνται, αἱ ζωὴν ἀγγελικὴν ἐπιτηδεύουσαι, καθὰ καὶ ἀνωτέρω λέλεκται.

Δι' αὐτὸ τῆς οὐσιώδους ἕξεως: Καὶ ἤδη ἄνω εἴπομεν, ὅτι ἕξις ἐστὶ ποιότης ἔμμονος· ὅσα οὖν ἐστιν ἄζωα καὶ ἄψυχα, διὰ τὴν ἀγαθότητα τοῦ Θεοῦ οὕτω παρήχθη, πεποιωμένα ἑκτικῶς, οἷον λίθοι διάφοροι, ἀλλὰ καὶ βοτάναι καὶ ῥίζαι καὶ γῆ καὶ τὰ μεταλλικὰ περί τι χρήσιμον ποιωθέντα, καὶ ὅσα περὶ τὴν ἰατρικὴν καὶ τὴν ἡμῶν χρῆσιν· ταῦτα οὖν οὐκ ἔξωθεν τὴν ἕξιν κτῶνται, ἀλλ' ἐν τῇ οὐσίᾳ καὶ τὴν τῆς ἕξεως ποιότητα θεόθεν ἔλαχον.

§ 3. Εἰ δὲ καὶ ὑπὲρ πάντα: Ὅρα πῶς αἱ στερήσεις ἐπὶ

σημεῖο αὐτὸ στὸν Ποιμένα. Ἀλλὰ καὶ οἱ ἴδιοι οἱ ἄγγελοι πῶς καθαίρονται καὶ τελειοποιοῦνται τὸ ἐκθέτει στὸ λόγο του 'Περὶ οὐρανίας ἱεραρχίας'.

Καὶ εἶναι ἀγγέλους: Γιατὶ λέγονται ἄγγελοι, καὶ ὅτι εἶναι κι αὐτοὶ φῶτα.

Αἱ ψυχαί: Σημείωσε ὅτι οἱ ψυχὲς ἄλλες εἶναι κατώτερες, ἔπειτα ἀπὸ τοὺς ἀγγέλους, καὶ ὅτι εἶναι ἀθάνατες, γιατὶ ἔχουν δημιουργηθεῖ ὡς ζωὲς μὲ οὐσία. Ἐπίσης ὅτι οἱ ψυχὲς χειραγωγοῦνται μέσω τῶν ἀγέλων, ὅσες ζοῦνε ζωὴ ἀγγελική. Ἔτσι διαβάσαμε καὶ στὸν Ποιμένα.

Ἀγαθαρχία: Σημείωσε ὅτι οἱ ψυχὲς τῶν δικαίων ἀνεβαίνουν στὴν ἀγαθὴ ἀρχὴ ὅλων τῶν ἀγαθῶν, δηλαδὴ στὸν Θεό, καί, γενόμενες μέτοχες τῶν φωτισμῶν του, πρεσβεύουν κοντά του μὲ παρρησία.

Ἐν τοῖς Περὶ ψυχῆς: Ζητεῖται τὸ σύγγραμμα Περὶ ψυχῆς.

Ἀλόγων ψυχῶν: Μιλάει γιὰ ψυχὲς ἄλογες καὶ αἰσθητικές. Καὶ σημείωσε ὅτι ἄλλο εἶναι ψυχὴ καὶ ἄλλο ζωή.

Ἀμφιβίως λαχόντα: Τὰ ἑρπετὰ λέει ὅτι ἔλαχαν ἀμφίβια ζωή, ὅπως τὰ βατράχια καὶ τὰ χταπόδια, ἐνῶ χωμένα μέσα στὴ γῆ εἶναι, ὅπως οἱ ἀσπάλακες καὶ τὰ ὅμοια. Σημείωσε ὅτι οἱ ψυχὲς ἄλλες εἶναι κατώτερες ἔπειτα ἀπὸ τοὺς ἀγγέλους καὶ ὅτι εἶναι ἀθάνατες, ἐπειδὴ κτίσθηκαν ζωὲς μὲ οὐσία. Ἐπίσης ὅτι οἱ ψυχὲς χειραγωγοῦνται ἀπὸ τοὺς ἀγγέλους, ὅσες ζοῦν ζωὴ ἀγγελική, ὅπως εἶπα καὶ πιὸ πάνω.

Δι' αὐτὸ τῆς οὐσιώδους ἕξεως: Τὸ εἴπαμε ἤδη πιὸ πάνω, ὅτι ἡ ἕξη εἶναι ἰδιότητα ἔμμονη. Ὅσα λοιπὸν εἶναι χωρὶς ζωὴ καὶ ψυχή, ἔγιναν ἔτσι ἀπὸ τὴν καλωσύνη τοῦ Θεοῦ μὲ ἰδιότητες ποὺ ἔγιναν ἕξεις, ὅπως πέτρες διάφορες, ἀλλὰ καὶ βότανα καὶ ρίζες καὶ ἡ γῆ καὶ τὰ μέταλλα ποὺ ἔλαβαν κάποιες χρήσιμες ἰδιότητες, καὶ ὅσα ἄλλα ἀνήκουν στὴν ἰατρικὴ καὶ τὴν καθημερινὴ χρήση. Αὐτὰ δὲν ἀποκτοῦν τὴν ἕξη ἀπὸ ἔξω, ἀλλὰ μέσα στὴν οὐσία τους ἔλαχαν ἀπὸ τὸν Θεὸ τὴν ποιότητα τῆς ἕξης.

§ 3. Εἰ δὲ καὶ ὑπὲρ πάντα: Πρόσεχε πῶς οἱ στερήσεις σχε-

Θεοῦ ὑπερβολαί εἰσι θέσεων δραστήριοι, καὶ ὡς ἀνείδεος, ἀννούσιος, ἄζωος, ἄνους· ταῦτα γὰρ ἔννοιαν ἔχοντα τοῦ μὴ ὄντος, ὅμως ἐν τῷ Θεῷ τῷ ὑπερουσίως ὄντι κατὰ τὴν ἀφαίρεσιν ἁπάντων (οὐδὲν γάρ ἐστι τῶν ὄντων) ὑπεροχικῶς νοοῦνται· ἐν δὲ τοῖς ἑξῆς τελειότερον αὐτὸ σαφηνίζει.

Καὶ αὐτὸ τὸ μὴ ὄν: Πῶς τὸ μὴ ὂν ἐφίεται τοῦ ἀγαθοῦ; Εἰ γὰρ μὴ ἔστιν αὐτό, πῶς ἐφίεται; Λέγομεν, ὅτι τὸ μὴ ὂν ἐνόησεν εἶναι τὸ κακόν, ὡς κάτω ἀποδεικνύει· ὅτι καὶ αὐτὸ τὸ λεγόμενον κακὸν τοῦ ἀγαθοῦ ἕνεκα γίνεται.

§ 4. Καὶ τῶν οὐρανίων: Τὸ αἴτιον τῶν οὐρανίων ἀρχῶν καὶ ὑποπερατώσεών φησιν εἶναι τὴν ἀγαθότητα τοῦ Θεοῦ· καὶ ταῦτα γὰρ δι' ἀγαθότητος ὑπερβολὴν παρήγαγεν ὁ Θεός· ἀρχὰς δὲ οὐρανίας καὶ ὑποπερατώσεις νοητέον τὴν ἐκ σημείου, ἤτοι κέντρου, τοῦ θελήματος τοῦ Θεοῦ κυκλικῶς ὑποστᾶσαν τῶν οὐρανῶν σφαιροειδῆ δημιουργίαν· τὸ γὰρ κυκλικὸν σχῆμα ἀρχόμενον ἐξ ἑαυτοῦ, εἰς ἑαυτὸ περατοῦται· τὴν δὲ οὐρανίαν οὐσίαν ἀναυξῆ καὶ ἀμείωτόν φησιν, ὡς τελείως ἔχουσαν καὶ αὐτάρκως πρὸς ὃ γέγονε· διὸ καὶ ἀναλλοίωτον αὐτὴν λέγει, ἐξ οὗ γέγονεν, οὐ παρατραπεῖσαν· τέλειον δέ ἐστιν, ὃ μήτε αὔξει, μήτε μειοῦται. Ὑποπερατώσεις δὲ αὐτὰ κέκληκε, καὶ οὐκ ἀποπερατώσεις, διὰ τὸ σφαιρικὴν μὲν εἶναι τὴν κίνησιν, οὐ κυρίως δὲ πέρας ἔχειν, ἀλλ' οἱονεὶ πέρας τὴν ἐπὶ τὸ αὐτό, ὥσπερ ἀπό τινος ἀρχῆς ἐπί τι, οἷον πέρας φέρεσθαι τυχὸν ἀνατολήν. Σημείωσαι δέ, ὅτι καὶ κινεῖσθαι ἀψόφως φησὶ καὶ ἀνεπαισθήτως τὸν οὐρανόν· τὸ δ' ἐνίων ἀστέρων μεταβατικῆς πολυκινησίας περὶ τῶν πλανητῶν φησι. Σημείωσαι δὲ καὶ τοῦτο, ὅτι αὐτοὺς μόνους ἐδέξατο κινεῖσθαι. Σημείωσαι δὲ καὶ πόθεν αἱ χρονικαὶ ἀριθμήσεις.

Καὶ τῆς τῶν δύο φωστήρων, οὓς τὰ Λόγια καλεῖ μεγάλους:

τικὰ μὲ τὸν Θεὸ εἶναι ὑπερβολὲς ποὺ προξενοῦν θέσεις, ὅπως ἄμορφος, ἀνούσιος, ἄζωος, ἄνους. Γιατὶ αὐτά, ἐνῶ ἔχουν τὴν ἔννοια τοῦ μὴ ὄντος (τοῦ ἀνύπαρκτου), ὅμως γιὰ τὸν Θεὸ ποὺ ὑπάρχει ὑπερούσια κατὰ τὴν ἀφαίρεση ὅλων ἀπὸ αὐτὸν (γιατὶ δὲν εἶναι κανένα ἀπὸ τὰ ὄντα) νοοῦνται κατὰ ὑπεροχή. Στὰ παρακάτω διασαφηνίζει τὸ θέμα τελειότερα.

Καὶ αὐτὸ τὸ μὴ ὄν: Πῶς αὐτὸ ποὺ δὲν ὑπάρχει, τὸ μὴ ὄν, ἐπιθυμεῖ τὸ ἀγαθό; Ἂν δηλαδὴ δὲν ὑπάρχει, πῶς ἐπιθυμεῖ; Λέμε ὅτι τὸ μὴ ὂν σκέφθηκε ὅτι ὑπάρχει τὸ κακό, ὅπως ἀποδεικνύει πιὸ κάτω. Γιατὶ κι' αὐτὸ τὸ λεγόμενο κακὸ γίνεται γιὰ χάρη τοῦ ἀγαθοῦ.

§ 4. Καὶ τῶν οὐρανίων: Τὸ αἴτιο τῶν οὐράνιων ἀρχῶν καὶ τῶν ὑποπερατώσεων λέει ὅτι εἶναι ἡ ἀγαθότητα τοῦ Θεοῦ. Γιατὶ κι αὐτὰ τὰ δημιούργησε ὁ Θεὸς ἀπὸ ὑπερβολὴ ἀγαθότητας. Ὡς ἀρχὲς οὐράνιες καὶ ὑποπερατώσεις πρέπει νὰ θεωρήσομε τὴ σφαιρικὴ τῶν οὐρανῶν δημιουργία ποὺ ἔλαβε ὕπαρξη κυκλικὴ γύρω ἀπὸ σημεῖο, δηλαδὴ κέντρο, τοῦ θελήματος τοῦ Θεοῦ, γιατὶ τὸ κυκλικὸ σχῆμα, ἀρχίζοντας ἀπὸ τὸν ἑαυτό του, καταλήγει πάλι στὸν ἑαυτό του. Ἡ οὐράνια φύση πάλι λένε πὼς δὲν αὐξάνει οὔτε μειώνεται, γιατὶ διαθέτει τελειότητα καὶ αὐτάρκεια γιὰ τὸ σκοπὸ ποὺ ἔγινε. Γι' αὐτὸ τὴ λέει ἀμετάβλητη, ἀφοῦ ἀπὸ τότε ποὺ ἔγινε δὲν μετατράπηκε. Τέλειο βέβαια εἶναι αὐτὸ ποὺ οὔτε αὐξάνει οὔτε ἐλαττώνεται. Τὰ ὀνόμασε αὐτὰ ὑποπερατώσεις καὶ ὄχι ἀποπερατώσεις, ἐπειδὴ ἡ κίνηση εἶναι σφαιρικὴ καὶ δὲν ἔχει κυρίως πέρας, ἀλλὰ σὰν πέρας ἔχει κατὰ κάποιο τρόπο τὴν ἀνατολή, ποὺ κινεῖται σὰν ἀπὸ κάποια ἀρχὴ πρὸς κάτι ποὺ εἶναι τυχὸν πέρας. Σημείωσε ἐπίσης καὶ τοῦτο· ὅτι λέει δηλαδὴ ὅτι ὁ οὐρανὸς κινεῖται ἀθόρυβα καὶ ἀνεπαίσθητα, ἐνῶ τὴ μεταβατικὴ πολυκινησία μερικῶν ἀστεριῶν τὴ λέει γιὰ τοὺς πλανῆτες. Σημείωσε ἀκόμα καὶ τοῦτο· ὅτι αὐτὸς μονάχα δέχθηκε ὅτι κινοῦνται. Σημείωσε καὶ ἀπὸ ποῦ προέρχονται οἱ ἀριθμήσεις τοῦ χρόνου.

Καὶ τῆς τῶν δύο φωστήρων, ποὺ τὰ 'Λόγια' τοὺς καλοῦν

Δύο φωστῆρας τὸν ἥλιον καὶ τὴν σελήνην φησί· μεγάλους δὲ εἶπεν ἑπόμενος τῷ Δαβίδ· Λόγια δὲ τοὺς ἐκείνου Ψαλμοὺς ὀνομάζει. Περιοδικὴν δὲ ἀποκατάστασιν τὴν ἀπὸ τοῦ αὐτοῦ εἰς το αὐτὸ φορὰν λέγει, ἣν ὁ ἥλιος μὲν κατ' ἐνιαυτὸν ποιεῖται τὸν ζῳδιακὸν κύκλον περιϊών, ἡ δὲ σελήνη δι' ἡμερῶν τινων τὸν ἀπὸ συνόδου μέχρι τῆς παντελοῦς ταύτης μειώσεως. Σημείωσαι δέ, ὡς καὶ αἱ χρονικαὶ ἀριθμήσεις ἐκ τούτων εἰσί, καὶ ἔτι ἐκ τῶν μηνῶν.

Ἀφορίζουσι: Τελέως ὁρίζουσιν.

Ἐπέκεινα θεότητος: Τοῦτο καὶ ἐν τοῖς ἄνω παρέγραψα, ὅτι καὶ ἐν τοῖς πᾶσιν ὁ Θεός, καὶ οὐδὲν τῶν ἁπάντων. Ἐνταῦθα δὲ τὸ πλέον φησίν, ὅτι καὶ ἔτι ὑπὲρ πάσας τὰς οὐσίας ἐστίν, ὅπερ λέγει κατωτέρω, ὅτι καὶ τῶν μὴ ὄντων ἐστὶ πληρωτικός. Ὅρα δὲ πῶς λέγει μήτε τῶν ἄνω φθανουσῶν αὐτῆς τὴν ὑπεροχήν, μήτε τῶν κάτω ταύτην διαβαινουσῶν· τουτέστιν, οὔτε ἀρχήν, οὔτε πέρας ἔχει τὸ Θεῖον, τῶν οὐρανίων καὶ ὑπερτέρων δυνάμεων ταύτην μὴ καταλαβουσῶν, οὐχ ὅτι ἐστὶ μέν, οὐ κατελήφθη δέ· μὴ οὕτω νοήσεις· ἀλλ' ὅτι αὐτὸ οὔτε ἐστί· τοῦτο γάρ ἐστιν 'ἡ ἐν ἀγνωσίᾳ γνῶσις'. Ὑπέρτεροι γὰρ γενόμενοι καὶ διὰ φιλοθεΐας ἑνωθέντες ταῖς ἄνω δυνάμεσι, γινώσκομεν ὅτι μετὰ πάντων τὴν θείαν ἀγοοῦμεν φύσιν.

Καὶ φωτίζει: Τουτέστι τὰ χωροῦντα τὴν ὁλότητα αὐτοῦ πρὸς τὸ μέτρον ὃ χωροῦσι· διὸ καὶ μέτρον εἶναι λέγεται τῶν ὄντων· ἢ ὅτι τὴν ἀρχὴν καὶ τὸ πέρας ἁπάντων ἐπίσταται, ὡς μόνος δημιουργός· ἑαυτὸν γὰρ παρακατιὼν ἑρμηνεύει.

Τὰς τάξις: Τάξις διὰ τοῦτο λέγεται ὁ Θεός, ἢ ἐπειδὴ μετ' εὐταξίας τὰ πάντα ἐδημιούργησεν, ἢ ὅτι πίστει παρὰ τῶν εἰς αὐτὸν φοιτώντων χωρεῖται, μήτε τῷ πληθυσμῷ τοὺς ἀσθενεστέρους καταβαπτίζων, μήτε τῇ συγκαταβάσει ἐπ' ἔλαττον

μεγάλους: Δυὸ φωστῆρες ὀνομάζει τὸν ἥλιο καὶ τὴ σελήνη. Μεγάλους τοὺς χαρακτήρισε ἀκολουθώντας τὸν Δαβίδ, ἐνῶ 'Λόγια' ὀνομάζει τοὺ Ψαλμοὺς ἐκείνου. Περιοδικὴ ἀποκατάσταση λέει τὴν κίνηση ἀπὸ κάποιο σημεῖο σ' αὐτὸ πάλι τὸ ἴδιο, ποὺ πραγματοποιεῖ ὁ ἥλιος σ' ἕνα χρόνο, διατρέχοντας τὸ ζωδιακὸ κύκλο, καὶ ἡ σελήνη ποὺ διατρέχει τὸν κύκλο στὸ διάστημα κάποιων ἡμερῶν ἀπὸ τὴν πανσέληνο ὧς τὴν τέλεια μείωσή της. Σημείωσε ὅτι καὶ οἱ μετρήσεις τοῦ χρόνου προέρχονται ἀπὸ αὐτὰ κι ἀκόμα ἀπὸ τοὺς μῆνες.

Ἀφορίζουσι: Δηλαδὴ καθορίζουν τέλεια.

Ἐπέκεινα θεότητος: Τοῦτο τὸ παρέθεσα καὶ προηγουμένως, ὅτι ὁ Θεὸς εἶναι καὶ μέσα στὰ πάντα καὶ δὲν εἶναι κανένα ἀπὸ τὰ πάντα. Ἐδῶ λέει τὸ ἐπὶ πλέον, ὅτι εἶναι καὶ πάνω ἀπὸ ὅλες τὶς οὐσίες, πράγμα ποὺ τὸ λέει παρακάτω, ὅτι μπορεῖ νὰ γίνει τὸ πλήρωμα καὶ τῶν μὴ ὄντων. Καὶ πρόσεχε πῶς λέει ὅτι οὔτε οἱ ἄνω δυνάμεις φτάνουν τὴν ὑπεροχὴ τῆς θεότητας, οὔτε οἱ κάτω τὴν διαβαίνουν· ἡ θεότητα δηλαδὴ δὲν ἔχει οὔτε ἀρχὴ οὔτε τέλος, καὶ δὲν τὴν ἔχουν κατανοήσει οἱ οὐράνιες καὶ ὑπέρτερες δυνάμεις· ὄχι ἀσφαλῶς ὅτι ναὶ ὑπάρχει βέβαια, ἀλλὰ δὲν τὴν ἔχουν κατανοήσει, μὴν τὸ ἐννοήσεις ἔτσι, ἀλλ' ὅτι αὐτὴ δὲν ὑπάρχει κάν. Γιατὶ αὐτὸ εἶναι ἡ γνώση μὲ ἀγνωσία. Ἀφοῦ δηλαδὴ γίναμε ὑπέρτεροι καὶ μὲ τὴν ἀγάπη μας πρὸς τὸν Θεὸ ἑνωθήκαμε μὲ τὶς ἄνω δυνάμεις, κατανοοῦμε ὅτι μαζὶ μὲ ὅλα ἀγνοοῦμε τὴ θεία φύση.

Καὶ φωτίζει: Δηλαδὴ φωτίζει ὅσα χωροῦν τὴν ὁλότητά του κατὰ τὸ μέτρο ποὺ τὴ χωροῦν. Γι' αὐτὸ καὶ λέγεται πὼς εἶναι μέτρο τῶν ὄντων. Ἢ ὅτι γνωρίζει τὴν ἀρχὴ καὶ τὸ πέρας ὅλων, ὡς ὁ μόνος δημιουργός. Περακάτω ἑρμηνεύει τὸν ἴδιο τὸν ἑαυτό του.

Καὶ τάξις: Ὁ Θεὸς λέγεται τάξη γιὰ τὸν ἑξῆς λόγο· ἢ ἐπειδὴ δημιούργησε τὰ πάντα μὲ εὐταξία, ἢ ἐπειδὴ μὲ πίστη γίνεται δεκτὸς ἀπὸ αὐτοὺς ποὺ τὸν πλησιάζουν, χωρὶς οὔτε τοὺς ἀσθενέστερους νὰ καταποντίζει μὲ τὴν ἀφθονία του, οὔτε μὲ τὴ συγ-

παρὰ τῶν ἁγιωτέρων χωρούμενος, ἀλλὰ πρὸς τὸ ἐμὸν ἀγγεῖον οὕτως ἐμοὶ πηγάζων τὴν ἀγαθότητα.

Κατὰ πολλοστὸν ἀπήχημα: Ὥσπερ ὁ αἰσθητὸς ἥλιος πάντα τὰ ὁρατὰ φωτίζει, καὶ τὰ μὴ μετέχοντα τοῦ φωτὸς αὐτοῦ δι' οἰκείαν ἀδράνειαν οὐ μετέχει, οὕτω καὶ ἐπὶ τοῦ Θεοῦ, πάντες παρ' αὐτοῦ ἁγιάζονται, ὅσοι βούλονται. Καλῶς δὲ τὸ ἀπεμφαῖνον τῶν ἐπὶ τῷ ἡλίῳ λεγομένων εὐθὺς ἐθεράπευσεν ὁ θεῖος Διονύσιος· ἐπειδὴ γὰρ ἐμφανῆ εἰκόνα τῆς ἀγαθότητος τοῦ Θεοῦ τὸν ἥλιον εἶπε τὸν ἄψυχον, τὸ δημιούργημα τοῦ δημιουργοῦ καλέσας εἰκόνα, πρῶτον μὲν παραχρῆμα ἐπήγαγε 'κατὰ πολλοστὸν ἀπήχημα', ἐν δὲ τῷ ἑξῆς κεφαλαίῳ τελεώτερον αὐτὸ σαφηνίζει. Τί δέ ἐστι 'πολλοστὸν ἀπήχημα' λεκτέον. Ὥσπερ γὰρ εἴ τις μέγα βοήσας καὶ ἀνακράξας εἴποι τι, καὶ οἱ μὲν παρεστῶτες, ἐὰν ἐρρωμένοι τὰς ἀκοὰς ὦσι, καὶ τῆς βοῆς καὶ τοῦ λεχθέντος ἀκούουσιν, οἱ δὲ βραχὺ ἀφεστῶτες, ὅσον ἀπέχουσι, τοσοῦτον ἀδρανέστερον τοῦ φθέγματος ἀκροῶνται, οἱ δὲ ἐπὶ μεῖζον διάστημα κεχωρισμένοι πολλοστόν τι μέρος καὶ ἀμυδρότατον τοῦ ἀπηχήματος λαμβάνουσιν, ὡς φωνῆς μὲν ἀσήμου τινὸς ἀκοῦσαι, μὴ νοῆσαι δὲ τὸ ἐκφωνηθέν· τοσοῦτον ἔστιν ὑπολαβεῖν τὸ ἡλιακὸν φῶς τῷ ἀληθινῷ, ὡς καὶ ἀσύμβλητον εἶναι τὸ μέσον.

Ἀλλὰ καὶ πρὸς τὴν γένεσιν: Μὴ νομίσῃς τὸν ἥλιον γενέσεως ἢ ζωῆς ἢ αὐξήσεως ἢ τελειότητος αἴτιον εἶναι τῶν ὄντων τινός, ὥσπερ οὐδὲ ἄλλο τι στοιχεῖον, εἰ καὶ σφόδρα τύχοι τῶν ἀναγκαίων, οἷον τὸ ὕδωρ· δυνατὸν γὰρ ἡμᾶς διαγενέσθαι καὶ ἡλίου χωρὶς καὶ ὕδατος, εἰ καὶ μὴ τελείως, ἀλλ' οὖν ἱκανὸν χρόνον· ἀλλ' εἰδὼς ὁ Θεός, ὅτι τὸ μὲν ψυχρὸν ἅπαν ἄγονον παντελῶς, τὸ δὲ μεμετρημένως θερμὸν γενεσιουργεῖ, καὶ ὅτι φυτὰ καὶ τὰ σπέρματα θερμότητος δεῖται, ὡς καὶ τὰ σώματα

κατάβασή του νὰ χωρεῖται σὲ μικρότερο βαθμὸ ἀπὸ τοὺς περισσότερο ἁγίους, ἀλλὰ ἀνάλογα μὲ τὸ δοχεῖο ποὺ κρατῶ πηγάζει γιὰ μένα τὴν ἀγαθότητά του.

Κατὰ πολλοστὸν ἀπήχημα: Ὅπως ἀκριβῶς ὁ αἰσθητὸς ἥλιος φωτίζει ὅλα ὅσα βλέπομε, καὶ ὅσα δὲν μετέχουν τὸ φῶς του δὲν τὸ μετέχουν ἀπὸ δική τους ἀδράνεια, ἔτσι καὶ σχετικὰ μὲ τὸν Θεό, ἁγιάζει μόνο ὅλους ὅσους θέλουν. Καὶ ἐπιτυχῶς ὁ θεῖος Διονύσιος διόρθωσε τὸ ἀταίριαστο ὅσων λέγονται γιὰ τὸν ἥλιο. Ἐπειδὴ δηλαδὴ ἀνέφερε φανερὴ εἰκόνα τῆς ἀγαθότητας τοῦ Θεοῦ τὸν ἥλιο τὸν ἄψυχο, καλώντας τὸ δημιούργημα εἰκόνα τοῦ δημιουργοῦ, πρῶτον εὐθὺς ἀμέσως πρόσθεσε 'κατὰ πολλοστὸ ἀπήχημα', ἐνῶ στὸ παρακάτω κεφάλαιο τὸ ἀποσαφηνίζει αὐτὸ πληρέστερα. Ἂς ποῦμε τώρα τί σημαίνει 'πολλοστὸ ἀπήχημα'. Ὅπως δηλαδὴ ἂν κάποιος βάλει μιὰ δυνατὴ φωνὴ καὶ κραυγὴ γιὰ κάτι, ὅσοι εἶναι κοντά, ἂν ἔχουν δυνατὴ ἀκοὴ ἀκοῦνε καὶ τὴ φωνὴ καὶ τὸ λεγόμενο, ὅσοι βρίσκονται σὲ μικρὰ ἀπόσταση, ἀνάλογα μὲ τὴν ἀπόσταση, ἀκοῦνε τὸ λεγόμενο ὅλο μὲ πιὸ μεγάλη ἀσάφεια, ἐνῶ ὅσοι βρίσκονται σὲ μεγαλύτερη ἀπόσταση δέχονται ἕνα πολλοστημόριο καὶ πολὺ ἀδύνατο μέρος τοῦ ἀπηχήματος, ὥστε ν' ἀκούσουν βέβαια μιὰ ἄσημη φωνή, νὰ μὴ καταλάβουν ὅμως αὐτὸ ποὺ λέει. Σὲ τόσο μεγάλη ἀπόσταση μποροῦμε νὰ καταλάβομε πὼς βρίσκεται τὸ ἡλιακὸ φῶς ἀπὸ τὸ φῶς τὸ ἀληθινό, ὥστε νὰ μὴν εἶναι δυνατὸ νὰ καλυφθεῖ τὸ ἐνδιάμεσο.

Ἀλλὰ καὶ πρὸς τὴν γένεσιν: Μὴ νομίσεις ὅτι ὁ ἥλιος εἶναι ἡ αἰτία τῆς γένεσης ἢ τῆς ζωῆς ἢ τῆς αὔξησης ἢ τῆς τελειότητας κάποιου ἀπὸ τὰ ὄντα, ὅπως οὔτε κανένα ἄλλο στοιχεῖο, κι ἂν ἀκόμα τύχει νὰ εἶναι ἀπὸ τὰ πάρα πολὺ ἀναγκαῖα, ὅπως τὸ νερό, γιατὶ εἶναι δυνατὸ ἐμεῖς νὰ ζήσομε καὶ χωρὶς ἥλιο καὶ νερό, ἂν καὶ ὄχι ὡς τὸ τέλος, ἀλλ' ὁπωσδήποτε γιὰ ἀρκετὸ διάστημα. Ὁ Θεὸς ὅμως γνωρίζοντας ὅτι τὸ ψυχρὸ εἶναι τελείως ἄγονο, ἐνῶ τὸ μέτρια θερμὸ παράγει ζωή, καὶ ὅτι τὰ φυτὰ καὶ οἱ σπόροι ἔχουν ἀνάγκη ἀπὸ θερμότητα, ὅπως καὶ κάθε σῶμα ποὺ

πάντα τὰ ζωὴν ἔχοντα εἴτε αἰσθητικὴν εἴτε φυτικήν, καθαίρονται δὲ πολλά, ὡς καὶ εἰς λευκότητα φέρεσθαι, ὡς ἐσθῆτες καὶ ἄλλα, ἀνανεοῖ δὲ καὶ τὰ ψυγέντα σπέρματα, τούτου χάριν τὸν ἥλιον οὕτως ἔχειν φύσεως ἐποίησεν, ἵνα τὰ εἰρημένα πάντα ποιῇ ἐκ τοῦ δημιουργοῦ τὸ δύνασθαι λαβών, οὐκ ἐκ προαιρέσεως ἰδίας ἢ δυνάμεως. Τοῦτο τελείως φησὶν ὁ ἅγιος Διονύσιος, ἑαυτὸν ὥσπερ ἐπεξηγούμενος κατωτέρω ἐν τῷ τέλει τοῦ πέμπτου κεφαλαίου καὶ ἐν τῷ τέλει τοῦ ἕκτου. Νόει οὖν ἀσφαλῶς, καὶ μὴ διαστρέφου.

Μέτρον ἐστί: Μέτρον διὰ τοῦτο λέγεται ὁ ἥλιος καὶ ἀριθμὸς ὡρῶν, ἐπειδὴ τῆς ἡμέρας ἄρχει· ἡ δὲ ἡμέρα ἀνακυκλουμένη τὸν χρόνον ποιεῖ· διὰ τοῦτο μέτρον ἐκλήθη, οἷα τὴν ἡμετέραν μετρῶν ζωήν· λέγει γὰρ παντὸς τοῦ καθ' ἡμᾶς χρόνου.

Αὐτὸ γάρ ἐστι τὸ φῶς: Σημείωσαι, ὅτι ὁ ἥλιος καὶ τὰς τρεῖς ἡμέρας τὰς πρὸ τῆς αὐτοῦ ποιήσεως ἐφώτιζεν ἀσχημάτιστος ὤν· καὶ ὅτι τὸ πρωτόκτιστον φῶς τῇ τετάρτῃ ἡμέρᾳ μετεσχηματίσθη εἰς ἥλιον, καὶ ὅτι ἡμερῶν τριάδα φησίν, ὡς καὶ ὁ μέγας Βασίλειος ἐν τῇ Ἑξαημέρῳ σαφῶς φησιν· ἐκεῖνο δὲ μὴ παραδράμῃς, ὅτι τὰ προειρημένα οὐ περὶ τοῦ ἡλίου, ἀλλὰ περὶ τοῦ σχηματισθέντος εἰς ἥλιον πρωτοκτίστου φωτὸς ἐρρήθη.

Ὡς ἐναρχική. Τουτέστιν ἀρχὴ καὶ αἰτία τῆς πρὸ τὸ ὄντως ἑνώσεως ἢ ὁμοιώσεως.

Καὶ οὗ ἐφίεται πάντα. Ὅρα πῶς διαιρεῖ τὸ ὄντα πάντα, καὶ περὶ τὸν πάντων ὄντα βασιλέα, οὗ καὶ τὰ ὄντα ἐφίεται πάντα. Φησὶν οὖν πρῶτον νοερά, εἶτα λογικά. Νοερὰ οὖν εἰσι τὰ μὴ μεμιγμένα σώμασιν, οἷον αἱ ὑπερκόσμιοι δυνάμεις πᾶσαι· λογικὰ δὲ αἱ ἀνθρώπιναι ψυχαί, αἱ τὴν σχέσιν ἔχουσαι πρὸς τὸ σῶμα, καθὼς ἐστιν ὁ αἰσθητὸς ἄνθρωπος· εἰ γὰρ ὁ ἔσω ἄνθρωπος μόνον ἐνεργεῖ, κατὰ τὸν Ἀπόστολον, τουτέστιν ἡ ψυχή, μὴ τὴν πᾶ-

ἔχει ζωὴ εἴτε αἰσθητικὴ εἴτε φυτική, καὶ ὅτι πολλὰ καθαίρονται ὡς τὸ σημεῖο νὰ φτάσουν τὴ λευκότητα, ὅπως τὰ φορέματα καὶ ἄλλα, καὶ ἀκόμα, ὅτι ξαναζωντανεύει τοὺς σπόρους ποὺ ἔχουν ψυχθεῖ, γι' αὐτὸ ἔκανε τὸν ἥλιο μὲ τέτοιες φυσικὲς ἰδιότητες γιὰ νὰ προκαλεῖ ὅλα τὰ προηγούμενα παίρνοντας τὴν ἱκανότητα αὐτὴ ἀπὸ τὸν δημιουργὸ καὶ ὄχι ἀπὸ δική του προαίρεση ἢ δύναμη. Τὴν ἰδέα αὐτὴ ἀναπτύσσει τέλεια ὁ ἅγιος Διονύσιος, ἐπεξηγώντας κατὰ κάποιο τρόπο τὸν ἑαυτό του παρακάτω στὸ τέλος τοῦ πέμπτου κεφαλαίου καὶ στὸ τέλος τοῦ ἕκτου. Ἔχε λοιπὸν αὐτὴ τὴ γνώμη σταθερὴ καὶ μὴ τὴν μεταβάλεις.

Μέτρον ἐστί: Γι' αὐτὸ λέγεται ὁ ἥλιος μέτρο καὶ ἀριθμὸς τῶν ἐποχῶν, ἐπειδὴ κάνει τὴν ἀρχὴ τῆς ἡμέρας, καὶ ἡ μέρα μὲ τὴν κυκλικὴ ἐπαναφορά της συμπληρώνει τὸ ἔτος. Γι' αὐτὸ ὀνομάστηκε μέτρο, ἐπειδὴ κατὰ κάποιο τρόπο μετρᾶ τὴ ζωή μας· γιατὶ λέει ὅλου τοῦ χρόνου ποὺ ζοῦμε.

Αὐτὸ γάρ ἐστι τὸ φῶς: Σημείωσε ὅτι ὁ ἥλιος φώτιζε καὶ τὶς τρεῖς μέρες τὶς πρὶν ἀπὸ τὴ δημιουργία του, καὶ ὅτι τὸ πρωτοδημιούργητο φῶς μετασχηματίστηκε σὲ ἥλιο τὴν τέταρτη ἡμέρα, καὶ ὅτι μιλάει γιὰ τρεῖς ἡμέρες, ὅπως λέει μὲ σαφήνεια καὶ ὁ μέγας Βασίλειος στὴν Ἑξαήμερό του. Καὶ μὴ παραβλέψεις κι ἐκεῖνο· ὅτι δηλαδὴ τὰ προηγούμενα δὲν εἰπώθηκαν γιὰ τὸν ἥλιο, ἀλλὰ γιὰ τὸ πρωτοδημιούργητο φῶς ποὺ μετασχηματίστηκε σὲ ἥλιο.

Ὡς ἐναρχική: Δηλαδὴ ἀρχὴ καὶ αἰτία τῆς ἕνωσης ἢ ὁμοίωσης πρὸς τὸ ἀληθινὸ ὄν.

Καὶ οὗ ἐφίεται πάντα: Πρόσεχε πῶς διαιρεῖ ὅλα τὰ ὄντα γύρω ἀπὸ τὸν Βασιλέα τῶν πάντων, τὸν ὁποῖο ποθοῦνε ὅλα τὰ ὄντα. Ἀναφέρει λοιπὸν πρῶτα τὰ νοερὰ κι ἔπειτα τὰ λογικά. Νοερὰ εἶναι ὅσα δὲν εἶναι συνδεδεμένα μὲ σῶμα, ὅπως εἶναι ὅλες οἱ ὑπερκόσμιες δυνάμεις, ἐνῶ λογικὰ εἶναι οἱ ἀνθρώπινες ψυχές, ποὺ εἶναι δεμένες μὲ τὸ σῶμα, ὅπως εἶναι ὁ αἰσθητὸς ἄνθρωπος. Ἂν δηλαδὴ ἐνεργεῖ μόνο ὁ ἐσωτερικὸς ἄνθρωπος, σύμφωνα μὲ τὸν Ἀπόστολο, δηλαδὴ ἡ ψυχή, χωρὶς νὰ εἶναι

σαν ἔχουσα σχέσιν πρὸς σῶμα, τότε νοερὸς ὁ ἄνθρωπος, οὐ μὴν λογικῶς καλοῖτο ἄν, κατὰ τὸ πᾶν ζῶον τὸ ἐκ σώματος καὶ λογικῆς ψυχῆς συνεστώς. Γνωστικῶς δέ φησι τὰ νοερὰ καὶ λογικὰ ἐξίεσθαι τοῦ Θεοῦ, ὡς φύσει προσούσης αὐτοῖς τῆς ὀρέξεως ταύτης, τοῦ γνῶναι τὸν τῶν πάντων βασιλέα, καὶ μετέχειν τῆς ἀγαθότητος αὐτοῦ, διὰ τὸ εἶναι τὴν ψυχὴν γνωστικὴν καὶ λογικήν, καλῶς λέγεται καὶ ἡ ἔφεσις τοῦ ἀγαθοῦ. Τὰ δὲ ἄλογα ζῶα κατ' αὐτὴν τὴν αἰσθητικὴν δύναμιν ζωῆς ἐφίεται· διὸ καὶ τοῦ ἀγαθοῦ· τὰ δὲ ἀναίσθητα, οἷον τὰ φυτὰ καὶ τὰ ἄψυχα καὶ ἄζωα, ἐφίεται μὲν φυσικῶς τοῦ ἀγαθοῦ, οὐ μὴν ἵνα καὶ γνῷ αὐτό, ἀλλ' ἵνα μείνῃ, ὅπερ ἐστὶ μόνον τῇ φυσικῇ ἐφέσει συνεχόμενα παρὰ τοῦ ἀγαθοῦ εἰς τὸ εἶναι αὐτά.

Πάντα ἀολλῆ ποιεῖ: Ἀολλῆ, συνηθροισμένα. Ὅτι ὁ ἥλιος λέγεται παρὰ τὸ ἀολλῆ ποιεῖν καὶ συνάγειν τὰ διεσκεδασμένα, καὶ ὅτι ἀναιρεῖ τὸ εἶναι Θεὸν τὸν ἥλιον, εἰ καὶ πολλὰ εἴπομεν τῆς εὐχερῶς διαστρεφομένης δοκοῦντα ἐναντία εἶναι.

Κατὰ τὸν τῆς παλαιότητος: Κατὰ τὸν τῆς παλαιότητος λόγον, ἢ ὅτι Ἕλληνες ὑπῆρχον, θεῖος Διονύσιος καὶ ὁ θεῖος Τιμόθεος, ὡς ἐν ταῖς Πράξεσι τῶν ἁγίων ἀποστόλων δηλοῦται· ἢ τὸν μωρὸν [τὸν] τῶν Ἑλλήνων λόγον φησί· παλαιὸν γὰρ καὶ ἀρχαῖον τὸν ἥλιον ἔλεγον, ὡς ἐν τῇ κωμῳδίᾳ εἴρηται.

§ 5. Ἀνακαθαίρειν: Εἴρηται γάρ· «προσέλθετε πρὸς αὐτόν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ».

Ὅτι ἠγάπησαν πολύ: Τῷ γὰρ ἀγαπῶντι πολὺ καὶ πολὺ δοθήσεται, τῷ δὲ ἔλαττον, πρὸς τὸ μέτρον τῆς ἀγάπης· ὅπερ λέγει ἄνω, ὅτι τάξις καὶ μέτρον ἡμῶν ἐστιν ὁ Θεός.

---

2. Ἴσως 'εἶπε'.

πλήρως δεμένη μὲ τὸ σῶμα, τότε ὁ ἄνθρωπος θὰ ὀνομαζόταν νοερός, ὄχι βέβαια λογικά, σύμφωνα μὲ τὸ πλῆρες ζῶο ποὺ ἡ σύστασή του εἶναι ἀπὸ σῶμα καὶ λογικὴ ψυχή. Καὶ λέει ὅτι γνωστικὰ ἐπιθυμοῦν τὸν Θεὸ τὰ νοερὰ καὶ λογικά, ἐπειδὴ ἡ τάση αὐτὴ ὑπάρχει φυσικὰ μέσα τους νὰ γνωρίσουν τὸν Βασιλέα τῶν ὅλων καὶ νὰ εἶναι μέτοχα τῆς ἀγαθότητάς του, ἐπειδὴ ἡ ψυχὴ εἶναι γνωστικὴ καὶ λογικὴ καὶ καλῶς γίνεται λόγος καὶ γιὰ ἔφεση τοῦ ἀγαθοῦ. Τὰ ἄλογα πάλι ζῶα ἐπιθυμοῦν τὴ ζωή, σύμφωνα μὲ τὴν ἴδια τὴ δύναμη τῆς αἴσθησης, καὶ γι' αὐτὸ ἐπιθυμοῦν καὶ τὸ ἀγαθό. Τὰ ἀναίσθητα ὅμως, ὅπως εἶναι τὰ φυτὰ καὶ τὰ ἄψυχα καὶ τὰ δίχως ζωή, ἐπιθυμοῦν τὸ ἀγαθὸ ὡς ἀπὸ τὴ φύση τους, ὄχι γιὰ νὰ τὸ γνωρίσουν βέβαια, ἀλλὰ γιὰ νὰ παραμείνουν ὅ,τι εἶναι, συγκρατούμενα μὲ τὴ φυσικὴ ἔφεσή τους μόνο ἀπὸ τὸ ἀγαθὸ στὸ νὰ ὑπάρχουν.

Πάντα ἀολλῆ ποιεῖ: Ἀολλῆ σημαίνει συναθροισμένα. Ὁ ἥλιος λέγεται ἔτσι ἀπὸ τὸ ὅτι καθιστᾶ τὰ πάντα ἀολλῆ (δηλαδὴ συναθροίζει) καὶ μαζεύει τὰ σκορπισμένα· ἀναιρεῖ καὶ τὸ ὅτι ὁ ἥλιος εἶναι θεός, ἂν καὶ εἴπαμε[2] πολλὰ ποὺ φαίνονται νὰ εἶναι ἀντίθετα πρὸς αὐτὰ ποὺ εὔκολα διαστρέφονται.

Κατὰ τὸν τῆς παλαιότητος: Σύμφωνα μὲ τὸ λόγο τῆς ἀρχαιότητας, ἢ ὅτι ἦταν Ἕλληνες ὁ θεῖος Διονύσιος κι ὁ θεῖος Τιμόθεος, ὅπως δηλώνεται στὶς Πράξεις τῶν ἁγίων ἀποστόλων, ἢ ἀναφέρεται στὸν μωρὸ λόγο τῶν Ἑλλήνων. Γιατὶ ἔλεγαν[3] τὸν ἥλιο παλαιὸ καὶ ἀρχαῖο, ὅπως λέγεται στὴν κωμωδία.

§ 5. Ἀνακαθαίρειν: Ἔχει λεχθεῖ· «πηγαίνετε κοντά του καὶ φωτισθεῖτε, καὶ τὰ πρόσωπά σας δὲν θὰ ντροπιαστοῦν»[4].

Ὅτι ἠγάπησαν πολύ: Σ' αὐτὸν ποὺ ἀγαπᾶ πολύ, καὶ θὰ τοῦ δοθεῖ πολύ, ἐνῶ σ' ὅποιον ἀγαπᾶ λιγότερο, θὰ τοῦ δοθεῖ ἀνάλογα μὲ τὸ βαθμὸ τῆς ἀγάπης του. Αὐτὸ τὸ λέει πιὸ πάνω, ὅτι δηλαδὴ τάξη καὶ μέτρο μας εἶναι ὁ Θεός.

---

3. Ἢ ἔλεγαν παλαιὸ καὶ ἀρχαῖο τὸν μωρὸ λόγο τῶν Ἑλλήνων.
4. Ψαλμ. 33,6.

§ 6. Καὶ ὑπερκόσμιον: Τὸ ὑπερκόσμιον εἰρῆσθαι νοῦν, ὥς τινων μὲν ὑπὲρ τοὺς πάντας κόσμους ὄντων νοῶν ἁγίων ἀνωτάτω, τάξεων ἀγγελικῶν, τινῶν δὲ ἐπικοσμίων, τουτέστι τῶν ἐπὶ τῇ λειτουργίᾳ τῶν κόσμων, εἰς διοίκησιν αὐτῶν τεταγμένων, τῶν παρά τισι καὶ κοσμαγωγῶν λεγομένων. Τινῶν δὲ ἐγκοσμίων νοῶν ὄντων, ἀνθρώπων τε καὶ ἀγγέλων, ἐθναρχῶν τε καὶ πολιούχων· καὶ ἐπὶ τῶν ἐκκλησιῶν καὶ τῶν ἁγίων, ὡς ἐν τῇ Ἀποκαλύψει φησὶν ὁ θεῖος Ἰωάννης, καὶ ἐπὶ τῶν ἑτέρων κοσμικῶν διατάξεων· καὶ ὁ ψαλμῳδὸς δέ φησι· «παρεμβαλεῖ ἄγγελος Κυρίου»· ὑπερκόσμιός ἐστιν ὁ πνευματικός, περικόσμιος ὁ ψυχικός, ἐγκόσμιος ὁ σαρκικός. Ἄλλως ὑπερκόσμιός ἐστιν ὁ καὶ τὴν θεολογίαν κατορθώσας, περικόσμιος ὁ τὴν φυσικὴν θεωρίαν, ἐγκόσμιος ὁ τὴν πρακτικὴν ἀρετήν.

Πάντα συνάγουσα: Ὁμοῦ πάντα ποιοῦσα, καὶ θάλπουσα, καὶ αὔξουσα, καὶ μεταποιοῦσα.

Διαιρετική: Διαιρεῖ γὰρ ἀπὸ τοῦ Θεοῦ ἡ ἄγνοια, ὡς μᾶλλον τὸ φῶς συνάγει, καὶ ἀολλῆ ποιεῖ, ὡς ἔφη ἄνω.

Δοξασμάτων: Τῶν εἰδώλων καὶ τῆς αὐτῶν πολυθεΐας.

Φαντασίας: Φαντασίας φησὶ τὰς πλασματώδεις ἐννοίας περὶ αἰσθητά, ἢ ὡς αἰσθητά.

§ 7. Καὶ ὡς καλόν: Καλὸς μὲν εἴρηται ὁ Θεὸς καὶ ἐν τῷ Ἄισματι τῶν ᾀσμάτων, ὥσπερ οὖν καὶ κάλλος λέγεται· καὶ ὁ Δαυίδ· «ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων». Λέγεται δὲ καλὸν καὶ τὸ κάλλους μετέχον. Καὶ σημείωσαι, πῶς διαιρεῖται τὸ καλὸν καὶ τὸ κάλλος ἐπὶ τῶν ὄντων, εἰς μετέχοντα καὶ μετεχόμενα, ἐπὶ δὲ τοῦ Θεοῦ, οὐχ οὕτω· κάλλος μὲν γὰρ λέ-

§ 6. Καὶ ὑπερκόσμιον: Χαρακτηρίζει τὸ νοῦ ὑπερκόσμιο, ἐπειδὴ μερικοὶ ἅγιοι νόες, τάξεις ἀγγελικές, βρίσκονται πάνω-πάνω ἀπὸ ὅλους τοὺς κόσμους, μερικοὶ πάλι εἶναι ἐπι-κόσμιοι (βρίσκονται ἐπάνω στοὺς κόσμους), δηλαδὴ ὅσοι ἔχουν ὁρισθεῖ γιὰ τὴ λειτουργία τῶν κόσμων, τοὺς ὁποίους νόες μερικοὶ τοὺς λένε καὶ κοσμαγωγούς. Μερικοὶ νόες εἶναι καὶ ἐγ-κόσμιοι, ἄνθρωποι καὶ ἄγγελοι, ἐθνάρχες καὶ πολιοῦχοι. Καὶ γιὰ τὶς ἐκκλησίες καὶ τοὺς ἁγίους, ὅπως λέει στὴν Ἀποκάλυψη ὁ θεῖος Ἰωάννης, καὶ γιὰ τὶς ἄλλες κοσμικὲς διακοσμήσεις. Καὶ ὁ ψαλμωδὸς λέει· «θὰ ἐπέμβει ἄγγελος Κυρίου»[5]. Ὑπερκόσμιος νοῦς εἶναι ὁ πνευματικός, περικόσμιος (ἐπικόσμιος) εἶναι ὁ ψυχικός, καὶ ἐγκόσμιος ὁ σαρκικός. Μὲ ἄλλη ἑρμηνεία, ὑπερκόσμιος εἶναι αὐτὸς ποὺ ἐπέτυχε τὴ θεολογία, περικόσμιος αὐτὸς ποὺ πέτυχε τὴ φυσικὴ θεωρία, καὶ ἐγκόσμιος ὅποιος πραγματοποίησε τὴν πρακτικὴ ἀρετή.

Πάντα συνάγουσα: Συγκεντρώνοντας τὰ πάντα μαζὶ καὶ περιθάλποντας καὶ αὐξάνοντας καὶ μεταποιώντας αὐτά.

Διαιρετικά: Ἡ ἄγνοια χωρίζει ἀπὸ τὸν Θεό, ὅσο τὸ φῶς ἑνώνει περισσότερο καὶ συναθροίζει, ὅπως εἶπε πιὸ πάνω.

Δοξασμάτων: Ἐννοεῖ τὰ εἴδωλα καὶ τοὺς πολλοὺς ποὺ ἀντιπροσωπεύουν.

Φαντασίας: Φαντασίες λέει τὶς ἔννοιες ποὺ πλάθονται γύρω ἀπὸ τὰ αἰσθητὰ ἢ τὰ δῆθεν αἰσθητά.

7. Καὶ ὡς καλόν: Καλὸς (ὡραῖος) λέγεται ὁ Θεὸς καὶ στὸ Ἆσμα τῶν ἀσμάτων, ὅπως βέβαια λέγεται καὶ κάλλος (ὡραιότητα). Καὶ ὁ Δαβὶδ λέει· «στὴν ὀμορφιὰ ὡραιότερος ἀπὸ ὅλους τοὺς υἱοὺς τῶν ἀνθρώπων»[6]. Ὡραῖο λέγεται κι αὐτὸ ποὺ εἶναι μέτοχο τῆς ὡραιότητας. Καὶ σημείωσε, πῶς κατανέμεται τὸ καλὸ καὶ τὸ κάλλος στὰ ὄντα, σ' αὐτὰ ποὺ μετέχουν καὶ σ' αὐτὰ ποὺ μετέχονται. Ἀλλὰ γιὰ τὸν Θεὸ δὲ λέγεται τὸ κάλλος μ'

5. Ψαλμ. 33,8 6. Ψαλμ. 44,3.

γεται διὰ τὴν ἐξ αὐτοῦ διαδεδομένην πᾶσι καλλονήν, καὶ ὅτι πάντα πρὸς ἑαυτοῦ καλεῖ· καλὸν δέ, ὡς ἀεὶ ὂν καὶ μηδέποτε μειούμενον ἢ αὖξον.

Μεθ' ἑαυτοῦ μονοειδές: Μονοειδὲς καλόν ἐστιν ὁ Θεός, ἐπεὶ μήτε σκεδάννυται εἰς ἕξεις καὶ διαφορὰς καλλοποιούς, μήτε πρὸς ἐνίους μὲν τὸ καλὸν κέκτηται, πρὸς ἐνίους δὲ οὔ, ἀλλ' ἀτρέπτως αὐτὸ τὸ καλὸν ἀνάρχως καὶ ἀπολύτως, ἀνεπιτηδεύτως καὶ ὡσαύτως ἀεὶ ἐστι· καὶ διὰ τοῦτο προέχειν ἐν ἑαυτῷ λέγεται τὴν καλλονήν, ὡς καὶ πρὸ τῶν δημιουργημάτων πηγή, καὶ ἀρχή, καὶ αἴτιον ὢν τοῦ καλοῦ· ὅθεν καὶ ὑπεροχικῶς ἔχει τὸ καλόν· κἂν γὰρ πολλὰ καλά, ἀλλ' ἐξ αὐτοῦ εἰσι καλά, καὶ οὐδὲ κατ' αὐτὸν καλά· πόθεν ὅ γε ἀναιτίως καλόν, αὐτὰ δὲ αἰτιατῶς καὶ κατὰ μετοχήν; ἑνοειδῶς γάρ ἐστι καλὸν ὁ Θεός, ἐπεὶ ἐξ αὐτοῦ τὰ μετ' αὐτὸν καλά, καὶ ὡς ἐν ποιότητι κεκτημένα τὸ καλόν.

Ἐκ τοῦ καλοῦ τούτου: Τό, «ἰδοὺ πάντα καλὰ λίαν», καὶ τὸ κατὰ τὸν Ζαχαρίαν, «πᾶν εἴ τι καλὸν αὐτοῦ» ἐκεῖθεν ἐκ τοῦ ἀναιτίου καλοῦ γέγονε· διὰ γὰρ τὸ καλὸν αἱ τῶν στοιχείων γεγόνασιν ἀλληλουχίαι, ἃς ἐφαρμογάς φησι· καὶ αἱ τῶν ὄντων εὔτακτοι συνδέσεις διαρκοῦσι, λεγόμεναι φιλίαι καὶ κοινωνίαι πάντων ἐναρέτων λογικῶν, αἱ πρὸς Θεόν που διανοήσεις, ὡς ἡ τῶν πρωτοτόκων Ἐκκλησία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· ἐπὶ δὲ τῶν ἀλόγων αἱ ἀγελαῖαι συνδιαγωγαί, ἐπὶ δὲ τῶν ἀψύχων αἱ πρὸς ἄλληλα ἑκτικαὶ συμπάθειαι. Πάντα οὖν ἥνωται τῷ καλῷ τῇ μεθέξει πρὸς τὸν αἴτιον ἐπεστραμμένα.

Καὶ πέρας πάντων: Πέρας πάντων λέγεται ὁ Θεός, καὶ ὡς συνέχων πάντα, καὶ ὡς πάντων εἰς ἀσφάλειαν περιδεδραγμένος, καὶ ὡς αὐτοῦ γε ἕνεκα πάντων εἰς τὸ εἶναι παραχθέντων καὶ ἑτέρου τινὸς εἰς τὸ τετελέσθαι οὐ δεομένων· ὅθεν ὡς ἀρχὴ πάντων, ἅτε αἴτιος, λέγεται, οὕτω καὶ μέσον, ὡς τὴν εἰς τὸ συν-

αὐτὴ τὴν ἔννοια, ἀλλὰ λέγεται ἐξαιτίας τῆς καλλονῆς ποὺ εἶναι μοιρασμένη σὲ ὅλα καὶ ἐπειδὴ ὅλα τὰ καλεῖ στὸν ἑαυτό του. Καλὸ πάλι λέγεται, ἐπειδὴ ὑπάρχει πάντοτε, καὶ ποτὲ οὔτε μειώνεται οὔτε αὐξάνει.

Μεθ' ἑαυτοῦ μονοειδές: Μοναδικὰ ὡραῖο εἶναι ὁ Θεός, ἐπειδὴ οὔτε διαχωρίζεται σὲ ἕξεις καὶ διαφορές, ποὺ ὡραιοποιοῦν, οὔτε ἔχει τὸ ὡραῖο πρὸς μερικοὺς καὶ πρὸς ἄλλους δὲν τὸ ἔχει, ἀλλὰ αὐτὸ τὸ ὡραῖο εἶναι τὸ αὐτὸ πάντοτε, χωρὶς μεταβολή, χωρὶς ἀρχή, ἀπόλυτο, ἀνεπιτήδευτο. Καὶ γι' αὐτὸ λέγεται ὅτι σ' αὐτὸ προέχει ὡς καλλονή, ἐπειδὴ εἶναι καὶ πρὶν ἀπὸ τὰ δημιουργήματα πηγὴ καὶ ἀρχὴ καὶ αἴτιο τοῦ ὡραίου. Γι' αὐτὸ κι ἔχει τὸ ὡραῖο κατὰ ὑπεροχή. Γιατὶ κι ἂν ἀκόμα ὑπάρχουν πολλὰ ὡραῖα, εἶναι ὡραῖα χάρη σ' αὐτόν, ἀλλὰ ὄχι καὶ ὡραῖα σύμφωνα μ' αὐτόν. Γιατὶ αὐτὸς εἶναι ὡραῖο χωρὶς αἰτία, ἐνῶ ἐκεῖνα εἶναι ὡραῖα κατὰ αἰτία καὶ κατὰ μετοχή. Ὁ Θεὸς εἶναι μ' ἕνα μόνο τρόπο ὡραῖο, ἐπειδὴ τὰ ἔπειτ' ἀπὸ αὐτὸν ὡραῖα εἶναι χάρη σ' αὐτὸν κι ἐπειδὴ ἔχουν τὸ ὡραῖο σὰν ἰδιότητα.

Ἐκ τοῦ καλοῦ τούτου: Εἶναι ἡ φράση, «νά, ὅλα εἶναι ἐξαιρετικὰ ὡραῖα», κι αὐτὸ ποὺ λέει ὁ Ζαχαρίας, «ὅ,τι ὡραῖο ὑπάρχει, ἔχει γίνει ἀπὸ ἐκεῖ, ἀπὸ τὸ χωρὶς αἰτία ὡραῖο»[7]. Χάρη στὸ ὡραῖο ἔχουν γίνει οἱ συναρθρώσεις τῶν στοιχείων ποὺ τὶς καλεῖ ἐφαρμογές, καὶ διαρκοῦν οἱ ἁρμονικὲς συνδέσεις ποὺ λέγονται φιλίες καὶ κοινωνίες ὅλων τῶν ἐνάρετων λογικῶν ὄντων, οἱ διανοητικὲς ἀνατάσεις πρὸς τὸν Θεό, ὅπως ἡ Ἐκκλησία τῶν πρωτοτόκων στὸν οὐρανὸ καὶ πάνω στὴ γῆ. Στὰ ἄλογα ὅμως ζῶα ὑπάρχει ἡ κοπαδιαστὴ ζωή, ἐνῶ στὰ ἄψυχα οἱ φυσικὲς συμπάθειες μεταξύ τους. Ὅλα λοιπὸν ἔχουν ἑνωθεῖ μὲ τὴ μέθεξη τοῦ ὡραίου καὶ στρέφονται πρὸς τὸν αἴτιο.

Καὶ πέρας πάντων: Πέρας πάντων λέγεται ὁ Θεὸς κι ἐπειδὴ συγκρατεῖ τὰ πάντα καὶ ἀγκαλιάζει τὰ πάντα πρὸς ἀσφάλειά τους, καὶ ἐπειδὴ ἐξαιτίας του ἔχουν ἔρθει ὅλα στὸ εἶναι καὶ δὲν χρειάζονται κανένα ἄλλο ὥστε νὰ γίνουν τέλεια. Γι' αὐτὸ λέγεται ἀρχὴ πάντων, ἀφοῦ εἶναι αἴτιός τους· ἔτσι λέγεται καὶ μέ-

---

7. Ζαχ. 9,17.

εστάναι παράτασιν διδούς, καὶ τελευτή, ὡς ἐν τῷ θελήματι αὐτοῦ περατουμένων τῶν ὄντων, ἐφ' ὃν καὶ ἐπέστραπται, καθὸ καὶ τελικὸν αὐτόν φησιν, ὡς ἀρχὴν ὄντα καὶ τέλος, κατὰ τὸν θεῖον Ἰωάννην ἐν Ἀποκαλύψει, καὶ παραδειγματικόν, ὡς πάντων τῶν ἐσομένων τοὺς προορισμοὺς ἐν ἑαυτῷ προειληφότα, καὶ πρὶν ἢ προαγαγεῖν, ὥς φησιν ὁ Ἀπόστολος, «οὓς καὶ προώρισε», καὶ τὰ ἑξῆς· ταῦτα γὰρ ὁ ἅγιος Διονύσιος παραδείγματα ἐνόησε, τὸ προωρίσθαι ἐν ἑαυτῷ προγνωστικῶς τὰ ἐσόμενα, καὶ πρὶν παραχθῇ, τουτέστι πρὶν ἀφορισθῇ καὶ διακριθῇ διὰ τῆς περιεχούσης τὰ πάντα ἑνιαίας προγνώσεως τοῦ Θεοῦ. Ταῦτα εὑρήσεις καὶ ἐν τῷ ἑξῆς πέμπτῳ κεφαλαίῳ. Σημείωσαι δέ, ὅτι ταὐτὸν εἶναί φησιν τῷ ἀγαθῷ τὸ καλόν.

Ὅτι καὶ τὸ μὴ ὄν: Πῶς δύναται τὸ μὴ ὂν μετέχειν τοῦ ἀγαθοῦ; Εἰ γὰρ μὴ ὕπεστιν αὐτό, οὔτε ἔφεσιν ἔχει, οὔτε μετοχὴν πρός τι τῶν ὄντων. Λεκτέον οὖν ὅτι τὸ μὴ ὂν διαφόρως νοεῖ ὁ θεῖος οὗτος ἀνήρ· ποτὲ μὲν γὰρ αὐτὸ τὸ Θεῖον οὕτω καλεῖ, ὡς μηδὲν ὂν τῶν ὄντων, ποτὲ δὲ τὴν ὕλην, ἔτι δὲ ὅτε καὶ τὸ κακὸν οὕτω καλεῖ κατὰ διαφόρως ἐννοίας. Ἔστιν οὖν εἰπεῖν ὅτι ἡ ὕλη μετέχει τοῦ ἀγαθοῦ, καθὸ μετεβλήθη εἰς εἶδος καὶ ἀπηλλάγη τῆς πρῴην ἀμορφίας· ἢ ὅτι τὸ κακὸν μετέχει τοῦ ἀγαθοῦ, καθὸ προαιρέσει καλῇ καὶ αὐτὸ τὸ δοκοῦν θέλει κακὸν εἶναι, καὶ ὅτι ἀεὶ βούλεται εἶναι τὸ κακόν· πᾶν δὲ τοῦ εἶναι ἐφιέμενον, τοῦ ἀγαθοῦ ἐφίεται. Ἄνω δὲ πρὸ δύο φύλλων, τὸν Θεόν φησι καὶ ὑπὲρ τὰ ὄντα εἶναι· οὐκοῦν καλῶς ἂν εἴποι τις τὸν Θεὸν ὑπὲρ τὰ ὄντα εἶναι, καὶ τὸ μὴ ὂν μετέχειν τοῦ ἀγαθοῦ, ὡς καὶ ὑπὲρ τὰ

σον, ἐπειδὴ ἐξασφαλίζει τὴν παράτασή τους στὴν ὕπαρξη· ἐπίσης καὶ τέλος, ἐπειδὴ μέσα στὸ θέλημά του ἔχουν τὸ πέρας τους τὰ ὄντα, στὸν ὁποῖο καὶ στρέφονται, γι' αυτὸ τὸν ὀνομάζει καὶ 'τελικόν', ἐπειδὴ εἶναι ἀρχὴ καὶ τέλος, κατὰ τὸν θεῖον Ἰωάννη στὴν Ἀποκάλυψη[8], καὶ 'παραδειγματικόν', ἐπειδὴ ἔχει προπεριλάβει μέσα του τοὺς προορισμοὺς ὅλων τῶν μελλοντικῶν, προτοῦ ἀκόμα τὰ δημιουργήσει, ὅπως λέει ὁ Ἀπόστολος, «τοὺς ὁποίους καὶ προόρισε»[9], καὶ τὰ ἑξῆς. Αὐτὰ τὰ παραδείγματα εἶχε στὸ νοῦ του ὁ ἅγιος Διονύσιος, ὅτι εἶχαν προοριστεῖ μέσα του κατὰ πρόγνωση τὰ μελλοντικά, καὶ πρὶν ἀκόμα δημιουργηθοῦν, δηλαδὴ πρὶν χωριστοῦν καὶ διακριθοῦν, μὲ τὴν ἑνιαία πρόγνωση τοῦ Θεοῦ ποὺ περιέχει τὰ πάντα. Αὐτὰ θὰ τὰ βρεῖς καὶ στὸ ἀκόλουθο πέμπτο κεφάλαιο. Σημείωσε, ὅτι λέει πὼς εἶναι τὸ ὡραῖο ἴδιο γιὰ τὸ ἀγαθό.

Ὅτι καὶ τὸ μὴ ὄν: Πῶς εἶναι δυνατὸ νὰ μετέχει τὸ μὴ ὂν τὸ ἀγαθό; Γιατί, ἂν αὐτὸ δὲν ἔχει ὑπόσταση, δὲν ἔχει οὔτε ἔφεση οὔτε μετοχὴ πρὸς κάποιο ἀπὸ τὰ ὄντα. Πρέπει λοιπὸν νὰ ποῦμε ὅτι ὁ ἅγιος αὐτὸς ἀντιλαμβάνεται διαφορετικὰ τὸ μὴ ὄν. Ἄλλοτε δηλαδὴ καλεῖ ἔτσι τὸ ἴδιο τὸ Θεῖο, ἐπειδὴ δὲν εἶναι κανένα ἀπὸ τὰ ὄντα, κι ἄλλοτε τὴν ὕλη, καὶ κάποτε καλεῖ ἔτσι καὶ τὸ κακὸ μὲ διάφορες ἔννοιες. Μποροῦμε λοιπὸν νὰ ποῦμε ὅτι ἡ ὕλη μετέχει τὸ ἀγαθό, στὸ βαθμὸ ποὺ ἄλλαξε κι ἔγινε εἶδος κι ἀπαλλάχθηκε ἀπὸ τὴν προηγούμενη ἁμαρτία της. Ἢ ὅτι τὸ κακὸ μετέχει τὸ ἀγαθό, καθόσον μὲ καλὴ προαίρεση κι αὐτὸ ποὺ νομίζομε κακὸ θέλει νὰ ὑπάρχει καὶ ὅτι τὸ κακὸ θέλει νὰ ὑπάρχει πάντοτε, καὶ κάθε τι ποὺ ἐπιθυμεῖ τὸ εἶναι, ἐπιθυμεῖ τὸ ἀγαθό. Προηγουμένως πρὶν ἀπὸ δύο–τρεῖς σελίδες μᾶς λέει ὅτι ὁ Θεὸς εἶναι καὶ πάνω ἀπὸ τὰ ὄντα. Ὀρθὰ λοιπὸν θὰ πεῖ κάποιος ὅτι ὁ Θεὸς εἶναι πάνω ἀπὸ τὰ ὄντα, καὶ ὅτι τὸ μὴ ὂν μετέχει τὸ ἀγαθό, ἐπειδὴ τὸ ἀγαθὸ καὶ πάνω ἀπὸ τὰ ὄντα εἶναι καὶ

8. Ἀποκ. 1,58.
9. Ρωμ. 8,30.

ὄντα ὄντος, καὶ μηδὲν ὄντος τῶν ὄντων. Σημείωσαι ἀναγκαῖον, πῶς φησι, τὸ μὴ ὂν εὑρίσκεται καλὸν καὶ ἀγαθόν, ὅτε περὶ Θεοῦ λέγεται· ὁ γὰρ Θεὸς καὶ ὂν λέγεται, καὶ μὴ ὄν, ὡς οὐδὲν ὢν τῶν ὄντων, ἀλλ' ὑπερηρμένος ἀγνώστως τῶν ἁπάντων· οὐ γὰρ ἐστί τι τὸ γινῶσκον κατὰ τί οὐδέν ἐστιν ὁ Θεός.

Αἱ οὐσιώδεις ὑπάρξεις: Καλῶς τὸ οὐσιώδεις. Ὑπάρξεις καθ' ἑαυτὰς ἀνώτεραι τῶν οὐσιῶν εἰσι, νῦν δέ, ἐπειδὴ περὶ τῶν κτιστῶν φησιν, εἰκότως τῷ 'ὑπάρξεις' προσέθηκε τὸ 'οὐσιώδεις'. Ἑνώσεις δὲ λέγονται, οὐχ ὅτι συνέκειντο σωρηδὸν ἕν τι ἀποτελοῦντα, ἀλλ' ὅτι πηγὴ αὐτῶν καὶ ἀρχὴ ἦν ὁ Θεός, καὶ ἐξ αὐτοῦ παρήχθησαν ἐλλάμψαντα καὶ ὑποστάντα καθ' ὑπόβασιν ἅπαντα τὰ ὄντα ὡς καὶ εἰς διακρίσεις ὑποστάσεων φηνῆναι. Ταὐτότητες δέ εἰσιν αἱ ἀναγωγοὶ καὶ ἑνωτικαὶ πρὸς Θεὸν δυνάμεις τῶν νοητῶν, ὡς καὶ ὁμοιότητες, ἐπειδὴ καὶ ἐξ αὐτοῦ εἰσι καὶ προσεχεῖς αὐτῷ. Ἑτερότητες δὲ καθὸ καταγωγὸς οὖσα ἡ ἑτερότης καὶ μεριστή, ἐν ταῖς ὑποβεβηκυίαις καὶ ἐσχάταις προόδοις τοῦ θείου θελήματος εἰς ὁρατὰ ἐπληθύνθη. Ἀνομοιότητες δὲ πάλιν, ἐπειδὴ τὸ γινόμενον ἕτερον ἂν εἴη τοῦ δημιουργήσαντος κατὰ πάντα, καὶ οὐκ ἐμφερές. Κοινωνίαι δὲ τῶν ἐναντίων αἱ τῶν στοιχείων εἰσὶ κράσεις· ἐκ γὰρ τῶν τεσσάρων στοιχείων εἰσὶ τὰ σώματα πάντα. Ἀλληλουχίαι δὲ τῶν ὁμοστοίχων εἰσὶν αἱ τῶν κόσμων, τοῦ τε ὁρατοῦ καὶ τοῦ νοητοῦ, καθ' ὑπόβασιν κατατάξεις, ἐκ μιᾶς οὐσίας τῆς ὕλης εἰς σώματα πληθυνθεῖσαι στερεωμάτων, καὶ οἱονεὶ σειρά, ἀλλήλων ἐχόμεναι· ἐκ τούτων νοήσεις καὶ τὰ ἑξῆς. Ἀσυμμιξίαι δὲ τῶν ἡνωμένων εἰσίν, ὡς ἐπὶ τῆς τοῦ ἀνθρωπείου γένους κοινότητος, καὶ τῆς καθ' ἕκαστον ἄνθρωπον ἰδιότητος· τῷ μὲν γὰρ κοινῷ τῆς οὐσίας λόγῳ πάντες ἡνώμεθα, τῇ δὲ καθ' ἕκαστον ἰδιότητι, τὸ ἀσύμμικτον ἔχομεν.

δὲν εἶναι κανένα ἀπὸ τὰ ὄντα. Εἶναι ἀνάγκη νὰ σημειώσεις πῶς ἐννοεῖ ὅτι τὸ μὴ ὂν βρίσκεται ὡραῖο καὶ ἀγαθό, ὅταν λέγεται γιὰ τὸν Θεό. Γιατὶ ὁ Θεὸς λέγεται καὶ ὂν καὶ μὴ ὄν, ἐπειδὴ δὲν εἶναι κανένα ἀπὸ τὰ ὄντα, ἀλλὰ ὑπερυψωμένος πάνω ἀπὸ ὅλα μὲ ἄγνωστο τρόπο. Γιατὶ δὲν ὑπάρχει κανένα ὂν ποὺ νὰ ξέρει κατὰ τί ὁ Θεὸς εἶναι μὴ ὄν.

Αἱ οὐσιώδεις ὑπάρξεις: Σωστὰ λέχθηκε τὸ 'οὐδιώδεις'. Οἱ ὑπάρξεις εἶναι καθεαυτὲς ἀνώτερες ἀπὸ τὶς οὐσίες, ὅμως τώρα, ἐπειδὴ μιλάει γιὰ τὰ κτιστά, δικαιολογημένα στὸ οὐσιαστικὸ ὑπάρξεις πρόσθεσε τὸ ἐπίθετο 'οὐσιώδεις'. Ἑνώσεις πάλι λέγονται ὄχι γιατὶ ἀποτελοῦσαν ἕνα σύνολο σὲ σωρό, ἀλλὰ ἐπειδὴ πηγή τους κι ἀρχὴ ἦταν ὁ Θεὸς κι ἀπὸ αὐτὸν προῆλθαν μὲ ἔλλαμψη καὶ πῆραν ὑπόσταση κάτω ἀπὸ αὐτὸν ὅλα τὰ ὄντα, ὥστε νὰ ἐμφανιστοῦν καὶ σὲ διακεκριμένες ὑποστάσεις. Ταυτότητες εἶναι οἱ δυνάμεις τῶν νοητῶν ποὺ ἀνάγουν στὸν Θεὸ κι ἑνώνουν μ' αὐτόν, καὶ ἐπίσης ταυτότητες εἶναι καὶ οἱ ὁμοιότητες, ἐπειδὴ κι ἀπὸ αὐτὸν προέρχονται καὶ βρίσκονται πλησίον του. Ἑτερότητες εἶναι, ἐπειδὴ ἡ ἑτερότητα κατεβάζοντας πρὸς τὰ κάτω καὶ μεριζόμενη πληθύνεται σὲ ὁρατὰ δημιουργήματα στὶς κατώτερες καὶ ἔσχατες ἐκδηλώσεις τοῦ θείου θελήματος. Ἀνομοιότητες πάλι λέγονται, ἐπειδὴ αὐτὸ ποὺ γίνεται εἶναι διάφορο ἀπὸ αὐτὸ ποὺ τὸ δημιούργησε σὲ ὅλα, κι ὄχι ὅμοιο μ' αὐτό. Κοινωνίες εἶναι οἱ κράσεις τῶν ἐναντίων στοιχείων· γιατὶ ἀπὸ τὰ τέσσερα στοιχεῖα ἀποτελοῦνται ὅλα τὰ σώματα. Ἀλληλουχίες εἶναι οἱ κατὰ κατάβαση κατατάξεις ἐκείνων ποὺ συστοιχοῦν ἀπὸ τοὺς δύο κόσμους τὸν ὁρατὸ καὶ τὸν νοητὸ ἀπὸ μία οὐσία καὶ ὕλη, πολλαπλασιασμένες σὲ συγκροτημένα σώματα, ποὺ κατὰ κάποιο τρόπο ἔχονται (πιάνονται) σὲ μιὰ σειρὰ ἢ μία ἀπὸ τὴν ἄλλη (ἀλληλο–ἔχονται–ἀλληλουχίαι). Ἀσυμμιξίες τέλος τῶν ἑνωμένων εἶναι, ὅπως στὴν κοινότητα τοῦ ἀνθρώπινου γένους καὶ τοῦ κάθε ἀνθρώπου χωριστά· γιατὶ μὲ τὸν κοινὸ λόγο τῆς οὐσίας εἴμαστε ὅλοι ἑνωμένοι, μὲ τὴ χωριστὴ ὅμως ἰδιότητα κι ἑτοιμότητά του ὁ καθένας μας ἔχομε τὸ ἀσύμμικτο.

Αἱ στάσεις πᾶσαι: Στάσεις καὶ κινήσεις λέγει τρεῖς, ἃς καὶ καταλέγει, νοῶν καὶ ψυχῶν, καὶ σωμάτων· δεῖ τοίνυν προσφόρως νοεῖν. Οἱ μὲν οὖν νόες ἵστανται καὶ κινοῦνται, ὡς Ἠσαΐας φησὶ καὶ Ἰεζεκιὴλ περὶ τῶν σεραφὶμ καὶ χερουβίμ· ἐπειδὴ αὐτοί εἰσιν οἱ ἀναβαίνοντες καὶ καταβαίνοντες, ὥς φησι Μωϋσῆς· τὸ μὲν γὰρ ἐπεστράφθαι ἀλήκτως ἐπὶ τὸν Θεὸν καὶ ἱδρῦσθαι ἐν τῇ πρὸς αὐτὸν ἀνατάσει, κἂν ἀποστέλλοιντο καὶ καταβαίνοιεν ἐπὶ τὰ ὑποβεβηκότα, προνοίας χάριν τῶν ὠφεληθησομένων, τοῦτό ἐστι τὸ ἑστάναι βεβαίως ἐν τῇ πρὸς Θεὸν ἐγγίσει, καὶ κινεῖσθαι εἰς τὰς περὶ τοὺς εὐεργετουμένους διακονίας· κινοῦνται δὲ ἐν τῷ νοεῖν τὰ ὑπερβεβηκότα, καὶ ἑστᾶσιν ἐν τῷ νοεῖσθαι παρὰ τῶν καταδεεστέρων, ὡς νοητά, μένοντα ἐν τῇ οἰκείᾳ ταυτότητι· φρουραὶ γάρ εἰσι ἑαυτῶν καὶ μοναί, καὶ εἰς ἑαυτὰ οἰκειοῦνται, καὶ ἐφ' ἑαυτὰ συνεστραμμένα, καὶ ἀσκέδαστα ἐπὶ τὰ ἀλλότρια τῆς θεοσεβείας. Καὶ γοῦν πάντα τὰ καταδεέστερα ἐπέστραπται ἐπὶ τὰ ὑπερβεβηκότα. Αἱ δὲ κινήσεις τῶν νοῶν καὶ ψυχῶν τροχοειδεῖς εἰσι καὶ κυκλικαί, ὡς καὶ Ἰεζεκιήλ φησιν, ἐπείπερ ἐξ ἑαυτῶν προΐασι, καὶ εἰς ἑαυτὰ ἐπαναστρέφουσιν ἀνεξόδευτα ἑαυτῶν. Καὶ ταῦτα μὲν ἐπὶ τῶν ἀσωμάτων· στάσις δὲ καὶ κίνησις ἐπὶ τῶν σωμάτων νοηθήσεται, μενούσης μὲν τῆς ὕλης ἐν ὑποκειμένῳ, κινουμένης δὲ εἰς τὰς τῶν γινομένων ἐξ αὐτῆς τροπὰς καὶ μεταλλαγὰς σωμάτων ἐμψύχων τε καὶ ἀψύχων.

Κυκλικῶς μέν: Σημείωσαι, πῶς κινοῦνται τὰ οὐράνια κυκλικῶς, καὶ κατ' εὐθεῖαν καὶ ἑλικοειδῶς, καὶ πῶς νοεῖται ψυχῆς ἑλικοειδὴς κίνησις.

Οἱ θεῖοι νόες κινοῦνται.

ἢ κυκλικῶς, ἢ κατ' εὐθεῖαν, ἢ ἑλικοειδῶς.

Ψυχῆς δὲ κίνησις: Ἐπειδὴ καί, ὡς ἄνω προεγράψαμεν, νοερὰ μέν εἰσι τὰ νοοῦντα, νοητὰ δὲ τὰ νοούμενα, τροφὴ δὲ τῶν νοερῶν τὰ νοητά, εἰκότως οὖν ἐπὶ ψυχῆς νοερᾶς φησι δυνάμεις

Αἱ στάσεις πᾶσαι: Ὁρίζει τρεῖς στάσεις καὶ κινήσεις ποὺ τὶς κατανέμει σὲ στάσεις καὶ κινήσεις νόων, ψυχῶν καὶ σωμάτων (διανοητικές, ψυχικές, σωματικές). Οἱ νόες λοιπὸν στέκονται καὶ κινοῦνται, ὅπως λέει ὁ Ἡσαΐας καὶ ὁ Ἰεζεκιὴλ γιὰ τὰ σεραφὶμ καὶ χερουβίμ, ἐπειδὴ αὐτοὶ εἶναι ποὺ ἀνεβαίνουν καὶ κατεβαίνουν, ὅπως λέει ὁ Μωυσῆς. Γιατὶ τὸ νὰ κατευθύνονται ἀδιάλειπτα πρὸς τὸν Θεὸ καὶ νὰ μένουν σταθεροὶ στὴν ἀνάτασή τους πρὸς αὐτὸν ἀκόμα κι ἂν ἀποστέλλονταν καὶ κατέβαιναν στὰ κατώτερα γιὰ χάρη τῆς πρόνοιας ἐκείνων ποὺ θὰ ὠφεληθοῦν, αὐτὸ εἶναι ἡ ἀκλόνητη σταθερότητά τους στὸ πλησίασμά τους στὸν Θεὸ καὶ ἡ κίνησή τους στὶς διακονίες αὐτῶν ποὺ εὐεργετοῦνται. Καὶ κινοῦνται μὲ τὸ νὰ νοοῦν τὰ ἀνώτερά τους καὶ στέκονται μὲ τὸ νὰ νοοοῦνται ἀπὸ τὰ κατώτερα ὡς νοητά, μένοντας στὴν οἰκεία ταυτότητα. Γιατὶ εἶναι φρουρὲς τοῦ ἑαυτοῦ τους καὶ παραμονὲς καὶ μ' αὐτὰ τὰ ἴδια οἰκειώνονται καὶ σ' αὐτὰ τὰ ἴδια στρέφονται καὶ δὲν διαμοιράζονται στ' ἀλλότρια τῆς εὐσέβειας. Καὶ βέβαια ὅλα τὰ κατώτερα στρέφονται πρὸς τὰ ἀνώτερά τους. Οἱ κινήσεις ὅμως τῶν νόων καὶ τῶν ψυχῶν εἶναι τροχοειδεῖς καὶ κυκλικές, ὅπως λέει καὶ ὁ Ἰεζεκιήλ, ἐπειδὴ ἀπὸ τὸν ἑαυτό του, ξεκινοῦν καὶ στὸν ἑαυτό τους ἐπιστρέφουν πάλι, χωρὶς νὰ βγοῦν ἀπὸ τὸν ἑαυτό τους. Καὶ αὐτὰ ὡς πρὸς τὰ ἀσώματα. Στάση τώρα καὶ κίνηση τῶν σωμάτων θὰ νοηθεῖ μὲ τὴν ἔννοια, ὅτι ἡ ὕλη μένει στὸ ὑποκείμενό της καὶ ὅτι κινεῖται στὶς μεταβολὲς ποὺ γίνονται ἀπὸ αὐτὴν καὶ στὶς μεταλλαγὲς σωμάτων ἔμψυχων καὶ ἄψυχων.

Κυκλικῶς μέν: Σημείωσε, πῶς τὰ οὐράνια κινοῦνται κυκλικά, κατὰ εὐθείαν, καὶ ἑλικοειδῶς, καὶ πῶς ἐννοεῖται ἡ ἑλικοειδὴς κίνηση τῆς ψυχῆς.

Οἱ θεῖοι νόες κινοῦνται

ἢ κυκλικά, ἢ κατὰ εὐθεία, ἢ ἑλικοειδῶς.

Ψυχῆς δὲ κίνησις: Ἐπειδή, ὅπως γράψαμε καὶ πιὸ πάνω, νοερὰ εἶναι τὰ νοοῦντα καὶ νοητὰ τὰ νοούμενα, καὶ τὰ νοητὰ εἶναι τροφὴ τῶν νοερῶν, εἶναι εὔλογο νὰ λέει γιὰ νοερὲς δυνά-

αὐτῆς, ὡς μόνον νοούσης τὰ ὑπερβεβηκότα· αὕτη γὰρ ὑπ᾽ οὐδενὸς νοεῖται, καὶ πάντων τῶν νοητῶν ἐσχάτη ἐστί. Δυνάμεις δέ εἰσι ψυχῆς αἱ πρὸς τὰς αἰσθήσεις ἐπιτηδειότητες.

Ἑλικοειδῶς: Ὁρᾷς ἐντεῦθεν, πόση διαφορὰ ψυχῆς πρὸς τὰ νοητά· τὰ μὲν γὰρ νοερῶς καὶ ἑνιαίως, τουτέστι κατὰ ἀθρόαν ἐπιβολήν, νοεῖ τὰς ὑπερκειμένας θείας ἐλλάμψεις, κατὰ τὸ αὐτῶν μέτρον ἀποκαλυπτομένας, ἡ δὲ ψυχὴ λογικῶς καὶ διεξοδικῶς, τουτέστιν εἰς μερικὰ μεριζομένη, καὶ ἐκ μετοχῆς διδασκομένη· ὁ γὰρ νοῦς, εἰς λογισμοὺς κατιών, οἱονεὶ μερίζεται καὶ δέεται τοῦ διὰ πλειόνων παραδειγμάτων διεξοδεύοντος λόγου πρὸς παράτασιν τοῦ νοουμένου, τὸ ὑπεραναβεβηκός. Συμμίκτως οὖν ἐνεργεῖ ἡ ψυχὴ καὶ μεταβατικῶς, ὅτε καὶ νοεῖ· τοῦτο γὰρ οἰκεῖον ψυχῆς, καὶ ὅτε ἔξωθεν ἐπὶ τὰ ὑψηλότερα χειραγωγεῖται· ἐκ γὰρ τῶν ἀλλοτρίων ἀναβαίνει.

Αἱ ψυχαὶ αἱ λογικαὶ κινοῦνται

ἢ κυκλικῶς, ἢ ἑλικοειδῶς, ἢ κατ᾽ εὐθεῖαν.

Τούτων οὖν καὶ τῶν αἰσθητῶν: Ὅρα, ὅτι καὶ τῶν αἰσθητῶν τρεῖς φησιν εἶναι τὰς κινήσεις· τὴν κυκλοειδῆ καὶ τὴν ἑλικοειδῆ καὶ τὴν κατ᾽ εὐθεῖαν· προαγόμεθα δὲ ταύτας νοεῖν ἐκ τῶν περὶ ψυχῆς εἰρημένων· κυκλικὴν μὲν αὐτήν, ὅταν τὰ αἰσθητὰ αὐτὰ κατὰ τὰς οἰκείας δυνάμεις καὶ ποιότητας ἐνεργῇ, οἷον πῦρ θερμαῖνον, καὶ ὕδωρ ψῦχον, καὶ τὰ ἑξῆς ὁμοίως· ἑλικοειδῶς δέ, ὅταν μεταβατικῶς ἐνεργῇ, οἷον ἐξ ὑδάτων ἰχθύες καὶ πετεινὰ καὶ ἡ ῥάβδος Μωϋσέως εἰς ὄφιν καὶ τὰ τοιαῦτα· κατ᾽ εὐθεῖαν δέ, ὅταν αὖθις εἰς τὰς οἰκείας ἀνατρέχῃ, οἷον ὅταν μετὰ διάλυσιν τῶν γινομένων πάλιν εἰς τὰ στοιχεῖα τὰ φθειρόμενα ἀναλύηται.

Καὶ κίνησιν: Κίνησιν ἄν τις προαχθείη νοῆσαι τῶν αἰσθη-

μεις σχετικὰ μὲ τὴν ψυχή, ἐπειδὴ μόνο τὰ ἀνώτερά της νοεῖ. Γιατὶ αὐτὴ δὲν νοεῖται ἀπὸ κανένα καὶ εἶναι ἔσχατη ἀπὸ ὅλα τὰ νοητά. Δυνάμεις τῆς ψυχῆς εἶναι οἱ ἱκανότητές της ποὺ ἐκδηλώνονται στὴ λειτουργία τῶν αἰσθήσεων.

Ἑλικοειδῶς: Βλέπεις ἐδῶ, πόση εἶναι ἡ διαφορὰ τῆς ψυχῆς πρὸς τὰ νοητά. Τὰ νοητὰ δηλαδὴ νοοῦν τοὺς ὑπερκείμενους θείους φωτισμοὺς νοερὰ καὶ ἑνιαῖα, δηλαδὴ μὲ μιὰ προσέγγιση συνολικὴ καὶ ἄμεση ποὺ τοὺς ἀποκαλύπτονται σύμφωνα μὲ τὴ δεκτικότητά τους, ἐνῶ ἡ ψυχὴ νοεῖ λογικὰ καὶ μὲ λεπτομερὴ πραγμάτευση, δηλαδὴ χωρίζεται στὰ ἐπιμέρους καὶ διδάσκεται ἀπὸ μετοχές. Γιατὶ ὁ νοῦς, κατεβαίνοντας σὲ συλλογισμούς, κατὰ κάποιο τρόπο διαιρεῖται καὶ ἔχει ἀνάγκη ἀπὸ λεπτομερειακὴ ἀνάπτυξη γιὰ νὰ παραστήσει αὐτὸ ποὺ νοεῖ, ποὺ εἶναι ὑψωμένο πολὺ ἐπάνω. Ἡ ψυχὴ λοιπὸν ὅταν νοεῖ ἐνεργεῖ σύμμικτα καὶ μεταβατικά. Αὐτὸς εἶναι ὁ οἰκεῖος τρόπος τῆς ψυχῆς καὶ ὅταν ἀπὸ τὰ ἔξω χειραγωγεῖται πρὸς τὰ ὑψηλά· γιατὶ ἀπὸ τὰ ἀλλότρια ἀνεβαίνει.

Οἱ λογικὲς ψυχὲς κινοῦνται

ἢ κυκλικά, ἢ ἑλικοειδῶς, ἢ κατὰ εὐθεία.

Τούτων οὖν, καὶ τῶν αἰσθητῶν: Πρόσεχε, ὅτι καὶ τῶν αἰσθητῶν οἱ κινήσεις λέει πὼς εἶναι τρεῖς· ἡ κυκλική, ἡ ἑλικοειδὴς (σπειροειδής), καὶ ἡ κατὰ εὐθεία γραμμή. Ὁδηγούμαστε στὸ νὰ σκεφτοῦμε αὐτὲς τὶς κινήσεις ἀπὸ ὅσα εἴπαμε γιὰ τὴν ψυχή: Τὴν κυκλική, ὅταν τὰ αἰσθητὰ ἐνεργοῦν σύμφωνα μὲ τὶς δυνάμεις καὶ τὶς ποιότητές τους, ὅπως γιὰ παράδειγμα ἡ φωτιὰ ποὺ θερμαίνει καὶ τὸ νερὸ ποὺ δροσίζει καὶ τὰ ἑξῆς ὅμοια· τὴν ἑλικοειδή, ὅταν ἐνεργεῖ μεταβατικά, ὅπως γιὰ παράδειγμα τὰ ψάρια καὶ τὰ πτηνὰ ἀπὸ τὰ νερὰ καὶ ἀπὸ τὸ ραβδὶ τοῦ Μωυσῆ τὸ φίδι καὶ τὰ ὅμοια· τὴν κατὰ εὐθεία γραμμή, ὅταν ἐπανέρχονται πάλι στὴν οἰκεία ἀρχή τους, ὅπως γιὰ παράδειγμα ὅταν μετὰ τὴ διάλυση ὅσων γίνονται διαλύεται πάλι στὰ στοιχεῖα ποὺ φθείρονται.

Καὶ κίνησιν: Κίνηση θὰ φθάσει κάποιος νὰ ἐννοήσει τὴν

τῶν τὴν ἀλλοίωσιν καὶ τὴν φθοράν· ἐξ οὗ γὰρ ἡ στάσις, τούτων σημαίνει τὴν γένεσιν, πρόδηλον ὡς ἡ κίνησις τὸ ἐναντίον ἐμφαίνει· σημείωσαι οὖν, ὅτι καὶ τὰ ἀλλοιούμενα καὶ τὰ φθειρόμενα ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ὁρᾷ.

Δι' οὗ πᾶσα στάσις: Δι' οὗ ἀγαθὸν καὶ καλὸν δηλονότι.

Πᾶν ἓν καὶ πλῆθος. Πῶς νοηθήσεται τὸ πᾶν ἓν καὶ πλῆθος; Ὑπόθου τὸν πάντα κόσμον φυτὸν μέγα, καθ' ὅλα τὰ μέρη αὐτοῦ τὰ ἔμψυχα ζῶν τρόπον τινά, οἷον πρέμνα καὶ στελέχη, καὶ τῶν μερῶν τὰ μέρη, οἷον κλάδους, ἀκρέμονάς τε καὶ φύλλα· εἰ γάρ μοι τούτων ἕκαστον οἷον αὐτοτελὲς ζῶον ὑπολάβοις, τηροῦν δὲ τὴν ἐν τῷ ὅλῳ ἕνωσίν τε καὶ τάξιν, καθ' ἣν αὐτό δε τὸ δένδρον ζῇ καθ' ἑαυτό, καὶ μετὰ τῶν αὐτοῦ μερῶν· ὡς ἔστι ζῆν, τὰ μὲν νοερὰ νοερῶς τε καὶ λογικῶς, τὰ δὲ ἄλογα αἰσθητικῶς, τὰ δὲ ἄψυχα καὶ ἄπνοα φυτικῶς τε καὶ ἑκτικῶς, καὶ ζῶν καθ' ἑαυτό, ὡς ἔφην ἕκαστον ζῆν καὶ μετὰ τοῦ ὅλου κινητικῶς τὰ μέρη μετὰ τῶν καθολικῶν, γνώσῃ τοῦ παντὸς τὴν εἰς τὸ ἓν συμφυΐαν τε καὶ σύζησιν, καὶ τὴν εἰς τὸ πλῆθος, ὡς ἑκάστου προσφόρως τε καὶ ἰδίως ζῶντος, ὡς ἔφημεν. Καὶ πάλιν εἰ ἐξ ἑνὸς καὶ μόνου Θεοῦ τὰ πάντα, εἰκότως καὶ ἓν λέγονται διὰ τὴν σύνδεσιν καὶ ἁρμονίαν, καὶ πλῆθος διὰ τὴν πολυείδειαν τῶν καθ' ἕκαστον.

Οἱ ὅροι: Ὅροι εἰσὶν οἱ ἑρμηνευτικοὶ λόγοι τῆς οὐσίας ἑκάστου τῶν πραγμάτων, καὶ τοῦ γένους, καὶ τῆς διαφορᾶς, καὶ τὸ τί ἐστι δηλοῦντες.

Ἀρχὴ παραδειγματική: Παραδειγματικὸν αἴτιον, ἤτοι ἀρχή ἐστιν τοῦ πρὸς ὃ γίνεται τὸ γινόμενον· τοῦτο δέ ἐστιν ἡ ἰδέα, ἥτις ἐστὶ νόησις αὐτοτελής, ἀΐδιος τοῦ ἀϊδίου Θεοῦ, ἢ παράδειγμα αἰώνιον ἐνεστὼς τῇ φύσει, πρὸς ὃ γίνεται τὰ γινόμενα· ἀσώματοι γὰρ αἱ ἰδέαι καὶ τὰ παραδείγματα· τελικὸν δὲ αἴτιον, ἤτοι

ἀλλοίωση καὶ τὴ φθορὰ τῶν αἰσθητῶν. Ἀφοῦ δηλαδὴ ἡ στάση δηλώνει τὴ γένεσή τους, εἶναι ὁλοφάνερο ὅτι ἡ κίνηση δηλώνει τὸ ἀντίθετο. Σημείωσε λοιπόν, ὅτι καὶ ὅσα μεταβάλλονται καὶ φθείρονται ἀπὸ αὐτὸν καὶ μέσω αὐτοῦ καὶ σ' αὐτὸν ἀτενίζουν.

Δι' οὗ πᾶσα στάσις: Ἀπὸ τὸν ὅποιο δηλαδὴ προέρχεται κάθε ἀγαθὸ κι ὡραῖο.

Πᾶν ἓν καὶ πλῆθος: Πῶς θὰ ἐννοήσομε τὸ 'ὅλο ἕνα' καὶ 'πλῆθος'; Φαντάσου ὅλο τὸν κόσμο σὰν ἕνα μεγάλο φυτὸ ποὺ εἶναι ζωντανὸ κατὰ κάποιο τρόπο σὲ ὅλα τὰ ἔμψυχα μέρη του, ὅπως ὁ κορμὸς καὶ οἱ κλάδοι καὶ τὰ μέρη τῶν μερῶν, ὅπως οἱ κλῶνοι καὶ οἱ κορυφὲς καὶ τὰ φύλλα. Ἂν καθένα ἀπὸ αὐτὰ τὰ θεωρήσεις σὰν ἕνα αὐτοτελὲς ζῶο, ποὺ τηρεῖ ὅμως τὴν ἁρμονικὴ ἕνωσή του καὶ τάξη μὲ τὸ ὅλο, μέσα στὴν ὁποία καὶ τὸ ἴδιο τὸ δέντρο ζεῖ τὴ ζωή του καὶ μαζὶ μὲ τὰ μέρη του, ὅπως μποροῦν νὰ ζοῦν τὰ νοερὰ μὲ τρόπο νοερὸ καὶ λογικό, τὰ ἄλογα μὲ τὴν αἴσθηση, καὶ τὰ ἄψυχα καὶ ἄπνοα μὲ τὶς φυσικὲς ἰδιότητές τους, καὶ τὸ καθένα ἀπὸ αὐτὰ ζεῖ καθεαυτό, ὅπως εἶπα, πὼς ζεῖ καθένα, καὶ τὰ μέρη παρακολουθοῦν τὴν κίνηση τοῦ συνόλου, θὰ ἐννοήσεις τὴ συνένωση καὶ τὴ συμβίωση τοῦ παντὸς μέσα στὸ ἕνα καὶ μέσα στὸ πλῆθος, ὅπως τὸ καθένα κατάλληλα καὶ χωριστὰ ζεῖ, ὅπως εἴπαμε. Καὶ πάλι, ἂν ὅλα προέρχονται ἀπὸ ἕνα καὶ μοναδικὸ Θεό, εὔλογα καὶ ἕνα λέγονται ἐξαιτίας τῆς σύνδεσης καὶ τῆς ἁρμονικῆς λειτουργίας τους, καὶ πλῆθος ἐξαιτίας τῆς πολλαπλότητας τῶν ἐπιμέρους.

Οἱ ὅροι: Ὅροι εἶναι οἱ λόγοι ποὺ ἑρμηνεύουν τὴν οὐσία καθενὸς πράγματος, δηλώνοντας τὸ γένος, τὴν εἰδοποιὸ διαφορὰ καὶ τὸ τί εἶναι τὸ καθένα.

Ἀρχὴ παραδειγματική: Παραδειγματικὸ αἴτιο ἢ ἀρχὴ εἶναι αὐτὸ σύμφωνα μὲ τὸ ὁποῖο διαμορφώνεται αὐτὸ ποὺ γίνεται. Κι αὐτὸ εἶναι ἢ μιὰ ἰδέα, ποὺ εἶναι μιὰ νόηση αὐτοτελής, ἀίδια τοῦ ἀιδίου Θεοῦ, ἢ ἕνα παράδειγμα αἰώνιο ποὺ ἐνυπάρχει στὴ φύση, σύμφωνα μὲ τὸ ὁποῖο γίνονται ὅσα γίνονται. Γιατὶ οἱ ἰδέες καὶ τὰ παραδείγματα εἶναι ἀσώματα. Τελικὸ αἴτιο, ἢ

ἀρχή ἐστιν, τὸ οὗ ἕνεκα τὸ γινόμενον τελειοῦται, ἢ τελικὸν αἴτιόν ἐστιν, ὃ ἀχώριστόν ἐστι τοῦ ἀποτελέσματος, ἢ ἐξ οὗ ἐνυπάρχοντος γίνεται τὸ γινόμενον, ὡς ἡ τῶν ὅλων ὕλη· ὁ δὲ Θεὸς καὶ ταύτην παρήγαγε· ποιητικὸν δὲ αἴτιόν ἐστι τὸ κεχωρισμένον τοῦ ἀποτελέσματος, ὡς ὁ Θεός, καὶ πᾶς ὑφ' οὗ γίνεται τὸ γινόμενον.

Καὶ πάντα τὰ οὐκ ὄντα: Πῶς τὰ μὴ ὄντα ἐν τῷ ἀγαθῷ οὕτω νόησον· ἐπειδὴ αἱ στερήσεις ἐν αὐτῷ εἰσιν ὑπερουσίως· οὔτε γὰρ ἂν εἴποιμι οὐσίαν τὴν στέρησιν, οἷον ἄναρχος, ἄφθαρτος, ἀθάνατος καὶ ὅσα τοιαῦτά ἐστι· καὶ γὰρ οὐκ ἔστι ταῦτα ὁ Θεός, ἐπεὶ καὶ πρὸ τούτων ἐστίν· ἐξ αὐτοῦ γὰρ ἐγνώσθη, τί ἐστι ταῦτα καὶ γοῦν οὐδὲ τί οὐκ ἔστιν ὁ Θεός, γινώσκομεν, ἢ πῶς ἄρρητος καὶ ἀκατάληπτος· οὐ γὰρ ταῦτα ἀρχὴ αὐτοῦ, ἀλλ' ἐξ αὐτοῦ. Αὐτὸς οὖν καὶ τοῦ μηδενὸς αἴτιος, πάντων αὐτοῦ ὑστέρων ὄντων, κατὰ τὴν τοῦ εἶναι καὶ μὴ εἶναι αἰτίαν· καὶ γὰρ αὐτοῦ τὸ μηδὲν στέρησίς ἐστιν· ἔχει γὰρ τὸ εἶναι διὰ τὸ μηδὲν εἶναι τῶν ὄντων, καὶ μὴ ὢν ἐστι διὰ τὸ εἶναι καὶ ὑπερ εἶναι, πάντα ὡς ποητής, καὶ μηδὲν ὤν, ὡς ὑπερβεβηκώς, μᾶλλον δὲ καὶ ὑπεραναβεβηκὼς καὶ ὑπερούσιος ὤν. Ἀνάγνωθι καὶ ἐν τῷ προτέρῳ φύλλῳ τὴν ἐμὴν παραγραφὴν περὶ τοῦ μὴ ὄντος.

Καὶ τὰ ἥττω τῶν κρειττόνων: Παρέγραψα καὶ ἄνω τὸ ὅμοιον ἐν τῷ πρώτῳ κεφαλαίῳ, ὅτι ἀεὶ τὰ ὑποβεβηκότα ἐπέστραπται πρὸς τὰ ὑπερκείμενα, ὡς ὑπ' ἐκείνων περιεχόμενα καὶ προνοούμενα· κοινωνικῶς δὲ τὰ ὁμόστοιχα τῶν ὁμοταγῶν, καὶ ἁπλῶς πάντα ἀλλήλων καὶ αὐτῶν ἐρᾷ. Ἀλλὰ καὶ ὁ Θεὸς πάντων ἐρᾷ, ἵνα τὰ πάντα ἀγαθὰ ποήσῃ.

Αὐτὸς γὰρ ὁ ἀγαθοεργός: Θαυμαστῶς λέγει, ὅτι ἀγαθὸς ἔρως, ἐν τῷ ἀγαθῷ προϋπάρχων, οὐκ ἔμεινεν ἄγονος, ἀλλ' ἔτεκεν ἡμῖν τὸν ἀγαθὸν ἔρωτα, δι' ὃν τοῦ καλοῦ καὶ ἀγαθοῦ ἐφιέ-

ἀρχή, εἶναι αὐτὸ γιὰ χάρη τοῦ ὁποίου πραγματοποιεῖται αὐτὸ ποὺ γίνεται, ἢ τελικὸ αἴτιο εἶναι αὐτὸ ποὺ δὲν χωρίζεται ἀπὸ τὸ ἀποτέλεσμα, ἢ ἀπὸ αὐτὸ ποὺ ἐνυπάρχει καὶ προέρχεται αὐτὸ ποὺ γίνεται, ὅπως ἡ ὕλη ὅλων, τὴν ὁποία δημιούργησε καὶ αὐτὴν ὁ Θεός. Ποιητικὸ αἴτιο εἶναι τὸ χωρισμένο ἀπὸ τὸ ἀποτέλεσμα, ὅπως ὁ Θεὸς καὶ καθένας ἀπὸ τὸν ὁποῖο δημιουργεῖται κάτι.

Καὶ πάντα τὰ οὐκ ὄντα: Πῶς εἶναι τὰ μὴ ὄντα μέσα στὸ ἀγαθό, ἐννόησέ το ὡς ἑξῆς. Ἐπειδὴ οἱ στερήσεις–ἀρνήσεις σ' αὐτὸ εἶναι ὑπερούσιες, γιατὶ οὔτε θὰ ἔλεγα οὐσία τὴ στέρηση, ὅπως ἄναρχη, ἄφθαρτη, ἀθάνατη καὶ ὅσα εἶναι παρόμοια, καθόσον εἶναι αὐτὰ ὁ Θεός, ἀφοῦ ὑπάρχει καὶ πρὶν ἀπὸ αὐτά. Ἀπὸ αὐτὸν ἔγιναν αὐτὰ γνωστὰ τί εἶναι καὶ ἀσφαλῶς οὔτε γνωρίζομε τί δὲν εἶναι ὁ Θεὸς ἢ πῶς εἶναι ἄρρητος καὶ ἀκατανόητος. Γιατὶ δὲν εἶναι αὐτὰ ἡ ἀρχή του, ἀλλὰ προέρχονται ἀπὸ αὐτόν. Αὐτὸς λοιπὸν εἶναι αἴτιος καὶ τοῦ μηδενός, ἀφοῦ ὅλα εἶναι παραγμένα μετὰ ἀπὸ αὐτόν, σύμφωνα μὲ τὴν αἰτία τοῦ εἶναι καὶ μὴ εἶναι. Γιατὶ τὸ μηδὲν εἶναι στέρηση ἐκείνου. Ἔχει τὸ εἶναι, γιὰ τὸ λόγο ὅτι δὲν εἶναι κανένα ἀπὸ τὰ ὄντα, καὶ εἶναι μὴ ὤν, ἐπειδὴ εἶναι καὶ ὑπερ–εῖναι τὰ πάντα, ἀφοῦ εἶναι τὰ πάντα ὡς δημιουργὸς καὶ ἀφοῦ δὲν εἶναι τίποτε, ἀφοῦ ὑπερβαίνει τὰ πάντα, ἢ καλύτερα ἐπειδὴ εἶναι ἀνώτερος ἀπὸ κάθε ὑπέρβαση καὶ κάθε οὐσία. Διάβασε πιὸ μπροστὰ καὶ τὰ ὅσα πρόσθεσα καὶ εἶπα ἐγὼ γιὰ τὸ μὴ ὄν.

Καὶ τὰ ἥττω τῶν κρειττόνων: Ἀνέφερα καὶ πιὸ πάνω τὸ ὅμοιο στὸ πρῶτο κεφάλαιο, ὅτι πάντοτε τὰ κατώτερα εἶναι στραμμένα πρὸς τὰ ἀνώτερα, γιατὶ τὰ ἀνώτερα τὰ περιέχουν καὶ προνοοῦν γι' αὐτά, καὶ ἀμοιβαῖα τὰ ὁμόστοιχα ἀγαποῦν τὰ ὁμοταγῆ τους, καὶ γενικὰ ἀγαποῦν τὸ ἕνα τὸ ἄλλο καὶ τὸν ἑαυτό τους. Καὶ ὁ Θεὸς ἀγαπᾷ τὰ πάντα, γιὰ νὰ κάνει τὰ πάντα ἀγαθά.

Αὐτὸς γὰρ ὁ ἀγαθοεργός: Εἶναι θαυμάσιο αὐτὸ ποὺ λέει, ὅτι ὁ ἀγαθὸς ἔρωτας, προϋπάρχοντας στὸ ἀγαθό, δὲν ἔμεινε ἄγονος, ἀλλὰ γέννησε μέσα μας τὸν ἀγαθὸ ἔρωτα, χάρη στὸν

μεθα· πρακτικὸν γὰρ καὶ γεννητικὸν τὸ Θεῖον κατὰ τὸ εἰρημένον, «ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι». Σημείωσαι δὲ ἐντεῦθεν κίνησιν θείαν· ὁ γὰρ ἀγαθοεργὸς ἔρως ἐκίνησε τὸ Θεῖον εἰς πρόνοιαν, εἰς σύστασιν ἡμῶν, ἵνα καὶ πρακτικὸν ῆ κονούμενον, καὶ μὴ μείνῃ ἄγονον· ἐκ τούτου νοήσεις καὶ τὸ 'μονάδος μὲν κινηθείσης', καὶ τὰ ἑξῆς εἰρημένα τῷ Θεολόγῳ Γρηγορίῳ ἐν τῷ πρώτῳ περὶ Υἱοῦ.

Γεννητικὴν ὑπερβολήν: Τουτέστι τὴν κτίσιν παρήγαγεν, ὥστε περὶ αὐτὴν τὰ τῆς ἀγαπητῆς ἐπιδείκνυσθαι κινήσεως.

§ 11. Καὶ μή τις ἡμᾶς οἰέσθω: Σημείωσαι, ὅτι οὐ δεῖ τὰ ἀπεμφαίνοντα ὀνόματα λέγειν περὶ Θεοῦ, εἰ μή γε καὶ ἐν θείᾳ ἐμφέροιντο Γραφῇ, ὡς καὶ νῦν περὶ ἔρωτός φησι, καὶ ὅτι οὐ χρὴ προσέχειν λέξεσιν, ἀλλὰ τῇ δυνάμει τοῦ σκοποῦ· θείως γὰρ αὐτὰ διέξεισι.

Δι' ἑτέρων ὁμοδυνάμων: Ὅτι καὶ διὰ τῶν ἰσοδυνάμων οὐ κωλυόμεθα ἐκφωνεῖν τὰς λέξεις. Σημείωσαι ὡς μητρίδα καὶ πατρίδα ταὐτό φησιν.

Δέον εἰδέναι: Διὰ τί συλλαβαῖς καὶ λέξεσι χρώμεθα· σκόπει τὴν ἀνάγνωσιν· ὃ θέλει εἰπεῖν, τοῦτό ἐστιν· Ἡνίκα τὸν προφορικὸν λόγον κινοῦμεν, τοῦτον περί τινος τῶν αἰσθητῶν, τότε λέξεων καὶ συλλαβῶν καὶ στοιχείων καὶ γραφῶν δεόμεθα πρὸς δήλωσιν τοῦ λαλουμένου· εἰ δὲ ἀφ' ἑαυτῆς ἡ ψυχὴ πρὸς τὰ νοητὰ κινεῖται διὰ τῶν ὀρθῶν ἐνεργειῶν, περιτταὶ μετὰ τῶν αἰσθητῶν αἱ αἰσθήσεις· ὑψηλὰ γὰρ φαντάζεται· ὅταν δὲ θεοειδὴς γένηται, προκόπτουσα ταῖς κατὰ μικρὸν ἀνατάσεσι, καὶ δι' ἑνώσεως ἀγνώστου πρὸς τὸ ἀπρόσιτον φῶς τὰς ἐπιβολὰς ἔχῃ, τότε

ὁποῖο ποθοῦμε τὸ ὡραῖο καὶ τὸ ἀγαθό. Γιατὶ τὸ Θεῖο εἶναι πρακτικὸ καὶ γόνιμο, ἐνεργεῖ καὶ γεννᾶ, σύμφωνα μὲ τὸ λόγο· «ὁ Πατέρας μου ἐργάζεται ὣς τώρα, ὅπως κι ἐγὼ ἐργάζομαι»[10]. Σημείωσε ἐδῶ τὴ θεία κίνηση. Ὁ ἀγαθοεργὸς δηλαδὴ ἔρωτας κίνησε τὸ Θεῖο σὲ πρόνοια, σὲ δημιουργία μας, γιὰ νὰ πράττει καὶ νὰ ἐνεργεῖ καὶ νὰ μὴ μείνει ἄγονο. Ἀπὸ αὐτὸ θὰ καταλάβεις καὶ τὸ λόγο τοῦ Γρηγορίου τοῦ Θεολόγου, «Ὅταν ἡ μονάδα κινήθηκε», καὶ τὰ στὴ συνέχεια λεγόμενα στὸν πρῶτο λόγο περὶ τοῦ Υἱοῦ.

Γεννητικὴν ὑπερβολήν: Δηλαδὴ δημιούργησε τὴν κτίση, ὥστε νὰ ἐκδηλώνεται σ' αὐτὴν ἡ κίνηση τῆς ἀγάπης του.

§ 11. Καὶ μή τις ἡμᾶς οἰέσθω: Σημείωσε, ὅτι δὲν πρέπει νὰ λέμε γιὰ τὸν Θεὸ τὰ ὀνόματα ποὺ δὲν τοῦ ταιριάζουν, ἂν βέβαια δὲν ἀναφέρονται καὶ στὴ θεία Γραφή, ὅπως τώρα λέει γιὰ τὸν ἔρωτα, καὶ ὅτι δὲν πρέπει νὰ προσέχομε στὶς λέξεις, ἀλλὰ στὸ νόημα τοῦ σκοποῦ. Γιατὶ αὐτὰ τὰ ἐκθέτει μὲ θεϊκὸ τρόπο καὶ νόημα.

Δι' ἑτέρων ὁμοδυνάμεων: Ὅτι δὲν ἐμποδιζόμαστε νὰ ἐκφραζόμαστε καὶ μὲ συνώνυμες λέξεις. Σημείωσε, ὅπως τὸ μητρίδα καὶ πατρίδα, ποὺ σημαίνουν τὸ ἴδιο.

Δέον εἰδέναι: Γιατί χρησιμοποιοῦμε συλλαβὲς καὶ λέξεις. Διάβασε προσεκτικά. Αὐτὸ ποὺ θέλει νὰ πεῖ εἶναι τοῦτο. Ὅταν χρησιμοποιοῦμε τὸν προφορικὸ λόγο γιὰ κάποιο αἰσθητό, τότε χρειαζόμαστε λέξεις καὶ συλλαβὲς καὶ στοιχεῖα καὶ γραφὲς γιὰ νὰ δηλωθεῖ αὐτὸ ποὺ λέμε. Ἂν ὅμως ἡ ψυχὴ κινεῖται ἀπὸ μόνη της πρὸς τὰ νοητὰ μὲ ὀρθὲς ἐνέργειες, εἶναι μαζὶ μὲ τὰ αἰσθητὰ περιττὲς καὶ οἱ αἰσθήσεις, γιατὶ ἡ φαντασία της κινεῖται στὰ ὑψηλά. Ὅταν τώρα γίνει θεόμορφη, προχωρώντας μὲ βαθμιαῖες ἀνατάσεις καὶ μὲ ἀδιάγνωστη ἕνωση συλλαμβάνει τὸ ἀπρόσιτο φῶς, τότε καὶ οἱ νοητὲς (νοερὲς) ἐνέργειες εἶναι πε-

10. Ἰω. 5,17.

καὶ αἱ νοηταὶ ἐνέργειαι περιτταί εἰσιν, ὡς καὶ αἰσθήσεις, ἐπειδὴ τὰ ὑψηλότερα τούτων ἡ ψυχὴ διανοεῖται, λοιπὸν ἡνωμένη Θεῷ· ὅταν δὲ ὁμοῦ χαμαίζηλα φαντασθῇ καὶ περί τινος τῶν αἰσθητῶν σπεύσῃ κινηθῆναι, τότε τοὺς σαφεστέρους λόγους καὶ τὰ τρανότερα τῶν ὁρατῶν χρὴ ἐπιζητεῖν.

Ὥσπερ καὶ αἱ νοεραὶ δυνάμεις: Σημείωσαι, ὅτι ἕτερον νοῦς καὶ ἕτερον ψυχή. Νοερὰς ἐνεργείας καὶ δυνάμεις φησὶ τὰ νοήσεις, αἵτινες κατώτεραί εἰσι καὶ σκεδασμὸς τοῦ νοῦ. Ὅταν οὖν ἡ ψυχὴ βούληται πρὸς Θεὸν ἀνανεῦσαι καὶ κατὰ τὸ δυνατὸν ἑνωθῆναι αὐτῷ, τὸ ὄμμα αὐτῆς, τουτέστι τὸν νοῦν αὐτὸν ἀποστρέψαι ὀφείλει τῶν μερικῶν, καὶ ἐπὶ τὰ καθολικώτερα ἀναπηδῆσαι· μερικὰ δέ εἰσιν αἱ νοήσεις, ὡς ἔφημεν· τότε γὰρ νοῦς ὅλη γενομένη καὶ εἰς τὸ ἔσω στραφεῖσα, ἑνὰς λοιπὸν καὶ ἁπλότης γενομένη, ἐπιλαβεῖν δυνήσεται ταῖς θείαις ἀκτῖσι, διὰ τῆς ἐπαινετῆς ἀγνωσίας, οὐ τῆς ἐξ ἀμαθείας ἀγνοίας, ἀλλὰ τῆς γινωσκούσης ὅτι ἀγνοεῖ τὰ περὶ Θεοῦ ἀκατάληπτα· γνώσεται δὲ ἀπολαύουσα τῶν θείων μαρμαρυγῶν· οὐ διὰ τῶν αἰσθητῶν ὀμμάτων, οὐ γὰρ καταλαμβάνεται τούτοις, ἀλλὰ ταῖς ἀνομμάτοις τοῦ νοῦ καταστάσεσιν.

Ἐπιδηλότεραι τῶν αἰσθήσεων: Ἐξηγεῖται, τί εἰσιν αἱ ἐπιδηλότεραι τῶν αἰσθήσεων διαπορθμεύσεις, καί φησιν αὐτὰς τοὺς σαφεστέρους λόγους καὶ τὰ τρανέστερα τῶν ὁρατῶν.

§ 12. Καίτοι ἔδοξέ τισιν: Ὅτι καὶ ἡ ἀγάπη ἔρωτα δηλοι, καὶ ὅτι θειότερον ὄνομα τοῦ ἔρωτος.

Ἀκουέτωσαν: Σημείωσαι, ὅτι καὶ τότε ἦσάν τινες ἐπιλαμβανόμενοι ὀνομάτων, οὓς ἐπιστομίζει ἐκ τῆς θείας Γραφῆς.

Ὁ θεῖος Ἰγνάτιος: Καὶ ἐκ τούτου τινὲς οἴονται διαβάλλειν εὐκαίρως τὸ παρὸν σύνταγμα, ὡς μὴ ὂν τοῦ θείου Διονυσίου, ἐπειδὴ Ἰγνάτιον λέγουσι μεταγενέστερον αὐτοῦ εἶναι· πῶς δὲ δύναταί τις τῶν μεταγενεστέρων μεμνῆσθαι; Πλάσμα δὲ καὶ

ριττές, ὅπως καὶ οἱ αἰσθήσεις, ἐπειδὴ ἡ ψυχὴ διανοεῖται τὰ ὑψηλότερά της, ὄντας στὸ ἑξῆς ἑνωμένη μὲ τὸν Θεό. Ὅταν ὅμως φανταστεῖ κάποια χαμαίζηλα καὶ σπεύσει νὰ κινηθεῖ πρὸς κάποιο αἰσθητό, τότε πρέπει νὰ ἐπιζητεῖ τοὺς πιὸ σαφεῖς λόγους καὶ τὰ πιὸ εὐκρινὴ ἀπὸ τὰ ὁρατά.

Ὥσπερ καὶ αἱ νοεραὶ δυνάμεις: Σημείωσε, ὅτι ἄλλο εἶναι ὁ νοῦς καὶ ἄλλο ἡ ψυχή. Νοερὲς ἐνέργειες καὶ δυνάμεις λέει τὶς νοήσεις ποὺ εἶναι κατώτερες καὶ σκορπισμὸς τοῦ νοῦ. Ὅταν λοιπὸν ἡ ψυχὴ θέλει νὰ ὑψωθεῖ πρὸς τὸν Θεὸ καὶ νὰ ἑνωθεῖ μὲ αὐτὸν ὅσο εἶναι δυνατόν, ὀφείλει τὸ μάτι της, δηλαδὴ τὸν ἴδιο τὸ νοῦ της, νὰ τὸν ἀποστρέψει ἀπὸ τὰ μερικὰ καὶ νὰ ὁρμήσει πρὸς τὰ καθολικά. Μερικὰ εἶναι οἱ νοήσεις, ὅπως εἶπα. Τότε δηλαδὴ ἡ ψυχή, ἀφοῦ γίνει ὅλη νοῦς καὶ στραφεῖ πρὸς τὰ μέσα, καὶ γίνει ἔτσι ἕνα (ἑνάδα) καὶ ἁπλὴ (ἁπλότητα), θὰ μπορέσει νὰ συλλάβει τὶς θεῖες ἀκτῖνες, μὲ τὴν ἐπαινετὴ ἀγνωσία, ὄχι τὴν ἄγνοια τῆς ἀμάθειας, ἀλλὰ τῆς ἀγνωσίας ποὺ ξέρει ὅτι ἀγνοεῖ τὰ ἀκατάληπτα ποὺ ἀφοροῦν τὸν Θεό. Καὶ θὰ συνειδητοποιήσει ὅτι ἀπολαμβάνει τὶς θεῖες λάμψεις, ὄχι μὲ τὰ αἰσθητὰ μάτια, γιατὶ δὲ γίνονται ἀντιληπτὲς μὲ τὰ μάτια, ἀλλὰ μὲ τὶς δίχως αἰσθητὰ μάτια λειτουργίες τοῦ νοῦ.

Ἐπιδηλότεραι τῶν αἰσθήσεων: Ἐξηγεῖ τί εἶναι οἱ καθαρότερες μεταβιβάσεις τῶν αἰσθήσεων. Καὶ λέει ὅτι εἶναι οἱ πιὸ σαφεῖς λόγοι καὶ τὰ πιὸ εὐκρινῆ ἀπὸ τὰ ὁρατά.

Καλῶς δυνήσονται: Δηλαδὴ οἱ αἰσθήσεις.

§ 12. Καίτοι ἔδοξέ τισιν: Ὅτι καὶ ἡ ἀγάπη δηλώνει ἔρωτα καὶ ὅτι εἶναι θεϊκότερο τὸ ὄνομα τοῦ ἔρωτα.

Ἀκουέτωσαν: Σημείωσε, ὅτι καὶ τότε ὑπῆρχαν μερικοὶ ποὺ ἀσχολοῦνταν μὲ τὰ ὀνόματα, τοὺς ὁποίους ἀποστομώνει μὲ τὴ θεία Γραφή.

Ὁ θεῖος Ἰγνάτιος: Κι ἀπὸ αὐτὸ νομίζουν μερικοὶ ὅτι ἐπιτυχῶς διαβάλλει τὸ σύγγραμμα τοῦτο, ὅτι δὲν εἶναι τοῦ θείου Διονυσίου, ἐπειδὴ προβάλλουν τὸ ὅτι ὁ Ἰγνάτιος εἶναι μεταγενέστερος, καὶ πῶς μπορεῖ κάποιος νὰ ἀναφέρει τοὺς μεταγενέστε-

τοῦτο δοκοῦν αὐτοῖς· ὁ γὰρ ἅγιος Παῦλος, ὁ φωτίσας Διονύσιον, μεταγενέστερος ἦν τῷ χρόνῳ τοῦ ἁγίου Πέτρου, μεθ' ὃν ὁ Ἰγνάτιος ἐπίσκοπος γίνεται Ἀντιοχείας, μετατεθέντος Πέτρου ἐν Ρώμῃ· ἐπέζησε δὲ ὁ ἅγιος Παῦλος χρόνον πολύν, ὁ φωτίσας Διονύσιον, καὶ Διονύσιος μετ' αὐτὸν ἔζησεν· ὁ δὲ Εὐαγγελιστὴς Ἰωάννης ἐπὶ Δομετιανοῦ ἐξορίζεται εἰς Πάτμον, ᾧ ἀντιγράφει Διονύσιος. Ἰγνάτιος δὲ πρὸ Δομετιανοῦ μαρτυρεῖ· ὥστε προγενέστερος Διονυσίου.

Ὁ ἐμὸς ἔρως: Ζητητέον πῶς ἐπὶ Ὀνησίμου τοῦ μετὰ Τιμόθεον Ἰγνατίου διαλεγομένου, καὶ γράφοντος Ρωμαίοις τό, 'ἐμὸς ἔρως ἐσταύρωται', Διονύσιος νῦν Τιμοθέῳ γράφων τούτου μέμνηται, ὡς Ἰγνατίου ἤδη γράψαντος, καὶ μήποτε παρά τινος τῶν φιλολόγων ἔξω παρατεθέν, πρὸς πλείονα σύστασιν τῶν περὶ θείου ἔρωτος τῷ ἁγίῳ Διονυσίῳ εἰρημένων, ὕστερον κατὰ ααγνοιαν ἔσω παρενετέθη, ὅπερ ἐν πολλοῖς πολλάκις γενόμενον ἔγνωμεν· καὶ γὰρ δίχα τούτου ἵσταται ἀπαραλείπτως τὸ σῶμα τοῦ λόγου· ἢ τάχα σύνηθες αὐτῷ εἶναι ἀπόφθεγμα, ὡς καὶ τὸ θεοφόρος πολλάκις αὐτῷ λεγόμενόν τε καὶ γραφόμενον, τεκμήριον δὲ τὸ μὴ προσκεῖσθαι, Γράφει δέ τισι, τουτέστι Ρωμαίοις, ἀλλ' ἁπλῶς, Γράφει δὲ καὶ ὁ θεῖος Ἰγνάτιος.

Καὶ ἐν ταῖς προεισαγωγαῖς: Ἐπιστητέον, ὅτι προεισαγωγὰς καλεῖ τῆς θείας Γραφῆς τὰ Σολομῶντος, ἀφ' οὗ καὶ τὰ ρητά.

α) Ὅτι ἡ ἀγάπη ἔρωτα δηλοῖ, καὶ ὅτι θειότερον ὄνομα τοῦ ἔρωτος.

ρους; Ἀλλὰ καὶ ἡ γνώμη τους αὐτὴ εἶναι ἀπόρροια φαντασίας. Γιατὶ ὁ ἅγιος Παῦλος, ποὺ φώτισε τὸν Διονύσιο, εἶναι μεταγενέστερος τοῦ ἁγίου Πέτρου, ποὺ ἔπειτα ἀπὸ αὐτὸν ὁ Ἰγνάτιος γίνεται ἐπίσκοπος Ἀντιοχείας, ὅταν ἔφυγε ὁ Πέτρος στὴ Ρώμη. Ἀλλὰ ὁ ἅγιος Παῦλος, ποὺ δίδαξε τὸν Διονύσιο, ἐπέζησε πολὺ χρόνο ἀκόμα καὶ ὁ Διονύσιος ἔζησε ἔπειτα ἀπὸ αὐτόν. Ὁ εὐαγγελιστὴς πάλι Ἰωάννης ἐξορίζεται στὴν Πάτμο ἐπὶ Δομιτιανοῦ, τὸν ὁποῖο Ἰωάννη ἀντιγράφει ὁ Διονύσιος. Ὁ Ἰγνάτιος μαρτυρεῖ πρὶν ἀπὸ τὸν Δομετιανό, ὥστε εἶναι προγενέστερους τοῦ Διονυσίου.

Ὁ ἐμὸς ἔρως: Πρέπει νὰ ἐξεταστεῖ πῶς, ἐνῶ μιλᾶ ὁ Ἰγνάτιος πρὸς τὸν Ὀνήσιμο, ποὺ ἔζησε μετὰ τὸν Τιμόθεο, καὶ γράφει στοὺς Ρωμαίους τὸ «ὁ δικός μου ἔρως ἔχει σταυρωθεῖ», ὁ Διονύσιος γράφοντας τώρα στὸν Τιμόθεο ἀναφέρει αὐτὸ τὸ λόγο σὰν νὰ τὸν ἔχει ἤδη ὁ Ἰγνάτιος γράψει σ' αὐτόν· μήπως δηλαδὴ χρησιμοποιήθηκε σὰν παράθεμα ἔξω ἀπὸ τὸ ἔργο ἀπὸ κάποιον λόγιο γιὰ περισσότερη ἐπιβεβαίωση ὅσων ὁ ἅγιος Διονύσιος ἔγραψε γιὰ τὸν θεῖο ἔρωτα, καὶ ὕστερα ἔγινε παρεμβολή του μέσα στο ἔργο ἀπὸ ἄγνοια, πράγμα ποὺ εἴδαμε νὰ γίνεται ἔπειτα πολλὲς φορὲς ἀπὸ πολλούς. Γιατὶ καὶ χωρὶς αὐτὸ στέκει, χωρὶς νὰ φαίνεται παράλειψη, ὅλος ὁ λόγος. Ἢ ἴσως εἶναι ἕνας συνηθισμένος λόγος του, ὅπως καὶ τὸ 'θεοφόρος' ποὺ τοῦ ἀπονέμεται συχνὰ προφορικὰ καὶ γραπτά, κι ἀπόδειξη τὸ ὅτι δὲν πρόσκειται στ' ὄνομά του εἶνει τὸ ὅτι δὲν λέει, 'Γράφει σὲ κάποιους'[11], δηλαδὴ στοὺς Ρωμαίους, ἀλλὰ ἁπλῶς 'Γράφει καὶ ὁ θεῖος Ἰγνάτιος'.

Καὶ ἐν ταῖς προεισαγωγαῖς: Πρέπει νὰ γνωρίζομε, ὅτι 'προεισαγωγὲς' καλεῖ τὰ ἔργα τοῦ Σολομῶντα ἀπὸ τὴ θεία Γραφή, ἀπὸ ὅπου εἶναι καὶ τὰ ρητά.

α) Ὅτι ἡ ἀγάπη σημαίνει ἔρωτα καὶ ὅτι τὸ ὄνομα ἔρως εἶναι θεϊκότερο.

---

11. Ἴσως ὁ Ἰγνάτιος ὁ θεοφόρος.

β) Τοῖς θείοις μᾶλλον: Διὰ τί τοῖς θείοις μᾶλλον ἀνατιθέασι τὸν ὄντως ἔρωτα οἱ θεολόγοι.

γ) Τὰ πλήθη: Σημείωσαι, ὅτι πρὸς ὃ χωροῦσι τὰ πλήθη, δεῖ καὶ ταῖς λέξεσι χρῆσθαι· λέγει δὲ τί ποιεῖ ὁ ἔρως, καὶ περὶ δύο ἐρώτων, θείου καὶ μεριστοῦ, ἤτοι σωματοπρεποῦς.

δ) Ὡς δυσχερέστερον: Ὡς διαβεβλημένον δηλονότι.

ε) Ἐπέπεσε, τίς φησιν: Ὁ Δαυὶδ λέγει περὶ τοῦ Ἰωνάθαν ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν.

ς) Τάττεται πρὸς τῶν ἱερῶν: Ὅτι τὸ αὐτὸ δύναται ἀγάπη καὶ ἔρως, καὶ τίς ἡ τοῦ ἔρωτος ἐνέργεια.

ζ) Συγκρατικῆς: Τουτέστι συγκιρνώσης τὰ ἐρῶντα πρὸς ἄλληλα.

η) Διὰ τὸ καλόν: Ὅπερ εἶπεν ἄνω, ὅτι ὁ θεῖος ἔρως, προϋπάρχων ἐν τῷ ἀγαθῷ, ἔτεκε τὸν ἐν ἡμῖν ἔρωτα, δι᾽ οὗ τοῦ ἀγαθοῦ ἐφιέμεθα.

§ 13. θ΄. Ἐκστατικός: Περὶ ἐκστάσεως ἐρωτικῆς καὶ ὁ Δαυίδ· «ἐγὼ εἶπον ἐν τῇ ἐκστάσει μου».

Ἐξεστηκώς: Σημείωσαι, πῶς νοεῖται τό, 'ἐξεστηκῶς Θεῷ».

Τολμητέον: Ὅτι καὶ ὁ Θεὸς πάντων ἐρᾷ.

Διὸ καὶ ζηλωτήν: Κατὰ τί λέγεται ζηλωτὴς ὁ Θεός, ὡς ἐραστὴς τῆς πάντων σωτηρίας.

§ 14. Τί δὲ ὅλως: Τῆς μὲν ἀγάπης καὶ τοῦ ἔρωτος αὐτὸν δηλαδὴ τὸν Θεὸν προβολέα φησὶ καὶ γεννήτορα· αὐτὸς γὰρ ταῦτα ἐν ἑαυτῷ ὄντα προήγαγεν εἰς τὰ ἐκτός, τουτέστι τὰ περὶ τὰ κτίσματα, καὶ κατὰ τοῦτο εἴρηται, «ὁ Θεὸς ἀγάπη ἐστί», καὶ ἐν τῷ ᾄσματι ὁμοίως ἀγάπη εἴρηται· καὶ πάλιν γλυκασμὸς καὶ ἐπιθυμία, ὅ ἐστιν ἔρως· τὸ δὲ ἀγαπητὸν καὶ ὄντως ἐραστὸν αὐτός ἐστι. Τῷ μὲν οὖν τὸ ἀγαπητὸν ἔρωτα ἐξ αὐτοῦ προχεῖσθαι,

β) Τοῖς θείοις μᾶλλον: Γιατί οἱ Θεολόγοι ἀναφέρουν τὸ θεῖο ἔρωτα πιὸ πολὺ στὰ θεῖα.

γ) Τὰ πλήθη: Σημείωσε ὅτι ὅσο καταλαβαίνουν τὰ πλήθη πρέπει νὰ εἶναι ἀνάλογες καὶ οἱ λέξεις. Ἐκθέτει τί προκαλεῖ ὁ ἔρωτας, καὶ μιλάει γιὰ δύο ἔρωτες, γιὰ τὸν θεῖο καὶ τὸν μεριστό, δηλαδὴ τὸν σωματικό.

δ) Ὡς δυσχερέστερον: Δηλαδὴ ὡς διαβλητό.

ε) Ἐπέπεσε, τίς φησιν: Τὸ λέει ὁ Δαβὶδ γιὰ τὸν Ἰωνάθαν στὴν πρώτη τῶν Βασιλειῶν.

ς) Τάττεται πρὸς τῶν ἱερῶν: Ὅτι εἶναι ταυτοδύναμα ἡ ἀγάπη καὶ ὁ ἔρωτας, καὶ ποιά εἶναι ἡ ἐνέργεια τοῦ ἔρωτα.

ζ) Συγκρητικῆς: Δηλαδὴ ποὺ σμίγει ὅσα κατέχονται ἀπὸ ἔρωτα τὸ ἕνα πρὸς τὸ ἄλλο.

η) Διὰ τὸ καλόν: Αὐτὸ ποὺ εἶπε πιὸ πάνω, ὅτι δηλαδὴ ὁ θεῖος ἔρωτας προϋπάρχοντας μέσα στὸ ἀγαθό, γέννησε μέσα μας τὸν ἔρωτα, ποὺ μᾶς κάνει νὰ ποθοῦμε τὸ ἀγαθό.

§ 13. θ) Ἐκστατικός: Γιὰ ἔκσταση ἐρωτικὴ μιλάει καὶ ὁ Δαβίδ· «ἐγὼ εἶπα μέσα στὴν ἔκστασή μου»[12].

Ἐξεστηκώς: Σημείωσε, πῶς ἐννοεῖται τό, «αὐτὸς ποὺ ἔπαθε ἔκσταση πρὸς τὸν Θεό».

Τολμητέον: Ὅτι καὶ ὁ Θεὸς νιώθει ἔρωτα πρὸς ὅλα.

Διὸ καὶ ζηλωτήν: Γιατί λέγεται ὁ Θεὸς ζηλωτής· ἐπειδὴ εἶναι ἐραστὴς τῆς σωτηρίας ὅλων.

§ 14. Τί δὲ ὅλως: Λέει δηλαδὴ ὅτι τὴν ἀγάπη καὶ τὸν ἔρωτα τὰ προβάλλει καὶ τὰ γεννᾶ ὁ ἴδιος ὁ Θεός· γιατὶ αὐτὸς τὰ εἶχε μέσα του καὶ τὰ ἔβγαλε πρὸς τὰ ἔξω, ἐννοῶ τὰ δημιουργήματα, καὶ σύμφωνα μ' αὐτὸ εἰπώθηκε, «ὁ Θεὸς εἶναι ἀγάπη»[13]. Καὶ στὸ Ἆσμα ὅμοια εἰπώθηκε ἀγάπη, καὶ πάλι γλυκασμὸς καὶ ἐπιθυμία, πράγμα ποὺ εἶναι ἔρωτας. Καὶ τὸ ἀγαπητὸ καὶ τὸ πραγματικὰ ἐραστὸ εἶναι ὁ Θεός. Ἐπειδὴ δηλαδὴ ὁ ἀγαπητικὸς

12. Ψαλμ. 115,11.
13. Ἰω. 4,16.

αὐτὸς κινεῖσθαι λέγεται ὁ τούτου γεννήτωρ, τῷ δὲ αὐτὸν εἶναι τὸ ἀληθῶς ἐραστὸν καὶ ἀγαπητόν, κινεῖ τὰ πρὸς τοῦτο ὁρῶντα, καὶ οἷς ἡ τοῦ ἐφίεσθαι δύναμις ἀναλόγως αὐτοῖς.

Ἐραστὸν καὶ ἀγαπητόν: Προσαγωγικὸν καὶ κινητικὸν πρὸς ἐρωτικὴν συνάφειαν τὴν ἐν πνεύματι τὸν Θεὸν εἶναί μοι νόει, τουτέστι μεσίτην ταύτης, καὶ πρὸς ἑαυτὸν συναρμοστὴν τοῦ ἐρᾶσθαι αὐτὸν ὑπὸ τῶν αὐτοῦ ποιημάτων καὶ ἀγαπᾶσθαι· κινητικὸν δέ φησιν, ὡς κινοῦντα ἕκαστα, κατὰ τὸν οἰκεῖον λόγον πρὸς αὐτὸν ἐπιστρέφεσθαι. Τὸ δὲ τῆς προαγωγίας ὄνομα, εἰ καὶ παρὰ τοῖς τῶν ἔξωθεν πρᾶγμα σημαίνει οὐκ εὐαγές, ἀλλ' ἐνταῦθα τὴν πρόξενον τῆς ἐν Θεῷ ἑνώσεως μεσιτείαν φησί.

Καὶ τῷ μὲν κινεῖται: Σημείωσαι κίνησιν θείαν, ἐν ᾗ κινεῖται καὶ αὐτοῦ ἐστι προαγωγεὺς καὶ κινητικὸς ὁ Θεός.

Καὶ τῆς ἐξῃρημένης: Ἡ πρὸς Θεὸν ἀγαπητικὴ ἕνωσις πάσης ἐξῄρηται καὶ ὑπέρκειται ἑνώσεως· ἐξῃρημένην οὖν τὴν ἀνωτέραν φησίν, ἄναρχον δὲ καὶ ἀτελεύτητον τὸν θεῖον ἔρωτα λέγει, ὡς ἐκ τοῦ ἀγαθοῦ προϊόντα καὶ πρὸς τὸ ἀγαθὸν ἐπαναστρέφοντα κατὰ σχῆμα κυκλικόν· ἐπεὶ καὶ ἡ τοῦ κύκλου γραμμὴ οὐ γνώριμον ἔχει ὅθεν ἤρξατο καὶ οὗ κατέληξε· καὶ γὰρ ἐξ αὐτοῦ ἡ τοῦ ἀγαθοῦ ἔφεσις, καὶ εἰς αὐτὸν πάλιν ὁρᾷ· ἐν ἑαυτῷ δὲ καί ἐστι καὶ μένει τὸ ἐρᾶν τῆς συμφυοῦς ἀγαθότητος, καὶ τῶν πρὸς τὸ ἀγαθὸν ἀνατεινομένων.

Ἐρωτικὴν κίνησιν: Ὅτι ἡ ἐρωτικὴ κίνησις, τοῦ ἀγαθοῦ προϋπάρχουσα, ἐν τῷ ἀγαθῷ ἁπλῆ καὶ αὐτοκίνητος οὖσα, καὶ ἐκ τοῦ ἀγαθοῦ προϊοῦσα, αὖθις ἐπὶ τὸ αὐτὸ ἐπιστρέφει, ἀτελεύτητος καὶ ἄναρχος οὖσα, ὅπερ δηλοῖ τὴν ἡμῶν ἔφεσιν πρὸς τὸ Θεῖον. Σημείωσαι δέ, ὅτι ἀΐδιον κύκλον προϊὼν φησιν εἶναι ἐν τῷ ἀγαθῷ, προϊόντος μὲν αὐτοῦ ἐπὶ τὰ νοητὰ καὶ αἰσθητά, πάλιν δὲ πρὸς ἑαυτὸν ὑποστρέφοντος καὶ μήτε ἱσταμένου, μήτε λήγοντος.

ἔρωτας ἀναβλύζει ἀπὸ αὐτόν, λέγεται ὅτι κινεῖται ὁ ἴδιος ὁ γεννήτορας τοῦ ἔρωτα. Ἐπειδὴ λοιπὸν αὐτὸς εἶναι τὸ ἀληθινὸ ἐραστὸ καὶ ἀγαπητό, κινεῖ ὅσα ἀτενίζουν σ' αὐτόν, τῶν ὁποίων βέβαια ἡ δύναμη τοῦ πόθου τους εἶναι ἀνάλογη στὸ καθένα ἀπὸ αὐτά.

Ἐραστὸν καὶ ἀγηπητόν: Αὐτὸς ποὺ ὁδηγεῖ καὶ κινεῖ σ' ἐρωτικὴ πνευματικὴ συνάφεια σκέψου ὅτι εἶναι ὁ Θεός· αὐτὸς δηλαδὴ εἶναι ὁ μεσολαβητὴς κι αὐτὸς ποὺ συνδέει μὲ τὸν ἑαυτό του τὸν ἔρωτα καὶ τὴν ἀγάπη πρὸς αὐτὸν τῶν δημιουργημάτων του. 'Κινητικὸ' τὸν λέει, ἐπειδὴ κινεῖ τὰ πάντα νὰ στραφοῦν πρὸς αὐτὸν σύμφωνα μὲ τὸ λόγο τῆς ὕπαρξής τους. Τὸ ὄνομα τῆς 'προαγωγίας', ἂν καὶ στὸν κόσμο δὲν σημαίνει κάτι τὸ σεμνό, ἐδῶ ὅμως δηλώνει τὴ μεσίτευση ποὺ συντελεῖ στὴν ἕνωση μὲ τὸν Θεό.

Καὶ τῷ μὲν κινεῖται: Σημείωσε κίνηση θεία, μὲ τὴν ὁποία κινεῖται, καὶ αὐτοῦ προαγωγέας καὶ κινητικὸς εἶναι ὁ Θεός.

Καὶ τῆς ἐξῃρημένης: Ἡ ἀγαπητικὴ ἕνωση μὲ τὸν Θεὸ εἶναι ἔξω καὶ πάνω ἀπὸ κάθε ἕνωση. 'Ἐξῃρημένη' λοιπὸν λέει τὴν ἀνώτερη. Τὸν θεῖο ἔρωτα τὸν λέει ἄναρχο καὶ ἀτελεύτητο, ἐπειδὴ προέρχεται ἀπὸ τὸ ἀγαθὸ κι ἐπανέρχεται στὸ ἀγαθὸ σύμφωνα μὲ κυκλικὸ σχῆμα. Γιατὶ καὶ ἡ γραμμὴ τοῦ κύκλου δὲν μπορεῖς νὰ γνωρίσεις ἀπὸ ποῦ ἄρχισε καὶ ποῦ ἔχει καταλήξει· καθόσον ἀπὸ αὐτὸν ξεκινᾶ ἡ ἔφεση τοῦ ἀγαθοῦ καὶ σ' αὐτὸν πάλι βλέπει. Καὶ ὁ ἔρωτας τῆς σύμφυτης ἀγαθότητας καὶ ὅσων ὑψώνονται πρὸς τὸ ἀγαθὸ εἶναι καὶ μένει μέσα στὸν ἑαυτό του.

Ἐρωτικὴν κίνησιν: Ὅτι ἡ ἐρωτικὴ κίνηση, ποὺ προϋπάρχει ἀπὸ τὸ ἀγαθό, εἶναι μέσα στὸ ἀγαθὸ ἁπλὴ καὶ μὲ δική της κίνηση, καὶ ἀπὸ τὸ ἀγαθὸ προχωρώντας ἐπιστρέφει πάλι σ' αὐτό, καθὼς εἶναι χωρὶς τέλος καὶ χωρὶς ἀρχή, πράγμα ποὺ δηλώνει τὴν ἔφεσή μας πρὸς τὸ Θεῖο. Σημείωσε, ὅτι παρακάτω λέει πὼς μέσα στὸ ἀγαθὸ ὑπάρχει ἀέναος κύκλος, ποὺ προχωρεῖ στὰ νοητὰ καὶ αἰσθητά, ἐπιστρέφει πάλι στὸν ἑαυτό του, καὶ οὔτε σταματᾶ οὔτε παύει.

Ἐκ τοῦ ἁγίου Ἱεροθέου.

§ 15. α. Τὸν ἔρωτα: Ἐπίστησον, ὅπως μέγας Ἱερόθεος τὰ περὶ τοῦ ἐπαινετοῦ ἔρωτος ἄριστα φιλοσοφεῖ· πρῶτον μὲν θεῖον αὐτὸν λέγων, ἐπειδὴ καὶ πρῶτον αἴτιον τοῦ οὐρανίου ἔρωτος ὁ Θεός ἐστιν ἐξῃρημένως καὶ ἀναιτίως· εἰ γὰρ ὁ ἔρως αὐτός ἐστιν ἡ ἀγάπη, ὡς προείρηται, γέγραπται δέ, ὅτι «Θεὸς ἀγάπη ἐστί», δῆλον ὅτι πάντων ἑνοποιὸς ἔρως, ἤτοι ἀγάπη, ὁ Θεός ἐστιν. Ἐκεῖθεν οὖν μεταβατικῶς πρόεισιν ἐπ' ἀγγέλους, ὅθεν καὶ ἀγγελικὸν αὐτόν φησιν, ἔνθα μάλιστα καὶ τὸν τῆς ἑνότητος εὕροι τις ἂν ἔρωτα θεῖον· οὐδὲν γὰρ ἀσύμφωνον ἢ στασιάζον παρ' αὐτοῖς· εἶτα μετ' ἀγγέλους, καὶ νοερόν φησιν ἔρωτα, τουτέστι παρὰ θεοσόφοις ἀνδράσιν, οἵ εἰσι τῆς Ἐκκλησίας, πρὸς οὓς ὁ Παῦλός φησιν, «ἵνα τὸ αὐτὸ λέγηται», καὶ τὰ ἑξῆς, καὶ ὁ Κύριος, «ἵνα ὦσιν ἕν, καθὼς καὶ ἡμεῖς ἕν ἐσμεν». Καὶ ταῦτα μὲν περὶ τῶν ἐξ ἀληθείας Χριστιανῶν, λοιπὸν δὲ καὶ περὶ πάντων ἀνθρώπων, ἐν οἷς ὁ περὶ φιλίας νόμος· τὰς δὲ λογικὰς ψυχὰς νοερὰς προσεῖπεν ἐκ τοῦ θείου νοῦ προσειπὼν αὐτάς· ψυχικὸν δὲ ἐκάλεσεν ἔρωτα τὸν τῶν ἀλόγων, τὴν αἰσθητικὴν φιλίαν, ἄνουν μέντοι δηλονότι· ἐκ γὰρ τῆς ἐρωτικῆς ταύτης δυνάμεως καὶ πτηνὰ ἀγεληδὸν ἵπτανται, ὡς κύκνοι καὶ χῆνες καὶ γέρανοι καὶ κόρακες καὶ ὅσα τοιαῦτα· καὶ πεζὰ μέντοι εἰσὶ τοιαῦτα, ἔλαφοι, βόες, καὶ τὰ παραπλήσια· καὶ νηκτὰ δέ εἰσιν, ὡς θύννοι καὶ κέφαλοι καὶ ὅσα ὁμοιότροπα. Καὶ τὰ μὴ ἀγελαῖα δὲ πρὸς τὴν τῶν ὁμοστοίχων σύνοδον ἔνθεν κινοῦνται. Φυσικὸν δὲ ἔρωτά φησι τὸν τῶν ἀψύχων καὶ ἀναισθήτων κατὰ τὴν ἑκτικὴν ἐπιτηδειότητα, ἤτοι τῆς ποιότητος, ἐρώντων τοῦ

Ἀπὸ τὸν ἅγιο Ἱερόθεο

§ 15. α. Τὸν ἔρωτα: Μάθε πόσο ἄριστα ὁ μέγας Ἱερόθεος φιλοσοφεῖ τὰ σχετικὰ μὲ τὸν ἐπαινετὸ ἔρωτα. Πρῶτον, τὸν λέει θεῖο, ἐπειδὴ καὶ πρῶτο αἴτιο τοῦ οὐράνιου ἔρωτα εἶναι ὁ Θεὸς ἔξω ἀπὸ σχέση μὲ ἄλλα καὶ χωρὶς αἰτία. Ἂν δηλαδὴ ὁ ἴδιος ὁ ἔρωτας εἶναι ἡ ἀγάπη, ὅπως εἴπαμε προηγουμένως, καὶ ἔχει γραφεῖ ὅτι «ὁ Θεὸς εἶναι ἀγάπη», εἶναι φανερὸ ὅτι ἔρωτας ποὺ ἑνοποιεῖ τὰ πάντα, δηλαδὴ ἡ ἀγάπη, εἶναι ὁ Θεός. Ἀπὸ ἐκεῖ μεταβαίνει καὶ προχωρεῖ στοὺς ἀγγέλους. Γι' αὐτὸ καὶ τὸν λέει ἀγγελικό, ὅπου θὰ βρεῖ κανένας μὲ βεβαιότητα μεγάλη καὶ τὸν θεῖο ἔρωτα τῆς ἑνότητας. Γιατὶ ἀνάμεσά τους δὲν ὑπάρχει τίποτε ποὺ νὰ μὴ συμφωνεῖ καὶ νὰ στασιάζει. Ἔπειτα, μετὰ τοὺς ἀγέλους, λέει τὸν ἔρωτα καὶ νοερό, δηλαδὴ τὸν ἔρωτα τῶν ἀνδρῶν ποὺ διακρίνονται γιὰ τὴ θεία σοφία τους, ποὺ εἶναι οἱ ἄνθρωποι τῆς Ἐκκλησίας, πρὸς τοὺς ὁποίους ὁ Παῦλος λέει, «γιὰ νὰ λέγεται τὸ ἴδιο»[14] καὶ τὰ ἑξῆς. Καὶ ὁ Κύριος λέει· «γιὰ νὰ εἶναι ἕνα, ὅπως εἴμαστε ἕνα κι ἐμεῖς»[15]. Κι αὐτὰ βέβαια γιὰ τοὺς ἀληθινοὺς Χριστιανούς. Ἀπομένει νὰ ποῦμε καὶ γιὰ ὅλους τοὺς ἀνθρώπους, ποὺ ἀνάμεσά τους ἰσχύει ὁ νόμος περὶ φιλίας. Τὶς λογικὲς ψυχὲς τὶς εἶπε καὶ νοερές, καλώντας τις ἔτσι ἀπὸ τὸν θεῖο νοῦ. Ψυχικὸ κάλεσε τὸν ἔρωτα τῶν ἀλόγων ζώων, τὴ φιλία βάση τῶν αἰσθήσεων, ποὺ εἶναι ὅμως προφανῶς δίχως νοῦ. Γιατὶ ἐξαιτίας αὐτῆς τῆς ἐρωτικῆς δύναμης καὶ τὰ φτερωτὰ πετοῦν κοπαδιαστά, ὅπως οἱ κύκνοι, οἱ χῆνες, οἱ γέρανοι, τὰ κοράκια καὶ τὰ ὅμοια. Αὐτὴ ἡ ἐρωτικὴ δύναμη κινεῖ καὶ τὰ πεζά, τὰ ἐλάφια, τὰ βόδια καὶ τὰ παρόμοια. Ἐπίσης καὶ ὅσα κολυμποῦν, ὅπως τόνοι καὶ κέφαλοι και ὅσα παρόμοια. Καὶ ὅσα δὲ ζοῦνε σὲ ἀγέλη ἀπὸ αὐτὸν τὸν ἔρωτα κινοῦνται σὲ συνάντηση τῶν ὁμοίων τους. Φυσικὸ ἔρωτα καλεῖ τὸν ἔρωτα τῶν ἄψυχων καὶ ἀναίσθητων σύμφωνα μὲ τὴν ἱκανότητα τῆς ἕξης τους,

14. Φιλ. 2,2.
15. Ἰω. 17,11.

δημιουργοῦ διὰ τὸ ὑπ' αὐτοῦ συνεστάναι· κατὰ οὖν τὴν ζωτικήν, ἤτοι τὴν φυσικὴν κίνησιν, καὶ αὐτὰ ἐπέστραπται πρὸς τὸν Θεόν.

§ 16. Ἐπειδὴ τοὺς ἐκ τοῦ ἑνός: Καὶ ἄνω εἴπομεν, νοερὰ μὲν εἶναι τὰ νοοῦντα, νοητὰ δὲ τὰ νοούμενα, καὶ ἀζητήτως τὰ νοερὰ ὑπερβαίνεσθαι ὑπὸ τῶν νοητῶν, ὅθεν καὶ τροφὴν εἶναι τῶν νοούντων τὰ νοούμενα· τῶν οὖν νοητῶν τὰ νοερὰ ἐρᾷ, ὡς ἐπεστραμμένα πρὸς αὐτὰ καὶ ὥσπερ ἀναβεβηκότα· ἐρᾷ δὲ καὶ τὰ νοητὰ τῶν νοερῶν προνοητικῶς τῷ μεταδιδόναι τῆς ἴσης ὠφελείας· ὡμολόγηται οὖν, ὅτι οἱ τῶν τοιούτων ἔρωτες ὑπερεστᾶσι τῶν αἰσθητῶν. Ἀλλὰ ταῦτα, οἶμαι, νοητὰ καὶ νοερὰ εἴρηται ἐκ μετοχῆς τοῦ ὄντος ἀγαθοῦ τοιαῦτα γενόμενα. Οἱ δὲ αὐτονόητοι ἔρωτες οἱ θεῖοί εἰσιν, ἀντὶ τοῦ οἱ τοῦ Θεοῦ· ὥσπερ γάρ ἐστιν ἀγαθὸν ᾧτινί ἐστιν ἀγαθόν, καὶ ἄλλο τὸ ἁπλῶς ἀγαθὸν καὶ αὐτὸ τὸ ἀγαθόν, οὕτως ἐστὶ καὶ νοητὸν τῷ τινι νοητόν, ἅτε νοούμενον ὑπ' αὐτοῦ, καὶ ἁπλῶς νοητόν· οὐχ ὁ χρόνος ἢ ὁ τόπος (νοητὰ γὰρ καὶ ταῦτα, ἐπεὶ μὴ αἰσθητά), ἀλλὰ νοῦς νοητῶν, ἐνέργεια ὢν καὶ ζῶν καὶ ζωή· τὰ γὰρ μετὰ τοῦτο νοητὰ ἐκ ζητήσεως καὶ τῆς περὶ τὰ προβλήματα ἀκολουθίας εὑρίσκουσιν, ἢ ἐξ ἀποκαλύψεως ἔχουσιν.

Ἄσχετος αἰτία: Ἄσχετόν φησι τὸ ἀπόλυτον, οὗ πρὸς τὸ πᾶν οὐδεμία σχέσις, ἤτοι οἰκειότης φυσική.

§ 17. Ἁπάντων ὁλικὸς ἔρως. Εἰπὼν 'ὁλικὸν ἔρωτα', δηλοῖ καὶ μερικούς, λέγων τὸν Θεὸν εἶναι τὸν ὁλικὸν καὶ τὸν μερικόν, ὡς αἴτιον καὶ πᾶσι χορηγοῦντα κατὰ τὴν ἑκάστου δύναμιν, ἐρωτικὴν οἱονεὶ ἀπορροήν. Πῶς οὖν ὁ Θεὸς τὸ ὅλον καὶ τὸ μέρος, ἀνεκφοιτήτως ἑαυτῷ συνών, εἶναι δύναται, ἐκ τοῦ

δηλαδὴ τὴν ποιότητα τῆς φύσης τους, ποὺ τρέφουν ἔρωτα γιὰ τὸ δημιουργό τους, ἐπειδὴ δημιουργήθηκαν ἀπὸ αὐτόν. Χάρη λοιπὸν στὴ ζωτική, δηλαδὴ τὴ φυσικὴ κίνηση, στρέφονται κι αὐτὰ πρὸς τὸν Θεό.

§ 16. Ἐπειδὴ τοὺς ἐκ τοῦ ἑνός: Εἴπαμε καὶ πιὸ πάνω, ὅτι νοερὰ εἶναι ὅσα νοοῦν καὶ νοητὰ ὅσα νοοῦνται, καὶ χωρὶς συζήτηση τὰ νοερὰ ὑπερβαίνονται ἀπὸ τὰ νοητά, καὶ γι' αὐτὸ τὰ νοούμενα (νοητὰ) εἶναι ἡ τροφὴ ἐκείνων ποὺ νοοῦν (τῶν νοερῶν). Τὰ νοερὰ λοιπὸν τρέφουν ἔρωτα πρὸς τὰ νοητά, ἐπειδὴ εἶναι στραμμένα πρὸς αὐτὰ καὶ σὰ νὰ ἔχουν ἀνεβεῖ σ' αὐτά. Ἀλλὰ καὶ τὰ νοητὰ τρέφουν ἔρωτα πρὸς τὰ νοερὰ μὲ τὸ νὰ τοὺς μεταδίδουν ἴση ὠφέλεια. Ἔχει λοιπὸν ὁμολογηθεῖ ὅτι οἱ ἔρωτες νοερῶν καὶ νοητῶν στέκονται πάνω ἀπὸ τοὺς ἔρωτες τῶν αἰσθητῶν. Ἀλλὰ αὐτὰ νομίζω ὀνομάστηκαν νοητὰ καὶ νοερὰ ἐπειδὴ ἔγιναν τέτοια ἀπὸ μετοχὴ τοῦ ἀληθινοῦ ἀγαθοῦ. Οἱ αὐτονόητοι ὅμως ἔρωτες εἶναι οἱ θεῖοι ἔρωτες, ἀντὶ οἱ ἔρωτες τοῦ Θεοῦ, ὅπως βέβαια ἀγαθὸ εἶναι ἐξαιτίας ἐκείνου ποὺ εἶναι ἀγαθό, καὶ εἶναι ἄλλο τὸ ἁπλῶς ἀγαθὸ καὶ τὸ ἴδιο τὸ ἀγαθό. Ἔτσι καὶ νοητὸ εἶναι τὸ νοητὸ ἀπὸ κάποιο, ἐπειδὴ νοεῖται ἀπὸ αὐτό, καὶ ἁπλῶς νοητό, ὄχι ὅπως ὁ χρόνος καὶ ὁ τόπος. Γιατὶ νοητὰ εἶναι κι αὐτά, ἀφοῦ δὲν εἶναι αἰσθητά, ἀλλὰ νοῦς τῶν νοητῶν, ποὺ εἶναι ἐνέργεια καὶ ζεῖ καὶ ζωή. Τὰ ἔπειτα ἀπὸ αὐτὸ δηλαδὴ νοητὰ τὰ βρίσκουν ἀπὸ ἐξέταση καὶ ἀπὸ τὴν λογικὴ ἀκολουθία σχετικὰ μὲ τὰ προβλήματα, ἢ τὰ λαμβάνουν ἀπὸ ἀποκάλυψη.

Ἄσχετος αἰτία: Ἄσχετο ὀνομάζει τὸ ἀπόλυτο (ἀπό–λυτο), αὐτὸ ποὺ δὲν ἔχει καμμιὰ σχέση μὲ τὸ πᾶν, δηλαδὴ φυσικὴ οἰκειότητα.

§ 17. Ἁπάντων ὁλικὸς ἔρως: Λέγοντας 'ὁλικὸν ἔρωτα' δηλώνει ἐπίσης καὶ τοὺς μερικούς, λέγοντας ὅτι ὁ Θεὸς εἶναι ὁ ὁλικὸς καὶ ὁ μερικός, ἐπειδὴ εἶναι ὁ αἴτιος καὶ ὁ χορηγὸς σὲ ὅλα κατὰ τὴ δύναμη τοῦ καθενὸς τῆς ἐρωτικῆς κατὰ κάποιο τρόπο ἀπορροῆς. Πῶς λοιπὸν ὁ Θεός, χωρὶς νὰ βγαίνει ἀπὸ τὸν ἑαυτό του, μπορεῖ νὰ εἶναι τὸ ὅλο καὶ τὸ μέρος, θὰ γίνει σαφὲς

σπερματικοῦ λόγου σαφὲς ἔσται· ὅταν μὲν γὰρ τὸ σπέρμα ἀδιακόπως ὁμοῦ εἰς τὴν μήτραν καταβληθῇ ἓν ἀποτελεῖται τὸ ἔμβρυον, ἐὰν δὲ μερισθῇ τὸ σπέρμα εἰς διαφόρους κύστιδας τῆς μήτρας, ἕκαστον μέρος ὁλόκληρον ἔμβρυον ἀποτελεῖ· ἔσται δὲ τοῦ σπέρματος τὸ μὲν ρίς, τὸ δὲ ὀφθαλμοί, καὶ τὰ ἑξῆς, καὶ πάντα τέλεια. Ὅμοιον οὖν τι καὶ περὶ τὸν παντέλειον νοῦν κατὰ ἀναλογίαν θεωρητέον· ὅλη γὰρ ἡ ἐνέργεια περιέχει καὶ τὰ μέρη, τῶν δὲ μερῶν ἕκαστον ἀπήρτισται· καὶ τὸ μὲν αὐτοδικαιοσύνη, τὸ δὲ αὐτοανδρία, καὶ τὰ ἑξῆς· οὕτω καὶ οὔτε συγκέχυται εἰς ἀλλήλας, ἀλλὰ καὶ ἑκάστη διακέκριται, καὶ οὔτε μετὰ ἀταξίας τὸ ἀδιαίρετον ἔχουσιν ἐν τῷ μεταλαμβάνειν αὐτῶν ἕκαστον ὡς δύναται. Τῶν γὰρ εἰδῶν μεταλαμβάνει ἕκαστος πρὸς τὴν οἰκείαν ἐπιτηδειότητα· οὕτω καὶ ὁ Θεὸς καὶ ὅλον καὶ μέρη τοῦ ἔρωτος.

§ 18. Ἐφίεται γὰρ αὐτοῦ: Ἐπειδὴ εἶπε, καὶ τὸ μὴ ὂν ἐφίεσθαί πως τοῦ ἀγαθοῦ καὶ ἐν αὐτῷ βούλεσθαι εἶναι, ὅπερ καὶ ἄνω πρὸ ὀλίγων φύλλων εὑρήσεις αὐτὸν λέγοντα, εἰ καὶ ἐξ ἑλληνικῶν σαφηνίζεται δογμάτων (πρὸς γὰρ Ἕλληνας μάχεται μάλιστα, καὶ Μανιχαίους τοὺς τοῦ κακοῦ δόγματος προεστῶτας), δεῖ πλατύτερον παραστῆσαι, τί ὀνομάζεται μὴ ὄν, καὶ διὰ τί μίαν ἀρχὴν τῶν ὄντων εὐσεβὲς καὶ ἐπάναγκες εἶναι. Τοῦτο γὰρ ὑγιές ἐστι φρονεῖν. Ἔστι γὰρ αὕτη ὁ Θεός· εἰ γὰρ εἶεν ἀρχαὶ διάφοροι, πάντως ἀπειροπληθεῖς φανήσονται. Εἰ οὖν ἀρχὴ μία ὁ Θεός, οὕτω καὶ τὸ ὄντως ὄν, καὶ αὐτὸ τὸ ἀγαθόν. Εὑρήσει δὲ ὁ λόγος καὶ τὰ ἐναντία τῶν εἰρημένων ἀναγκαίως· ἔνθα γὰρ ἀρχή, ἔσται πάντως καὶ ἔσχατον· καὶ εἰ ἔστιν ὄν, ἔσται καὶ μὴ ὄν· καὶ εἰ ἔστιν ἀγαθόν, ἔσται καὶ κακόν. Ἀλλ' ἐπειδὴ τὰ ὄντα οὐσίαι εἰσὶ καὶ εἴδη, τὸ μὴ ὂν ἀνείδεον ἂν εἴη καὶ ἀνούσιον, λόγῳ μόνῳ θεωρητόν. Τὸ μὴ ὂν οὖν τοῦτο καὶ ἀνείδεον ὕλην ἐκάλεσαν οἱ παλαιοί, ἣν καὶ ἔσχατον αἶσχος ὀνομάζουσι.

ἀπὸ τὸν σπερματικὸ λόγο. Ὅταν δηλαδὴ τὸ σπέρμα ὅλο μαζὶ ἀδιάσπαστα εἰσέλθει στὴ μήτρα, ἀποτελεῖται ἕνα ἔμβρυο· ὅταν ὅμως τὸ σπέρμα μεριστεῖ σὲ διάφορα κελλιὰ τῆς μήτρας, ἀποτελεῖ ὁλόκληρο ἔμβρυο τὸ κάθε μέρος. Κι ἀπὸ τὸ σπέρμα ἕνα μέρος εἶναι μύτη, τὸ ἄλλο μάτια, καὶ τὰ λοιπά, καὶ ὅλα εἶναι τέλεια. Ὅμοια ἄποψη λοιπὸν πρέπει νὰ σχηματίσομε κατ' ἀναλογία καὶ σχετικὰ μὲ τὸν παντέλειο νοῦ· γιατὶ ὅλη ἡ ἐνέργεια περιέχει καὶ τὰ μέρη, καὶ κάθε μέρος εἶναι τελείως ὁλοκληρωμένο. Τὸ ἕνα εἶναι αὐτοδικαιοσύνη, τὸ ἄλλο αὐτοανδρία, καὶ τὰ λοιπά. Ἔτσι καὶ οὔτε συγχέονται μεταξύ τους, ἀλλὰ κάθε μία διακρίνεται ἀπὸ τὴν ἄλλη, οὔτε εἶναι ἀδιαίρετα χωρὶς τάξη, ἐπειδὴ μετέχει τὸ καθένα τὸ ἄλλο ὅσο μπορεῖ. Γιατὶ ὁ καθένας μετέχει τὰ εἴδη ἀνάλογα μὲ τὴν ἱκανότητά του. Ἔτσι καὶ ὁ Θεὸς εἶναι καὶ ὅλο καὶ μέρη ἔρωτος.

§ 18. Ἐφίεται γὰρ αὐτοῦ: Ἐπειδὴ εἶπε, ὅτι κατὰ κάποιο τρόπο καὶ τὸ μὴ ὂν ἐπιθυμεῖ τὸ ἀγαθὸ καὶ θέλει νὰ εἶναι μέσα σ' αὐτό, πράγμα ποὺ θὰ συναντήσεις νὰ τὸ λέει καὶ μερικὲς σελίδες πιὸ μπροστά, ἂν καὶ διευκρινίζεται ἀπὸ ἑλληνικὰ διδάγματα, ἀφοῦ κυρίως μάχεται ἐναντίον τῶν Ἑλλήνων καὶ τῶν Μανιχαίων, τῶν ἀρχηγῶν τῆς κακῆς διδαχῆς, ὅμως πρέπει νὰ ἀναπτύξομε πλατύερα τί ὀνομάζεται μὴ ὂν καὶ γιατί εἶναι εὐσεβὴς ἀνάγκη νὰ ὑπάρχει μία ἀρχὴ τῶν ὄντων. Αὐτὸ εἶναι τὸ ὑγιὲς φρόνημα. Αὐτὴ ἡ μία ἀρχὴ εἶναι ὁ Θεός· γιατί, ἂν ὑπῆρχαν διαφορετικὲς ἀρχές, ὁπωσδήποτε θ' ἀποδειχθοῦν ἄπειρες στὸ πλῆθος. Ἂν λοιπὸν ὁ Θεὸς εἶναι μία ἀρχή, τότε εἶναι καὶ τὸ ἀληθινὸ ὂν καὶ τὸ ἴδιο τὸ ἀγαθό. Ὑποχρεωτικὰ ὁ λόγος θὰ βρεῖ καὶ τὰ ἀντίθετα σ' αὐτὰ ποὺ εἴπαμε. Γιατί, ὅπου ὑπάρχει ἀρχή, θὰ ὑπάρχει ὁπωσδήποτε καὶ τέλος, κι ἂν ὑπάρχει ὄν, θὰ ὑπάρχει καὶ μὴ ὄν, καὶ ἂν ὑπάρχει ἀγαθό, θὰ ὑπάρχει καὶ κακό. Ἐπειδὴ ὅμως τὰ ὄντα εἶναι οὐσίες καὶ εἴδη, τὸ μὴ ὂν θὰ ἦταν χωρὶς μορφὴ καὶ οὐσία καὶ ἕνα λογικὸ μόνο κατασκεύασμα. Αὐτὸ λοιπὸν ποὺ εἶναι μὴ ὂν καὶ ποὺ δὲν ἔχει μορφὴ οἱ παλαιοὶ τὸ κάλεσαν ὕλη, τὴν ὁποία ὀνομάζουν ἐπίσης ἔσχατο αἶσχος.

Λέγεται δὲ μὴ ὂν ἡ ὕλη, οὐχ ὅτι παντελῶς οὐδέν ἐστιν, ἀλλ' ὅτι μή ἐστι· τὸ γὰρ ὄντως ὂν ὁ Θεός, καὶ αὐτὸ τὸ ἀγαθόν· παρῆκται γὰρ ἐκ μὴ ὄντων ὑπὸ τοῦ Θεοῦ καὶ ἡ ὕλη· ἀλλ' οὐχ ὥς τινες ὑπέλαβον ἀνείδεος καὶ ἀσχημάτιστος· ὅθεν οὐδὲ ἀρχὴ τῶν αἰσθητῶν ἡ ὕλη, ἀλλὰ μᾶλλον συμπληρωτικὴ τούτων καὶ ἔσχατόν τι καὶ ὑποστάθμη τῶν ὄντων. Διὸ οὔτε εἰκὼν Θεοῦ, ὡς τὰ λογικά, οὔτε εἴδωλον τοῦ ὄντως ὄντος. Καὶ τὸ αἰσθητὸν δὲ εἴδωλον τοῦ ὄντως νοητοῦ κόσμου, ὅπερ αἰσθητόν, οὐκ ἄνευ μὲν ὕλης ἐστί, κρεῖττον δὲ τῆς ὕλης, εἴδους ὁπωσοῦν μετέχον. Οὐδέποτε οὖν δειχθήσεται ἡ ὕλη δίχα τοῦ εἴδους καὶ τῶν ποιοτήτων, αἵτινές εἰσιν ἕξεις· πότε γὰρ γέγονε τὸ πῦρ ἄνευ θερμότητος ἢ φωτὸς ἢ τοῦ λευκοῦ τῆς χροιᾶς, ἢ τὸ ὕδωρ ἄνευ ψυχρότητος ἢ ὑγρότητος ἢ τοῦ κυανίζοντος χρώματος; Ἡ γῆ καὶ ὁ ἀὴρ ὁμοίως. Διὰ τοῦτο καὶ λόγῳ θεωρητὴν εἶπον τὴν ὕλην ἀνείδεον, καὶ ἄποιον, καὶ ἀσχημάτιστον· ἐξ οὗ γὰρ τὰ ὁρατὰ καὶ τὰ ἀόρατα γέγονεν, ἐκ μὴ ὄντων δηλονότι ὑπὸ Θεοῦ παρήχθη, οὐ πρότερον ὕλης ἀμόρφου ὑποκειμένης, εἶτα κοσμηθείσης, ὡς διδάσκει Μωσῆς ὁ θεῖος. Ἐν μὲν οὖν τῷ Θεῷ ἐστιν, ἅτε καὶ ὑπ' αὐτοῦ παραχθεῖσα ἡ ὕλη· ὑπερούσιος δέ, τὰ πάντα ἐκείνου ὡς ἀγαθοῦ συνέχοντος, νοεῖται ἐν αὐτῷ. Ταῦτα εὑρήσεις ἐν τοῖς λεχθησομένοις σποράδην ἐγκείμενα.

Πῶς ἡ δαιμονία πληθύς: Λοιπὸν προβλήματα διαγυμνάζει λέγων, ὅτι, Εἰ πάντα ἐκ τοῦ ἀγαθοῦ, πόθεν τὰ κακά, καὶ πόθεν ἄγγελοι ἐγένοντο δαίμονες; Πάντα κατὰ Μανιχαίων.

β. Οὐκ ἔστιν ἀγαθοειδές: *Καλῶς καὶ ἀκριβῶς ἐπὶ τῶν ἀγγέλων τέθεικε τὸ ἀγαθοειδές· ὁ μὲν γὰρ Θεὸς οὐσιωδῶς αὐτὸ τὸ ἀγαθὸν ὤν, τὰ δὲ μετ' αὐτόν, ὡς ἐκ μετοχῆς καὶ ἔξωθεν ἀγαθυνόμενα τῇ περὶ αὐτὸν ἐφέσει, εἰκότως ἀγαθοειδῆ λέγονται, οὐκ αὐτόχρημα ἀγαθά.*

Καὶ λέγεται ἡ ὕλη μὴ ὄν, ὄχι ἐπειδὴ δὲν εἶναι ἀπολύτως τίποτε, ἀλλὰ ἀπειδὴ μόνο δὲν ὑπάρχει· γιατὶ τὸ ἀληθινὸ ὂν εἶναι ὁ Θεὸς καθὼς καὶ αὐτὸ τὸ ἴδιο τὸ ἀγαθό. Ἡ ὕλη δημιουργήθηκε ἀπὸ τὸν Θεὸ ἀπὸ τὰ μὴ ὄντα, καὶ ὄχι ὅπως νόμισαν μερικοὶ ὅτι εἶναι δίχως μορφὴ καὶ σχῆμα. Γι' αὐτὸ ἡ ὕλη δὲν εἶναι οὔτε ἀρχὴ τῶν αἰσθητῶν, ἀλλὰ μᾶλλον συμπληρώνει αὐτὰ καὶ εἶναι κάτι κατώτατο καὶ ὑπόβαθρο τῶν ὄντων. Γι' αὐτὸ οὔτε εἰκόνα τοῦ Θεοῦ εἶναι, ὅπως τὰ λογικά, οὔτε εἴδωλο τοῦ ἀληθινοῦ ὄντος. Καὶ τὸ αἰσθητὸ εἶναι εἴδωλο τοῦ ἀληθινὰ νοητοῦ κόσμου, τὸ ὁποῖο αἰσθητὸ δὲν εἶναι χωρὶς ὕλη, ἀλλὰ ἀνώτερο ἀπὸ τὴν ὕλη καὶ ποὺ ὁπωσδήποτε μετέχει μορφή. Ποτὲ λοιπὸν δὲ θὰ φανεῖ ἡ ὕλη δίχως μορφὴ καὶ ποιότητες, ποὺ εἶναι ἕξεις. Πότε δηλαδὴ ἔγινε ἡ φωτιὰ δίχως θερμότητα ἢ φῶς ἢ λευκὴ ἀπόχρωση, καὶ τὸ νερὸ χωρὶς δροσερότητα ἢ ὑγρότητα ἢ τὸ χρῶμα ποὺ κυανίζει; Τὸ ἴδιο ἡ γῆ καὶ ὁ ἀέρας. Γι' αὐτὸ καὶ εἶπα ὅτι μὲ λογικὴ σύλληψη ἡ ὕλη εἶναι δίχως μορφὴ καὶ ποιὸ καὶ σχῆμα. Ἀπὸ αὐτὸν λοιπὸν ἔγιναν τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, δημιουργήθηκαν δηλαδὴ ἀπὸ τὸν Θεὸ ἀπὸ τὰ μὴ ὄντα, χωρὶς νὰ ὑπῆρχε ὡς βάση προηγουμένως ὕλη δίχως μορφή, ποὺ νὰ διαμορφώθηκε ἔπειτα, ὅπως διδάσκει ὁ θεῖος Μωυσῆς. Ὑπάρχει λοιπὸν ἡ ὕλη μέσα στὸν Θεό, ἀφοῦ καὶ ἔχει προέλθει ἀπὸ αὐτόν, νοεῖται ὅμως ὑπερούσια μέσα σ' αὐτόν, ἐπειδὴ ἐκεῖνος συνέχει τὰ πάντα ὡς ἀγαθός. Αὐτὰ θὰ βρεῖς νὰ εἶναι διάσπαρτα σ' αὐτὰ ποὺ θὰ λεχθοῦν παρακάτω.

Πῶς ἡ δαιμονία πληθύς: Προβλήματα ἀνακινεῖ ὅποιος λέει, ὅτι, ἂν ὅλα προέρχονται ἀπὸ τὸν ἀγαθό, ἀπὸ ποῦ προῆλθαν τὰ κακὰ καὶ πῶς οἱ ἄγγελοι ἔγιναν δαίμονες; Ὅλα αὐτὰ κατὰ τῶν Μανιχαίων.

β. Οὐκ ἔστιν ἀγαθοειδές: Ὀρθὰ καὶ μὲ ἀκρίβεια χρησιμοποίησε τὸ ἐπίθετὸ ἀγαθοειδὴς γιὰ τοὺς ἀγγέλους. Γιατὶ ὁ Θεὸς εἶναι στὴν οὐσία του τὸ ἴδιο τὸ ἀγαθό, ἐνῶ τὰ ἔπειτ' ἀπὸ αὐτόν, ἐπειδὴ γίνονται ἀγαθὰ χάρη στὴ μετοχὴ καὶ ἀπὸ ἐξωτερικοὺς παράγοντες μὲ τὴν ἐπιθυμία τους πρὸς αὐτόν, εὔλογα λέγονται ἀγαθοειδῆ (ἀγαθόμορφα), καὶ ὄχι ἀκριβῶς ἀγαθά.

γ. Καὶ πῶς ὁ ἀγαθός: *Ὅρα ὅπως προβλήματα ὡς ἐν ζητήσει παράγει, ἔχοντα μὲν καὶ αὐτὰς τὰς τῶν ἐχθρῶν ἀντιθέσεις, οἷον Μανιχαίων, δηλούσας δὲ ὅμως τὸν σκοπὸν τοῦ θείου τούτου ἀνδρὸς τὸ ὀρθόν. Λέγει γάρ, ἐκ τίνος ἀρχῆς παρήχθη τὸ κακόν· καὶ εἰ ἐξ ἄλλης αἰτίας, καὶ ὅσα τοιαῦτα τῶν ἀντιδίκων εἰσίν. Εἶτα λοιπόν, πῶς ὁ ἀγαθὸς αὐτὸ παραγαγεῖν ἠβουλήθη, πῶς δὲ καὶ προνοίᾳ ἐστὶ τὸ κακόν, ἐκ τούτων δεικνύς, ὅτι, εἰ καὶ ὅλως παραγωγὴν ἔσχε τὸ κακόν, ἐκ τοῦ ἀγαθοῦ ταύτην ἔσχε, καὶ ὅτι μόνη ἡ πρόνοια διοικεῖ τὸ ὅλον, ὡς ἐκ τούτου μίαν ἀγαθὴν ἀρχὴν εἶναι τοῖς οὖσι. Ταῦτα καὶ ἐν τοῖς προβλήμασιν ἐξήτασεν ὁ θεῖος οὗτος ἀνήρ· παρακατιὼν γὰρ ἀναλύει σαφῶς τὰ προβλήματα, δεικνὺς ὡς οὔτε ἐνυπόστατον τὸ κακόν, οὔτε ἐν φύσει, ἀλλὰ κατὰ στέρησιν τοῦ ἀγαθοῦ γινόμενον, οὔτε ὄν, οὔτε ὡς μὴ ὂν λογιζόμενον. Καὶ τοῦτο αἰνίττεσθαι τὸ ἐν ψαλμῷ τριακοστῷ ἕκτῳ εἰρημένον· «εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου, καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα αὐτόν», τουτέστι τὸν τόπον αὐτοῦ, «καὶ οὐχ εὑρέθη»· τοῦτο γὰρ δηλοῖ, ὅτι τὸ κακόν, ᾗ καὶ σφόδρα ἐπαίρεται, ἀλλ' οὖν οὐκ ἔστιν, οὔτε καταλείψει τόπον ἑαυτοῦ, τουτέστιν ἴχνος· ἅμα γὰρ τῷ φανῆναι διαλέλυται, μὴ ἔχον ὑπόστασιν· μὴ οὖν ὑπολάβοις αὐτὸν ἐναντίον λέγειν τι.*

§ 19. Τὸ κακὸν οὐκ ἔστιν ἐκ τἀγαθοῦ: *Σημείωσαι, πῶς θαυμασίως πλέκει τὴν λύσιν ἐκ διαφόρων ἐπιχειρημάτων.*

Ὁ τῶν ὄντων σκοπός: *Καὶ γὰρ ὁ ὀργιζόμενος, ἤτοι θυμούμενος (ὡς ἐν ὑποδείγματι δὲ ὁ λόγος, ὡς δοκεῖ), κακόν τι ποιοῦντος τοῦ πρὸς ὃν θυμοῦται, πρὸς τὸ ἐναντίον τοῦτον μεταγαγεῖν βουλόμενος, τουτέστι τὸ ἀγαθὸν τῇ τοιαύτῃ κινήσει χρῆται.*

Καὶ εἰ τὰ ὄντα πάντα: *Ἔφημεν ἀνωτέρω, εἰ ὁ Θεὸς ὑπε-*

γ. Καὶ πῶς ὁ ἀγαθός: Πρόσεχε πῶς γεννᾶ προβλήματα στὴν συζήτηση, ποὺ περιέχουν καὶ τὶς ἴδιες τὶς ἀντιθέσεις τῶν ἐχθρῶν, ὅπως τῶν Μανιχαίων, ποὺ δηλώνουν ὅμως τὸν ὀρθὸ σκοπὸ αὐτοῦ τοῦ ἀνδρός. Λέει δηλαδὴ ἀπὸ ποιά ἀρχὴ δημιουργήθηκε τὸ κακό· κι ἂν ἔγινε ἀπὸ ἄλλη αἰτία καὶ ὅσα ἄλλα παρόμοια, αὐτὰ εἶναι τῶν ἀντιπάλων. Ἔπειτα στὴ συνέχεια λέει πῶς θέλησε ὁ ἀγαθὸς νὰ τὸ δημιουργήσει, καὶ πῶς προνοήθηκε τὸ κακό, δείχνοντας μὲ αὐτὰ ὅτι, κι ἂν δημιουργήθηκε τὸ κακό, ἡ παραγωγή του αὐτὴ προῆλθε ἀπὸ τὸ ἀγαθό, καὶ ὅτι ἡ πρόνοια μόνο κυβερνᾶ τὸ πᾶν, καὶ ὡς ἐκ τούτου τὰ πάντα ἔχουν μιὰ ἀγαθὴ ἀρχή. Αὐτὰ τὰ ἐξέτασε ὁ θεῖος ἄνδρας καὶ στὰ προβλήματα. Παρακάτω ἀναλύει μὲ σαφήνεια καὶ τὰ προβλήματα, δείχνοντας ὅτι τὸ κακὸ οὔτε ἐνυπόστατο εἶναι, οὔτε εἶναι τῆς φύσης, ἀλλὰ γίνεται ἀπὸ στέρηση τοῦ ἀγαθοῦ καὶ δὲν θεωρεῖται οὔτε ὂν οὔτε μὴ ὄν. Κι αὐτὸ ὑπαινίσσεται τὸ λεγόμενο στὸν τριακοστὸ ἕκτο ψαλμό· «εἶδα τὸν ἀσεβῆ νὰ ψηλώνει ὅσο οἱ κέδροι τοῦ Λιβάνου, πέρασα καὶ δὲ φάνηκε πουθενά· τὸν ἀναζήτησα, δηλαδὴ τὸν τόπο του, καὶ δὲν βρέθηκε»[16]. Αὐτὸ σημαίνει ὅτι τὸ κακό, κι ἂν ἀκόμα ψηλώνει ὑπερβολικά, ὡστόσο δὲν ὑπάρχει, οὔτε θ' ἀφήσει τὸν τόπο του, δηλαδὴ τὸ ἀχνάρι του. Γιατὶ συγχρόνως μὲ τὴν ἐμφάνισή του ἔχει διαλυθεῖ, ἀφοῦ δὲν ἔχει ὑπόσταση. Μὴ νομίσεις λοιπὸν ὅτι αὐτὸς λέει κάτι ἀντιφατικό.

§ 19. Τὸ κακὸ οὐκ ἔστιν ἐκ τοῦ ἀγαθοῦ: Σημείωσε πόσο θαυμάσια συνθέτει τὴ λύση ἀπὸ διάφορα ἐπιχειρήματα.

Ὁ τῶν ὄντων σκοπός: Ὅποιος δηλαδὴ ὀργίζεται καὶ θυμώνει (καὶ νομίζω ὅτι ὁ λόγος ἀποτελεῖ παράδειγμα), ἐπειδὴ θέλει νὰ μεταβάλλει στὸ ἀντίθετο, δηλαδὴ στὸ ἀγαθό, αὐτὸν ποὺ προκαλεῖ τὸ θυμό του προξενώντας του κάποιο κακό, χρησιμοποιεῖ αὐτὴ τὴν κίνηση.

Καὶ εἰ τὰ ὄντα πάντα: Εἴπαμε πιὸ πάνω, ὅτι ὁ Θεὸς λέγεται

---

16. Ψαλμ. 36,35–36.

ρουσίως ὢν λέγεται ὡς ἄναρχος καὶ πάντων αἴτιος, τὸ ἀντίθετον, ὡς ἔσχατον τῶν ὄντων, καὶ ἀνούσιον, ὡς ὑπερουσίου τοῦ Θεοῦ, τουτέστιν ἡ ὕλη, καὶ μὴ ὂν λέγεται, καὶ ἐν Θεῷ λέγεται, δι' ἀγαθότητα αὐτοῦ γενομένη, εἰ καὶ διὰ τοῦ μεμίχθαι τοῖς αἰσθητοῖς οὐ πάντη κακόν, οὔτε πάντη ἀγαθόν, ὡς δηλοῖ διὰ τὸ ἄστατον· ἔχει μὲν γὰρ τὸ κακὸν ἐν τῷ ἀστάτῳ μερίδα δὲ τοῦ ἀγαθοῦ, ἐπειδὴ καὶ ὑπὸ Θεοῦ παρήχθη, καὶ ἐν Θεῷ ἐστι· αὐτόκακον (οὐ λέγω ἡ κακία, ἥτις ὡς εἶδος καὶ ποιότης συμβαίνει τῷ λογικῷ καὶ ἀποσυμβαίνει, ἀλλ' αὐτὸ τὸ ἁπλῶς κακὸν) οὔτε ἐν τοῖς οὖσίν ἐστι, τοῖς ὁπωσοῦν ἐφιεμένοις τοῦ ἀγαθοῦ, οὔτε ἐν τοῖς μὴ οὖσιν, ἀντὶ τοῦ 'ἐν τοῖς ὑλικοῖς' ὡς νοουμένοις ἐν τῷ ὑπερουσίῳ, ἀλλὰ καὶ τοῦ μὴ ὄντος, ὅ ἐστι τῆς ὕλης, τὸ κακὸν πλέον ἀφέστηκε τοῦ ἀγαθοῦ, καὶ ἔστιν ἐντεῦθεν εἰκότως ἀνουσιώτερον τῆς ὕλης, τὸ αὐτὸ κακὸν ὡς πάντῃ οὐδὲν ὄν. Τὸ οὖν ἁπλῶς αὐτόκακον οὐδαμῇ οὐδαμῶς, τὸ δὲ τῆς ὕλης κατ' ἔλλειψιν τῆς ἀγαθότητος, καθὸ καὶ ἀναίσθητος καὶ ἀνείδεος ὁρᾶται· ὅθεν νοήσεις καὶ τὸ παρὰ Ἀβδιοῦ τῷ προφήτῃ εἰρημένον, «καὶ ἔσονται ὡς μὴ ὄντες», πρὸς τοὺς ἁμαρτωλοὺς δηλονότι.

Πόθεν οὖν ἐστι τὸ κακόν; Ἐντεῦθεν ἀντίθεσιν προτιθείς, πλατέως γυμνάζει τὴν ὑπόκρουσιν, ὡς ἐξ εὐλογαφανοῦς ἀντιθέσεως· εἰ γὰρ μὴ δοίημεν εἶναί τι τῷ καλῷ ἐναντίον, τουτέστι τὸ κακόν, οὐκ ὀφθήσεται ἀγαθὸν ἡ ἀρετή, ἀλλ' ἀναμὶξ ἀδιάκριτα ἔσται πάντα, οὔτε ἀρετῆς ἐπαινουμένης, οὔτε τοῦ ἐναντία ἔσται. Νῦν δέ φησιν ὁ ἀντιθείς, εἰ μὴ δοίημεν κακὸν ἐναντίον

ὅτι ὑπάρχει πάνω ἀπὸ τὴν οὐσία (ὑπερούσιος), ἐπειδὴ εἶναι ἄναρχος καὶ αἴτιος τῶν πάντων, ἐνῶ τὸ ἀντίθετό του, δηλαδὴ ἡ ὕλη, ἐπειδὴ εἶναι τὸ ἔσχατο τῶν ὄντων καὶ δίχως ὑπόσταση, ἐνῶ ὁ Θεὸς εἶναι ὑπερούσιος, καὶ μὴ ὂν λέγεται καὶ λέγεται ὅτι ὑπάρχει μέσα στὸν Θεό, ἀφοῦ ἔγινε ἀπὸ τὴν ἀγαθότητα αὐτοῦ, ἂν καί, ἐπειδὴ ἀναμίχθηκε μὲ τὰ αἰσθητά, δὲν εἶναι τελείως κακό, οὔτε τελείως ἀγαθό, ὅπως τὸ δείχνει μὲ τὴν ἀστάθειά της, γιατὶ ἔχει τὸ κακὸ μέσα στὴν ἀστάθειά του μερίδα τοῦ ἀγαθοῦ, ἐπειδὴ καὶ ἀπὸ τὸν Θεὸ ἔχει τὴν παραγωγή του καὶ βρίσκεται μέσα στὸν Θεό· αὐτὸ τὸ κακὸ (δὲν λέγω ἡ κακία, ἡ ὁποία σὰν ἕνα εἶδος καὶ μιὰ ποιότητα συμβαίνει καὶ ἄλλοτε δὲ συμβαίνει στὸ λογικό, λέγω ἁπλῶς τὸ κακό), οὔτε μέσα στὰ ὄντα ὑπάρχει, ποὺ κατὰ κάποιο τρόπο ποθοῦν τὸ ἀγαθό, οὔτε μέσα στὰ μὴ ὄντα, ἀντὶ νὰ πεῖ μέσα στὰ ὑλικά, ἐπειδὴ νοοῦνται μέσα στὸ ὑπερούσιο. Ἀλλὰ καὶ ἀπὸ τὸ μὴ ὄν, δηλαδὴ τὴν ὕλη, τὸ κακὸ ἀπέχει περισσότερο ἀπὸ ὅ,τι ἀπὸ τὸ ἀγαθό, καὶ ἐξαιτίας αὐτοῦ τὸ αὐτο–κακὸ εὔλογα εἶναι πιὸ δίχως οὐσία ἀπὸ ὅ,τι εἶναι ἡ ὕλη, ἐπειδὴ δὲν εἶναι ἀπολύτως τίποτε. Τὸ ἁπλῶς λοιπὸν αὐτο–κακὸ δὲν ὑπάρχει πουθενὰ καὶ καθόλου, ἐνῶ τὸ κακὸ τῆς ὕλης, λόγω ἔλλειψης τῆς ἀγαθότητας, ἐπειδὴ ἡ ὕλη εἶναι καὶ χωρὶς αἴσθηση καὶ χωρὶς μορφή, τὸ βλέπομε. Ἀπὸ αὐτὰ θὰ ἐννοήσεις καὶ τὸ λόγο τοῦ προφήτη Ἀβδιοῦ, «καὶ θὰ καταντήσουν σὰν νὰ μὴ ὑπῆρξαν ποτέ»[17], ποὺ ἀπευθύνεται προφανῶς πρὸς τοὺς ἁμαρτωλούς.

Πόθεν οὖν ἐστι τὸ κακόν: Ἀπὸ ἐδῶ προβάλλοντας ἀντίθεση φανερώνει πλατιὰ τὸν ἀντίλογο, ἐπειδὴ ἡ ἀντίθεση εἶναι εὐλογοφανής. Ἂν δηλαδὴ δὲν δεχθοῦμε ὅτι εἶναι κάτι ἀντίθετο στὸ καλό, δηλαδὴ τὸ κακό, δὲν θὰ φανεῖ ἀγαθὸ ἢ ἀρετή, ἀλλὰ ὅλα θὰ εἶναι ἀνάμικτα καὶ ἀδιάκριτα, κι οὔτε τὴν ἀρετὴ θὰ ἐπαινούσαμε οὔτε τὸ ἀντίθετο θὰ κατηγορούσαμε, ὅπως ἂν δὲν

17. Ὀβδιοῦ στ. 16.

τῷ ἀγαθῷ, ἔσται αὐτὸ τὸ ἀγαθὸν ἐναντίον ἑαυτῷ ἐν τοῖς κατ' ἔλλειψιν τοῦ ἀγαθοῦ ἁμαρτάνουσιν· ἀλλὰ καὶ πρὸ τῆς ἐνεργείας τῆς ἀρετῆς τοῦ ἐναρέτου ἀνθρώπου ὁρῶμεν ἐν τῇ ψυχῇ αὐτοῦ διακεκριμένας τῆς ἀρετῆς τὰς κακίας· ὅταν μὲν γὰρ τὸ λογικὸν μέρος τῆς ψυχῆς τὰ οἰκεῖα ἐνεργῇ, εἰς οὐδὲν τῶν ἀγαθῶν ἐμποδίζεται, ὅταν δὲ τὸ ἄλογον μέρος τῆς ψυχῆς, ὅπερ μέμικται ὕλῃ καὶ σώματι, ἐπικρατῇ, τότε ἐμποδίζεται τὸ λογικὸν οἰκείως ἐνεργεῖν. Κακύνεται οὖν τὸ ἄλογον ἐκ τῆς πρὸς τὴν ὕλην ἐπιμιξίας, τὸ δὲ λογικὸν οὐ τῷ μεμίχθαι τῇ ὕλῃ, ἀλλὰ τῷ νεύειν εἰς ὕλην, τουτέστι τῷ ἐνδιδόναι τῷ ἀλόγῳ καὶ μὴ κρατεῖν αὐτοῦ, κακύνεται, ὡς ὄμμα σκότους ὄντος, κωλύεται ὁρᾷν· οὐ δείκνυσιν οὖν τοῦτο, εἰ ὑφέστηκε τὸ αὐτόκακον· οὐ γὰρ τό τινι κακόν, τοῦτ' ἔστι τὸ αὐτόκακον, ἀλλὰ καὶ κακία ἐστὶν εἶδος οὖσα καὶ συμβεβηκὸς τοῦ κακοῦ· ταῖς γὰρ προσθήκαις καθίσταται εἰς τὸ τόδε τι εἶναι, οἷον ἀδικία μὲν ψυχῆς ἐστι πονηρία, καὶ πάλιν, τῆς ἀδικίας εἴδη πρὸς τὴν τῆς ὀρέξεως ὕλην, ἡ μὲν γὰρ περὶ χρήματα, ἡ δὲ περὶ τιμὰς συμβαίνει. Γίνεται δὲ καὶ κατὰ προσθήκας εἴδη κακῶν καὶ ἀπὸ τῶν μερῶν τῆς ψυχῆς· δειλία μὲν γὰρ ἡ θρασύτης ἀπὸ τοῦ θυμικοῦ, ἀκολασία δὲ ἡ ἠλιθιότης ἀπὸ τοῦ ἐπιθυμητικοῦ. Γίνεται δὲ καὶ ἀπὸ τῶν ἐνεργειῶν εἴδη κακῶν· ἡ μὲν γὰρ δειλία οἷον περὶ τὸ ὁρμᾷν ἐστιν ἔλλειψις, ἡ δὲ θρασύτης περὶ τὸ ὁρμᾷν ὑπερβολή, ἡ δὲ ἀκολασία περὶ τὸ πάσχειν. Σαφὲς οὖν γέγονε, πῶς ἐν ψυχῇ καὶ πρὸ ἐνεργείας διακέκριται τὰ κακὰ ἐκ τῶν ἀρετῶν, διὰ τοῦ ἀλόγου καὶ τοῦ λογικοῦ, μερῶν ὄντων τῆς ψυχῆς. Ταῦτα δὲ τὰ τοῦ ἀλόγου ἕτερον νόμον δείκνυσιν ἡμῖν «ἀντιστρατευόμενον τῷ νῷ», ὥς φησιν ὁ Ἀπό-

ὑπάρχει νόμος, δὲ θὰ ὑπάρχει οὔτε ἁμαρτία. Τώρα ὅμως λέει αὐτὸς ποὺ πρόβαλε τὴν ἀντίθεση, ἂν δὲν δεχθοῦμε τὸ κακὸ ὡς ἀντίθετο στὸ ἀγαθό, θὰ εἶναι τὸ ἴδιο τὸ ἀγαθὸ ἀντίθετο στὸν ἑαυτό του σὲ ὅσους ἁμαρτάνουν ἀπὸ ἔλλειψη τοῦ ἀγαθοῦ. Ἀλλὰ καὶ πρὶν ἀκόμα ἀπὸ τὴν ἐνέργεια τῆς ἀρετῆς τοῦ ἐνάρετου ἀνθρώπου βλέπομε μέσα στὴν ψυχή του χωρισμένες τὶς κακίες ἀπὸ τὴν ἀρετή. Γιατί, ὅταν τὸ λογικὸ μέρος τῆς ψυχῆς ἐνεργεῖ τὰ ἔργα του δὲν ἐμποδίζεται σὲ κανένα ἀπὸ τὰ ἀγαθά, ὅταν ὅμως ἐπικρατεῖ τὸ ἄλογο μέρος τῆς ψυχῆς, ποὺ εἶναι ἀνάμικτο ἀπὸ ὕλη καὶ σῶμα, τότε ἐμποδίζεται τὸ λογικὸ νὰ ἐνεργεῖ τὰ οἰκεῖα του ἔργα. Μεταβάλλεται δηλαδὴ σὲ κακὸ τὸ ἄλογο ἀπὸ τὴν ἐπιμιξία του μὲ τὴν ὕλη, ἐνῶ τὸ λογικὸ δὲν γίνεται κακὸ ἀπὸ τὴν ἀνάμιξή του μὲ τὴν ὕλη, ἀλλὰ ἐπειδὴ κλίνει πρὸς τὴν ὕλη, δηλαδὴ μὲ τὸ νὰ ἐνδίδει στὸ ἄλογο καὶ νὰ μὴν τὸ ἐξουσιάζει, ὅπως τὸ μάτι ἐμποδίζεται νὰ βλέπει ὅταν ὑπάρχει σκοτάδι. Αὐτὸ λοιπὸν δὲν ἀποδεικνύει ὅτι ὑπάρχει τὸ αὐτοκακό· γιατὶ αὐτὸ ποὺ εἶναι κακὸ ὡς πρὸς κάτι δὲν εἶναι καὶ τὸ αὐτοκακό, ἀλλὰ καὶ ἡ κακία εἶναι εἶδος, ἐπειδὴ εἶναι καὶ συμβεβηκὸς τοῦ κακοῦ. Γιατὶ μὲ τὶς προσθῆκες γίνεται ἕνα συγκεκριμένο ὂν (τόδε τι), ὅπως γιὰ παράδειγμα ἡ ἀδικία τῆς ψυχῆς εἶναι κακία, καὶ πάλι εἴδη τῆς ἀδικίας εἶναι ἀνάλογα μὲ τὴν ὕλη τῆς ἐπιθυμίας, ποὺ ἄλλοτε εἶναι τὰ χρήματα, ἄλλοτε οἱ τιμές. Γίνεται ἐπίσης εἴδη κακῶν καὶ μὲ προσθῆκες καὶ ἀπὸ τὰ μέρη τῆς ψυχῆς. Ἡ δειλία δηλαδὴ ἢ ἡ θρασύτητα γίνονται ἀπὸ τὸ θυμικό, ἐνῶ ἡ ἀκολασία ἢ ἡ ἠλιθιότητα (ἀνοησία) ἀπὸ τὸ ἐπιθυμητικό. Εἴδη κακῶν γίνονται καὶ ἀπὸ τὶς ἐνέργειες· ἡ δειλία δηλαδὴ εἶναι κατὰ κάποιο τρόπο ἔλλειψη πρὸς ὁρμητικότητα, τὸ θράσος εἶναι ὑπερβολὴ πρὸς ὁρμητικότητα, ἐνῶ ἡ ἀκολασία προέρχεται ἀπὸ τὸ πάθος. Ἔγινε λοιπὸν σαφές, πῶς μέσα στὴν ψυχή, προτοῦ ἀκόμα ἐκδηλωθοῦν στὴν πράξη, διακρίνονται οἱ κακίες ἀπὸ τὶς ἀρετές, μέσω τοῦ ἀλόγου καὶ τοῦ λογικοῦ ποὺ εἶναι μέρη τῆς ψυχῆς. Οἱ ἐνέργειες αὐτὲς τοῦ ἀλόγου μέρους μᾶς δείχνουν καὶ ἄλλο νόμο ποὺ ἀντιστρατεύεται στὸ νοῦ, ὅπως

στολος, καὶ ἐν τῷ μὴ κρατεῖσθαι αἰχμαλωτεύοντα τὸ λογικόν, ὡς ἀπεδείξαμεν.

Πρὸς τὸν λόγον: Ἀντὶ τοῦ, πρὸς τὸ λογικὸν τῆς ψυχῆς μέρος.

Καὶ εἰ φθορά ἐστι τῶν ὄντων: Ἀντὶ τοῦ, εἰ ἐν τοῖς οὖσι τὸ φθείρεσθαι ὁρᾶται, ἤγουν εἴ τινα τῶν ὄντων ὑπόκειται φθορᾷ, ἐκ τούτου δείκνυται τὸ εἶναι τὸ κακόν· τὸ γὰρ 'οὐκ ἐκβάλλει', τοῦτο δηλοῖ.

Ἢ οὐχὶ πολλάκις: Ἔτι τῆς ἀντιθέσεώς εἰσι καὶ ταῦτα, ὅτι μᾶλλον καὶ ἐν τοῖς οὖσίν ἐστι, καὶ ὂν τὸ κακόν· κἂν γὰρ τὸ κακὸν φθορά ἐστι τῶν ὄντων, ἀλλ' οὖν ἡ φθορὰ αὕτη, ἕτερον ἔσθ' ὅτε εἰς γένεσιν ἄγει, οἷον τὸ ᾠὸν φθείρεται μέν, μεταστοιχειοῦται δὲ εἰς πτηνόν· καὶ ὁ κύαμος δέ, καταμασσόμενος καὶ ἐν τῇ γῇ κρυπτόμενος, μετασχηματίζεται εἰς ἐμβρύου εἶδος· καὶ τὰ σώματα δὲ ἡμῶν εἰς σκώληκας, καὶ ἕτερα ζῶα, καὶ ἄλλα μυρία τοιαῦτα, ὡς ἵπποι μὲν σφηκῶν γένεσις, ταῦροι δὲ μελισσῶν.

Καὶ ἔσται τὸ κακόν: Λύσις τῶν προβληθεισῶν ἀντιθέσεων, εἰ ἡ φθορὰ κακόν, φθείρει δὲ ἡ φθορὰ καὶ τὸ κακόν, πῶς ἔσται τὸ κακὸν αὐτὸ ἑαυτὸ φθεῖρον; Εἰ γὰρ ἐν τῇ ὕλῃ τὸ κακόν, εὔδηλον, ὡς τὸ εὐφθαρτότερον· ὕλη δέ ἐστι, καὶ τοῦτο ἑαυτὸ φθείρει· διὰ τοῦτο γὰρ ἡ ὕλη καὶ ἀνούσιος λέγεται κατὰ ἀντιπαράθεσιν τῆς ὑπερουσίου τοῦ Θεοῦ οὐσίας, ὡς αὐτὴ φθαρτὴ οὖσα, καὶ οὐκ ἀεὶ οὖσα, καὶ ἀνείδεος κατὰ ἀντιπαράθεσιν τοῦ εἴδους τοῦ Θεοῦ, ὡς ἐκάλεσε Μωϋσῆς τὸν δημιουργὸν Λόγον. Καὶ μὴ ὂν δὲ λέγεται ἡ ὕλη κατὰ ἀντιπαράθεσιν τῆς θείας κατὰ οὐσίαν ὑπάρξεως.

§ 20. Ἧι κακόν: Τὸ 'ᾗ κακὸν' ἀντὶ τοῦ καθ' ὃ κακόν.

λέει ὁ Ἀπόστολος[18], καί, ὅπως ἀποδείξαμε, ἂν δὲν κρατηθεῖ, αἰχμαλωτίζει τὸ λογικό.

Πρὸς τὸν λόγον: Ἀντὶ νὰ πεῖ, πρὸς τὸ λογικὸ μέρος τῆς ψυχῆς.

Καὶ εἰ φθορά ἐστι τῶν ὄντων: Ἀντὶ νὰ πεῖ, ἂν ἐκδηλώνεται ἡ φθορὰ μέσα στὰ ὄντα, δηλαδὴ ἂν κάποια ἀπὸ τὰ ὄντα ὑπόκεινται στὴ φθορά, ἀπὸ αὐτὸ ἀποδεικνύεται ὅτι ὑπάρχει τὸ κακό· αὐτὸ δηλώνει ἡ διατύπωση 'δὲν τὸ διώχνει'.

Ἢ οὐχὶ πολλάκις: Στοιχεῖα τῆς ἀντίθεσης εἶναι κι αὐτά, ὅτι μᾶλλον ὑπάρχει καὶ μέσα στὰ ὄντα καὶ ὅτι εἶναι ὂν τὸ κακό. Κι ἂν ἀκόμα δηλαδὴ εἶναι τὸ κακὸ φθορὰ τῶν ὄντων, ὅμως αὐτὴ ἡ φθορὰ μερικὲς φορὲς ὁδηγεῖ κάποιο ὂν στὴ γένεση, ὅπως τὸ αὐγὸ ποὺ φθείρεται βέβαια, μεταβάλλεται ὅμως σὲ πουλί· καὶ τὰ κουκιὰ ἐπίσης σπαρμένα καὶ κρυμμένα μέσα στὴ γῆ μετασχηματίζονται σ' ἕνα εἶδος ἐμβρύου, καὶ τὰ σώματά μας σὲ σκουλήκια, καὶ ἄλλα ζῶα καὶ ἄλλα μύρια τέτοια, ὅπως τὰ ἄλογα γεννοῦν τὶς σφῆκες καὶ οἱ ταῦροι τὶς μέλισσες.

Καὶ ἔσται τὸ κακόν: Ἐδῶ λύονται οἱ ἀντιθέσεις ποὺ προβλήθηκαν· ἂν ἡ φθορὰ εἶναι κακὸ καὶ ἡ φθορὰ φθείρει καὶ τὸ κακό, πῶς συμβαίνει τὸ κακὸ νὰ φθείρει τὸν ἑαυτό του; Ἂν δηλαδὴ τὸ κακὸ βρίσκεται στὴν ὕλη, εἶναι προφανὲς πὼς εἶναι τὸ πιὸ εὔφθαρτο· εἶναι ὕλη καὶ τὸ κακὸ φθείρει τὸν ἑαυτό του. Γι' αὐτὸ βέβαια ἡ ὕλη καὶ λέγεται ἀνούσια σὲ ἀντιπαράθεση πρὸς τὴν ὑπερούσια οὐσία τοῦ Θεοῦ, ἐπειδὴ αὐτὴ εἶναι φθαρτὴ καὶ δὲν ὑπάρχει πάντοτε καὶ εἶναι ἄμορφη, σὲ ἀντιπαράθεση μὲ τὴ μορφὴ τοῦ Θεοῦ, ὅπως κάλεσε ὁ Μωυσῆς τὸν δημιουργὸ Λόγο. Ἡ ὕλη ἐπίσης λέγεται καὶ μὴ ὂν κατὰ ἀντιπαράθεση τῆς θείας ἐνούσιας ὕπαρξης.

§ 20. Ἦι κακόν: Τὸ 'ᾗ κακὸν' ἔχει τεθεῖ ἀντὶ τοῦ 'ὡς κακὸ ποὺ εἶναι'.

---

18. Ρωμ. 7,23.

Μᾶλλον δέ. Σημείωσαι, ὅτι καὶ ἐν τοῖς θείοις λόγοις ἀκώλυτος ἡ ἐξ ἐπιλογισμοῦ τῶν ἀκριβεστέρων παράδοσις· ἰδοὺ γάρ, ὡς ὁρᾷς, μετὰ τὴν ἔκθεσιν τῆς προτέρας γνώμης ἐξ ἐπιλογισμοῦ τὰ ἀκριβέστερα παραδίδωσιν.

Καὶ ἀμιγῆ καὶ ὁλόκληρα: Τὰ μὲν ἀμιγῆ ἀγαθὰ καὶ ὁλοτελῆ ἐκ τοῦ ἀγαθοῦ ἐγγίνεται τοῖς ὑπερκοσμίοις νοητοῖς, ἅτε καὶ ἀσωμάτοις, τὰ δὲ μεμιγμένα ἀγαθὰ περὶ τὰ λογικὰ σώματα θεωρεῖται, τουτέστιν ἐν ἡμῖν, τοῦ μὲν ἀλόγου τῆς ψυχῆς μέρους, ὡς εἴρηται, μετέχοντος ὕλης διὰ τοῦ σώματος τοῦ εἴδους μετέχοντος, τοῦ δὲ λογικοῦ μέρους, ῥέποντος πρὸς τὸ ἄλογον καὶ ἐνδιδόντος ἔσθ' ὅτε αὐτῷ, καὶ διὰ τοῦτο πρὸς ὕλην νεύοντος· τὸ μὲν γὰρ αὐτόκακον δεῖ θεωρεῖν αὐτοάμετρον, αὐτοανείδεον, ἑαυτῷ κακὸν οὐσιῶδες, οὐ μὴν ἑτέρῳ κακόν· τοῦτο γὰρ εἶδός ἐστι καὶ συμβεβηκὸς κακίας. Δεῖ οὖν τὸ κακὸν τοιοῦτόν τι εἶναι, οἷον ἔφην, ὥσπερ ὁ Θεὸς πάντων αὐτοπέρας καὶ αὐτόμετρον, καὶ αὐτοειδοποιόν, καὶ αὐτοαγαθὸν οὐσιῶδες· οὐ γὰρ λέγω νῦν τῷ ἑτέρῳ ἀγαθόν· συμβεβηκὸς γὰρ τοῦτο· πῶς οὖν ἔσται τὸ κακὸν οὐσιῶδες καὶ ἑτέροις, πάντων καθάπαξ τῶν ὄντων μεμιγμένως κακυνομένων καὶ ἐχόντων τὸ εἶναι ἐν τῷ ἀγαθῷ, οὐδενὸς κατὰ τὸ παντελὲς ἀμετόχου ὄντος τοῦ ἀγαθοῦ, ἀλλὰ πάντων πρὸς τὴν ἰδίαν ἐπιτηδειότητα μετεχόντων τοῦ ἀγαθοῦ; Τὸ οὖν κακὸν οὐκ ἐν ὑπάρξει, ἀλλ' ἐν παρεισδύσει, ἐν τῇ τοῦ ἀγαθοῦ στερήσει φαινόμενον.

Ἐκτείνεται δὲ ἄχρι τῶν ἐσχάτων: Ἔσχατον νοητέον τὰ ὑλικὰ σώματα καὶ γηΐνα· ὥσπερ γὰρ πάντων ἀρχὴ ὁ Θεός, ὡς καὶ ἤδη ἔφημεν, οὕτω πάντων ἔσχατον τὸ σκυβαλῶδες τοῦτο τὸ παχὺ τῆς ὕλης μέρος καὶ γεῶδες· ὅθεν καὶ ὑποπόδιον λέγεται τοῦ Θεοῦ, ὡς καὶ ἔσχατον, καὶ ὅμως μετέχον ἀγαθότητος αὐτοῦ, ὡς καὶ φέρον αὐτὸν ἐσχάτως· λέγει γὰρ καὶ ἡ Σοφία· «βρίθει γὰρ τὸ γεῶδες τοῦτο σκῆνος νοῦν πολυφρόντιδα», ὡς τοῦ ἀλόγου τῆς ψυχῆς μέρους μεμιγμένου τῷ ὑλικῷ σώματι, καὶ κατακρατοῦντος ἔσθ' ὅτε τοῦ λογικοῦ τῆς ψυχῆς·

---

19. Σοφ. Σολ. 9,15.

Μᾶλλον δέ: Σημείωσε, ὅτι καὶ στοὺς θείους λόγους δὲν ἀπαγορεύεται ἡ παράδοση τῶν ἀκριβέστερων μὲ συλλογισμούς. Γιατὶ νά, βλέπεις ὅτι, μετὰ τὴν ἔκθεση τῆς προηγούμενης γνώμης, παραδίδει τὰ ἀκριβέστερα μὲ συλλογισμό.

Καὶ ἀμιγῆ καὶ ὁλόκληρα: Τὰ ἁπλὰ καὶ τελείως ἀγαθὰ δημιουργοῦνται μέσα στὰ ὑπερκόσμια νοητά, ἐπειδὴ εἶναι καὶ ἀσώματα, ἀπὸ τὸ ἀγαθό, τὰ μικτὰ ὅμως ἀγαθὰ θεωροῦνται σχετικὰ μὲ τὰ λογικὰ σώματα, δηλαδὴ μέσα σ' ἐμᾶς, καθὼς τὸ ἄλογο μέρος τῆς ψυχῆς, ὅπως εἶπα, ποὺ μετέχει τῆς ὕλης, μὲ τὸ σῶμα μετέχει τῆς μορφῆς, ἐνῶ τὸ λογικὸ μέρος, ποὺ ρέπει πρὸς τὸ ἄλογο κι ἐνίοτε ὑποχωρεῖ σ' αὐτό, κλίνει ἐξαιτίας αὐτοῦ πρὸς τὴν ὕλη. Τὸ αὐτοκακὸ βέβαια πρέπει νὰ τὸ νοοῦμε ὡς ἀπὸ τὸν ἑαυτό του ἄμετρο, ἄμορφο, κακὸ ἀπὸ τὴν ἴδια του οὐσία, ὄχι ὅμως κακὸ ἀπὸ ἄλλο· γιατὶ αὐτὸ εἶναι μορφὴ καὶ συμβεβηκὸς τῆς κακίας. Πρέπει λοιπὸν τὸ κακὸ νὰ εἶναι κάτι τέτοιο, ὅπως εἶπα, ὅπως ὁ Θεὸς εἶναι ἀπὸ τὸν ἑαυτό του τὸ πέρας τῶν ὅλων, καὶ τὸ μέτρο, καὶ τὸ μορφοποιό, καὶ στὴν οὐσία αὐτοαγαθό. Δὲν λέγω τώρα ἀγαθὸ χάρη σὲ κάποιο ἄλλο, γιατὶ αὐτὸ εἶναι συμβεβηκός. Πῶς λοιπὸν θὰ εἶναι τὸ κακὸ μὲ δική του οὐσία καὶ ἐξαιτίας κάποιου ἄλλου, ἀφοῦ συλλήβδην ὅλα τὰ ὄντα γίνονται κακὰ ἀπὸ μίξη καὶ ἔχουν τὸ εἶναι τους μέσα στὸ ἀγαθό, ἐφόσον τίποτε δὲν εἶναι τελείως ἀμέτοχο ἀπὸ τὸ ἀγαθό, ἀλλὰ μετέχουν ὅλα τὸ ἀγαθὸ ἀνάλογα μὲ τὴ δεκτικότητά τους; Τὸ κακὸ λοιπὸν δὲν ἔχει ὕπαρξη, ἀλλὰ παρεισδύει καὶ ἀναφαίνεται ὅταν συμβαίνει στέρηση τοῦ ἀγαθοῦ.

Ἐκτείνεται δὲ ἄχρι τῶν ἐσχάτων: Ὡς ἔσχατα νὰ νοήσομε τὰ ὑλικὰ καὶ γήινα σώματα. Ὅπως ἀκριβῶς δηλαδὴ ὅλων ἀρχὴ εἶναι ὁ Θεός, ὅπως ἤδη ἔχομε πεῖ, ἔτσι ἔσχατο ὅλων εἶναι τὸ παχὺ αὐτὸ στοιχεῖο τῆς ὕλης, σκύβαλα στ' ἀλήθεια καὶ χῶμα, καὶ γι' αὐτὸ λέγεται ὑποπόδιο τοῦ Θεοῦ, καθὼς καὶ ἔσχατο, καὶ ὅμως μετέχει τῆς ἀγαθότητάς του, καὶ τὸν μεταφέρει στὰ ἔσχατα. Γιατὶ λέει ἡ Σοφία τοῦ Θεοῦ· «εἶναι γεμάτο τὸ χωμάτινο τοῦτο σκήνωμα ἀπὸ τὶς πολλὲς φροντίδες τοῦ νοῦ»[19], ἐπειδὴ τὸ ἄλογο μέρος τῆς ψυχῆς εἶναι ἀναμιγμένο μὲ τὸ ὑλικὸ σῶμα καὶ μερικὲς φορὲς νικᾶ τὸ λογικὸ μέρος τῆς ψυχῆς.

Παρέστι τἀγαθόν: Ὅσον γὰρ ἐπὶ τὸ παχύτερον καὶ ὑλικώτερον ὑποβαίνει τὰ ἐν δημιουργίᾳ, τοσοῦτον κατὰ στέρησιν καὶ ἔλλειψιν τοῦ ἀγαθοῦ ἧττον μετέχει, ὡς ἐξ ἀμυδροῦ καὶ ἐσχάτου ἀπηχήματος· ὡς γὰρ ἔφημεν, ἤδη ὑπόθου τινὰ βοῆσαι μέγα· καὶ τοὺς μὲν πλησίον ὄντας καὶ ἐρρωμένους τὸ ἀκουστικὸν ὅλην δέξασθαι τὴν βοὴν καὶ γνῶναι καὶ τὸ λαληθέν, τοὺς δὲ ἀφεστηκότας ἀναλόγως τῇ διαστάσει ἧττον ἀκοῦσαι τοῦ φθέγματος, τοὺς δὲ πάνυ πόρρω διεστηκότας ἀμυδρότατα ὡς ἀπηχήματος ὑστάτου ποσῶς αἰσθέσθαι.

Καὶ τὴν ἑαυτοῦ στέρησιν: Τὸ μὴ ὅλως ἐστερημένον τοῦ καλοῦ, ἀλλὰ μερικῶς, καὶ αὐτὸ τὸ ἐστερημένον τοῦ ἀγαθοῦ, συνεστάναι ποιεῖ, τῷ ὅλως κατά τι μετέχειν τοῦ ἀγαθοῦ· οὐ γὰρ ἡ μερική, ἀλλ' ἡ παντελὴς ἔλλειψις τοῦ ἀγαθοῦ ἐστι τὸ κακόν.

Καὶ τὰ μαχόμενα αὐτῷ: Ὅρα πῶς φησιν, ὅτι καὶ τὰ μαχόμενα τῇ δυνάμει τοῦ ἀγαθοῦ δι' αὐτοῦ ὑπέστη καὶ σῴζεται. Οὐκοῦν αἴτιος τῶν κακῶν ὁ Θεός; Μὴ γένοιτο! Ὁ μὲν γὰρ Θεός, ὡς πάντων ἀρχὴ καὶ δημιουργός, δι' ὑπερβολὴν ἀγαθότητος καὶ δι' ἀγάπην ἄφατον, καὶ ἁμαρτωλῶν ἀνέχεται, ἵνα καὶ τὴν ἰδίαν δείξῃ φιλανθρωπίαν, καὶ τὸ τοῦ πλάσματος αὐτεξούσιον· εἴρηται γάρ· «ἡ ἀγάπη πάντα στέγει»· καὶ πάλιν· «ὁ ἀνατέλλων τὸν ἥλιον αὐτοῦ ἐπὶ δικαίους καὶ ἀδίκους».

Τὸ δὲ κατὰ πάντα τρόπον». Τὸ προκείμενον αὐτῷ ἐστιν ἀποδεῖξαι, ὅτι οὐκ ἔστιν οὐσία τὸ ἁπλῶς αὐτόκακον· καί φησιν, ὅτι οὐδὲν τῶν ἐν τοῖς οὖσι καὶ ἐν δημιουργίᾳ ἀμέτοχόν ἐστι παντελῶς τοῦ ἀγαθοῦ· τὰ γὰρ πάντῃ ἄμοιρα τοῦ ἀγαθοῦ, ὡς μηδὲ παραχθέντα ὑπὸ τοῦ ἀγαθοῦ, οὔτε εἰσί. Τίς ἄλλος δημιουργός; Ἀλλ' οὔτε δύναταί τι ὑφεστάναι, μὴ τῆς ἕξεως,

Πάρεστι τἀγαθόν: Ὅσο τὰ δημιουργήματα κατεβαίνουν σὲ φύση παχύτερη καὶ ὑλικότερη, τόσο λιγότερο μετέχουν τὸ ἀγαθὸ λόγω στέρησης καὶ ἔλλειψής του, ἔχοντάς το σὰν ἕνα ἀπήχημα ἀμυδρὸ καὶ ἔσχατο. Ὑπόθεσε δηλαδή, ὅπως εἴπαμε, ὅτι κάποιος φώναξε δυνατά. Ὅλοι ὅσοι εἶναι κοντὰ κι ἔχουν δυνατὴ ἀκοὴ δέχθηκαν ὅλη τὴ φωνὴ καὶ κατάλαβαν ἐκεῖνο ποὺ εἶπε, ὅσοι ὅμως ἦταν μακριὰ ἀνάλογα μὲ τὴν ἀπόσταση ἄκουσαν λιγότερο ἐκεῖνο ποὺ εἰπώθηκε· ὅσοι πάλι βρίσκονταν σὲ πολὺ μακρινὴ ἀπόσταση τὸ ἄκουσαν πολὺ ἀμυδρά, σὰν ἕνα ἐλάχιστο ἀπήχημα.

Καὶ τὴν ἑαυτοῦ στέρησιν: Ὅποιο δὲν ἔχει στερηθεῖ ἐντελῶς τὸ καλὸ ἀλλὰ μερικῶς, κάνει κι αὐτὸ ποὺ στερεῖται τὸ ἀγαθὸ νὰ παίρνει ὑπόσταση μὲ τὸ νὰ μετέχει γενικὰ σὲ κάποιο βαθμὸ τὸ ἀγαθό. Γιατὶ δὲν εἶναι κακὸ ἡ μερική, ἀλλὰ ἡ πλήρης ἔλλειψη τοῦ ἀγαθοῦ.

Καὶ τὰ μαχόμενα αὐτῷ: Πρόσεχε πῶς λέει, ὅτι καὶ ὅσα μάχονται τὴ δύναμη τοῦ ἀγαθοῦ μέσω αὐτοῦ ἔλαβαν τὴν ὑπόστασή τους καὶ σώζονται. Αἴτιος λοιπὸν τῶν κακῶν εἶναι ὁ Θεός; Μακριὰ μιὰ τέτοια σκέψη! Γιατὶ ὁ Θεός, ὡς ἀρχὴ ὅλων καὶ δημιουργός, ἀπὸ ὑπερβολικὴ ἀγαθότητα καὶ ἀπερίγραπτη ἀγάπη ἀνέχεται καὶ τοὺς ἁμαρτωλούς, γιὰ νὰ δείξει καὶ τὴ δική του φιλανθρωπία, καὶ τὴν αὐτεξουσιότητα τοῦ πλάσματός του. Γιατὶ ἔχει λεχθεῖ· «ἡ ἀγάπη ὅλα τὰ ἀνέχεται»[20]· καὶ πάλι· «Αὐτὸς ποὺ ἀνατέλλει τὸν ἥλιο του σὲ δίκαιους καὶ ἄδικους»[21].

Τὸ δὲ κατὰ πάντα τρόπον: Αὐτὸ ποὺ ἔχει ν' ἀποδείξει εἶναι ὅτι τὸ καθεαυτὸ αὐτοκακὸ δὲν εἶναι οὐσία, καὶ λέει ὅτι κανένα ὂν καὶ κανένα δημιούργημα δὲν εἶναι τελείως ἀμέτοχο ἀπὸ τὸ ἀγαθό. Γιατὶ τὰ ἐντελῶς ἄμοιρα ἀπὸ τὸ ἀγαθὸ οὔτε κὰν ὑπάρχουν, ἐπειδὴ δὲν ἔχουν παραχθεῖ ἀπὸ τὸ ἀγαθό. Ποιός ἄλλος νὰ εἶναι δημιουργός τους; Ἀλλ' οὔτε μπορεῖ κάτι νὰ ἔχει ὑπό-

20. Α' Κορ. 13,7.
21. Ματθ. 5,45.

ἤτοι ποιότητος, τοῦ ἀγαθοῦ μετέχον κατὰ συμβεβηκός· πολλὰ μὲν γὰρ καὶ καταλειφθέντα ὑπὸ τῆς προσγενομένης ἕξεως, ἤτοι ποιότητος, μένει συνεστῶτα· οἷον ὁ σίδηρος πυρωθεὶς καὶ θερμότητος ἄκρας μεταλαβών, σβεσθέντος τοῦ πυρός, μένει ὅπερ ἦν· καὶ τὸ ὕδωρ καθ' ἑαυτὸ μὲν τὸ στοιχεῖον ἄποιον λέγεται εἶναι, διὰ δὲ γῆς παριόν, ἐκεῖθεν ποιοῦται· καὶ ὅμως μετοχετευθέν, παύεται τῆς ποιότητος, καὶ ἔτι συνέστηκεν· οὕτω καὶ τὰ χιονιζόμενα καὶ ψυχόμενα, παυσαμένης τῆς ψυχρότητος, ἔτι συνέστηκεν. Ἀλλὰ καὶ τὰ ζωῆς ἄμοιρα, ὡς δένδρα, καὶ λίθοι, καὶ ἄστρα, καὶ τὰ νοῦ, ὡς τὰ κτήνη, ὅμως ὑφίσταται. Καὶ οὐσίας δὲ ὁ Θεὸς ἐξῄρηται ὑπερούσιος ὤν, καὶ ὅμως ἐστὶ καὶ πρόεστιν· οὕτω δὲ καὶ οὐκ ἔστιν εἰπεῖν ἐπὶ τοῦ ἀγαθοῦ· εἰ μὴ γὰρ μετέχοι ποιότητος τοῦ ἀγαθοῦ, ἐν ᾧ συνίστασθαι χρή, οὐ δύναται ὑφεστάναι· «ἐν αὐτῷ γὰρ ζῶμεν καὶ ἐσμέν», ὥς φησιν ὁ Ἀπόστολος. Τί οὖν; ὁ ἀκόλαστος ἐν τῷ ἀκολασταίνειν οὐκ ἐστέρηται τοῦ ἀγαθοῦ; καὶ ὅμως ὑφέστηκε· καὶ φησὶ μὲν κατ' αὐτὸ τὸ ἀκολασταίνειν, ὡς ἐν στερήσει ὢν τοῦ ἀγαθοῦ κυρίως οὐκ ἔστιν, ἀλλ' οὔτε ὄντων ἐκθυμεῖ· τί γάρ ἐστιν αὐτοακολασία δίχα τοῦ εἴδους τοῦ ἀκολασταίνειν; Ὅμως, ἐπειδὴ κατὰ ψευδοδοξίαν δοκεῖ αὐτὸς ἀγαθοῦ τινος ἔχεσθαι καὶ ἡνῶσθαι κατὰ φιλίαν τῷ συμφθειρομένῳ αὐτῷ, κἂν διεφθαρμένη δοκῇ ἡ φιλία εἶναι, ὅμως τοῦ θείου ἔρωτος ἀμυδρόν ἐστιν ἀπήχημα, καὶ διὰ τοῦ ἀγαθοῦ φαντασίαν ἔχει· οὐ γὰρ δεῖ ἀγνοεῖν, ὅτι, ὅταν κρατηθῇ ὑπὸ τοῦ ἀλόγου μέρους τὸ λογικὸν τῆς ψυχῆς, ἐμποδίζεται μὲν τὰ οἰκεῖα ἐνεργεῖν, συνδοξάζει δὲ οὕτω λοιπὸν τῷ ἀλόγῳ,

σταση, ἂν δὲν μετέχει τὴν ἕξη, δηλαδὴ τὴν ποιότητα τοῦ ἀγαθοῦ, κατὰ συμβεβηκός. Γιατὶ πολλὰ ἀκόμα κι ὅταν χάσουν τὴν ἕξη, δηλαδὴ τὴν ποιότητα, ἐξακολουθοῦν νὰ διατηροῦν τὴ σύστασή τους. Ὁ σίδηρος γιὰ παράδειγμα ὅταν πυρωθεῖ καὶ λάβει τὴν στὸ τέρμα θερμότητα, ὅταν σβήσει ἡ φωτιά, μένει αὐτὸ ποὺ ἦταν. Καὶ τὸ νερὸ πάλι καθεαυτὸ τὸ στοιχεῖο λέγεται πὼς εἶναι ἄποιο, ὅταν ὅμως περάσει μέσα ἀπὸ τὴ γῆ, παίρνει ποιότητα ἀπὸ ἐκεῖ· περνώντας ὅμως ἀπὸ ἀλλοῦ χάνει τὴν ποιότητά του, ἀλλὰ διατηρεῖται ἀκόμα. Ἔτσι καὶ ὅσα δέχονται τὴν ἐπίδραση τοῦ χιονιοῦ καὶ τοῦ ψύχους, ὅταν παύσει ἡ ψυχρότητα ἐξακολουθοῦν νὰ διατηροῦνται. Ἀλλὰ καὶ ὅσα στεροῦνται τὴ ζωή, ὅπως τὰ δέντρα καὶ οἱ πέτρες καὶ τ' ἄστρα, καὶ ὅσα εἶνα ἄμοιρα νοῦ, ὅπως τὰ ζῶα, ὅμως ὑπάρχουν. Ἀλλὰ καὶ ὁ Θεὸς εἶναι ἔξω ἀπὸ τὴν οὐσία, ἐπειδὴ εἶναι ὑπερούσιος, καὶ ὅμως ὑπάρχει καὶ ὑπάρχει ἀπὸ πρῶτα. Δὲν μπορεῖς ὅμως νὰ πεῖς τὸ ἴδιο καὶ γιὰ τὸ ἀγαθό. Γιατί, ἂν δὲν μετέχει τὴν ποιότητα τοῦ ἀγαθοῦ, μέσα στὸ ὁποῖο πρέπει νὰ ἔχει τὴ σύστασή του, δὲν μπορεῖ νὰ ὑπάρχει. Γιατί, ὅπως λέει ὁ Ἀπόστολος, «μέσα σ' αὐτὸν ζοῦμε καὶ ὑπάρχομε»[22]. Τί λοιπόν; ὁ ἀκόλαστος ζώντας μέσα στὴν ἀκολασία του, δὲν στερεῖται τὸ ἀγαθό; Καὶ ὅμως ὑπάρχει. Καὶ λέει ὅτι δὲν ὑπάρχει ὡς πρὸς αὐτὴν τὴν ἴδια τὴν ἀκολασία, γιατί, ἐπειδὴ στερεῖται τὸ ἀγαθό, στὴν κυριολεξία δὲν ὑπάρχει, ἀλλ' οὔτε ὅσα ὑπάρχουν ἐπιθυμεῖ. Τί εἶναι δηλαδὴ ἡ αὐτοακολασία χωρὶς τὸ εἶδος τῆς ἀκολασίας; Ἐπειδὴ ὅμως ἀπὸ μιὰ ψεύτικη ἰδέα νομίζει αὐτὸς ὅτι ἔχει κάποιο ἀγαθὸ κι ὅτι ἔχει ἑνωθεῖ μὲ φιλία μ' αὐτὸ ποὺ συμφθείρεται μαζί του, ἀκόμα κι ἂν ἡ φιλία φαίνεται πὼς εἶναι διαστρεβλωμένη, εἶναι ὡστόσο κάποιο ἀμυδρὸ ἀπήχημα τοῦ θείου ἔρωτα κι ἔχει μιὰ φαντασία τοῦ ἀγαθοῦ. Γιατὶ δὲν πρέπει ν' ἀγνοοῦμε ὅτι, ὅταν τὸ λογικὸ μέρος τῆς ψυχῆς ἀχμαλωτισθεῖ ἀπὸ τὸ ἄλογο, ἐμποδίζεται τότε νὰ ἐκτελεῖ

22. Πράξ. 17,28.

ὡς μήτε κρατεῖν αὐτοῦ τῶν ὁρμῶν, μήτε συμψηφίζεσθαι ταῖς πράξεσιν· αἱ γὰρ ψευδοδοξίαι οὔκ εἰσι τοῦ λογικοῦ δόξαι, οὔτε αἱ ψευδεῖς διάνοιαι τῶν διανοιῶν τοῦ λογικοῦ μέρους· οὔτε γὰρ διάνοιαι κυρίως αἱ ψευδεῖς. Ἔνθεν καὶ ὁ θυμικὸς ἔσθ' ὅτε ἐσφαλμένως ἐπέξεισιν· ὅμως οὐκ ἄμοιρος ἀγαθοῦ, δοκῶν ἐπὶ διορθώσει τοῦ κολαζομένου τῷ θυμῷ χρῆσθαι, καὶ ὁ αἰσχρὸς οὕτως ὑπονοῶν ἀγαθὸν τέλος τὴν ἡδονήν. Ἐκ τούτου οὖν καὶ οἱ θεομαχοῦντες, διὰ τὸ ὅλως εἶναι ὑπὸ τοῦ ἀγαθοῦ, συγχωροῦνται· τὸ γὰρ μὴ ἐστερημένον τοῦ καλοῦ, ἀλλὰ μερικῶς αὐτὸ τὸ ἐστερημένον τοῦ ἀγαθοῦ συνεστάναι, ποιεῖ τὸ ὅλως μετέχειν τι τοῦ ἀγαθοῦ. Οὐ γὰρ ἡ μερική, ἀλλ' ἡ παντελὴς ἄλλειψις τοῦ ἀγαθοῦ ἐστι τὸ κακόν· καὶ οὐ τὸ μερικῶς, ἀλλὰ τὸ παντελῶς τοῦ ἀγαθοῦ ἐστερημένον, τοῦτο οὔτε ἦν, οὔτε ἐστίν, οὔτε ἔσται, οὔτε εἶναι δύναται.

Οὔτε ὄντων ἐπιθυμεῖ: Ὅτι ὁ ἀκόλαστος, εἰ καὶ κατὰ τὸ αὐτὸ τὸ ἀκολασταίνειν οὔτε ἐστὶν οὔτε ὄντων ἐπιθυμεῖ, ὅμως κατ' αὐτὸ τὸ τῆς ἐνώσεως καὶ φιλίας σχῆμα ἀμυδρῶς μετέχει τοῦ ἀγαθοῦ.

Πρὸς τὸ δοκοῦν καλόν: Σημείωσαι, ὅτι καὶ ὁ τῷ θυμῷ ἀποχρώμενος μετέχειν λέγεται τοῦ ἀγαθοῦ ἐν τῷ πρὸς διόρθωσιν κινεῖσθαι τῶν δοκούντων κακῶν· οὕτω καὶ ὁ χειρίστης, ἤγουν κακίστης ζωῆς ἐφιέμενος, μετέχει τοῦ ἀγαθοῦ ἐν τῷ τῆς ἀρίστης ζωῆς αὐτῷ δοκούσης ἐφίεσθαι· καὶ ὁ τὸ κακὸν δὲ μετιών, ἐν τῷ δοκεῖν καλὸν ποιεῖν, μετέχει τοῦ ἀγαθοῦ.

Καθ' ὅσον καὶ νόσος: Ἡ νόσος, εὔδηλον, ὡς ἔλλειψίς ἐστιν ὑγιείας, καὶ ὑπερβολὴ σωμάτων ἐνύλων, οὔτε μέτρον, οὔτε τάξιν ἐχομένη, ἀλλὰ δι' ἀκρασίας τῶν ὑλῶν μιᾶς ὑπὲρ τὴν εὔτακτον στασιαζούσης ποιούντων τὴν νόσον. Ἐπὶ τοσοῦτον

τὶς λειτουργίες του καὶ ἀσπάζεται στὸ ἑξῆς τὴ γνώση τοῦ ἀλόγου, ὥστε οὔτε τὶς ὁρμὲς ἐκείνου νὰ ὑποτάσσει, οὔτε τὶς πράξεις του νὰ ἐπιδοκιμάζει. Γιατὶ οἱ ψεύτικες δοξασίες δὲν εἶναι γνῶμες τοῦ λογικοῦ, οὔτε οἱ ψεύτικοι στοχασμοὶ εἶναι ἀπὸ τὶς σκέψεις τοῦ λογικοῦ μέρους· καθόσον δὲν εἶναι κυριολεκτικὰ σκέψεις οἱ ψεύτικες σκέψεις. Γι' αὐτὸ καὶ ὁ συναισθηματικὸς (θυμώδης) μερικὲς φορὲς ἐπιτίθεται ἐσφαλμένα· δὲν εἶναι ὅμως ἄμοιρος ἀπὸ ἀγαθό, νομίζοντας ὅτι χρησιμοποιεῖ τὸ θυμὸ γιὰ τὴ διόρθωση τοῦ τιμωρουμένου· τὸ ἴδιο καὶ ὁ ἀσελγὴς θεωρώντας τὴν ἡδονὴ ἀγαθὸ τέλος. Ἐξαιτίας αὐτοῦ λοιπὸν καὶ ὅσοι θεομαχοῦν συγχωροῦνται ἀπὸ τὸν ἀγαθό, γιὰ τὸ λόγο ὅτι ἁπλῶς ὑπάρχουν. Γιατὶ ὅποιο δὲν στερεῖται τὸ καλό, ἀλλ' ἔχει τὸ ἴδιο ποὺ στερεῖται τὸ ἀγαθὸ μιὰ μερικὴ μόνο ὕπαρξη, κάνει κάποιο νὰ μετέχει γενικὰ τὸ ἀγαθό. Γιατὶ τὸ κακὸ δὲν εἶναι ἡ μερική, ἀλλὰ ἡ πλήρης ἔλλειψη τοῦ ἀγαθοῦ. Καὶ ὄχι ὅποιο στερεῖται μερικῶς τὸ ἀγαθό, ἀλλ' ὅποιο τὸ στερεῖται τελείως αὐτὸ οὔτε ὑπῆρχε, οὔτε ὑπάρχει, οὔτε θὰ ὑπάρχει, καὶ οὔτε μπορεῖ νὰ ὑπάρχει.

Οὔτε ὄντων ἐπιθυμεῖ: Ἐννοεῖ ὅτι ὁ ἀκόλαστος, ἂν καὶ ὡς πρὸς αὐτὴν τὴν ἴδια τὴν ἀκολασία οὔτε ὑπάρχει οὔτε ἐπιθυμεῖ κάτι ποὺ ὑπάρχει, ὡστόσο ὡς πρὸς τὴν ἴδια τὴν ἕνωση καὶ τὴ φιλία ἔχει μιὰ ἀμυδρὴ μετοχὴ τοῦ ἀγαθοῦ.

Πρὸς τὸ δοκοῦν καλόν: Σημείωσε ὅτι κι αὐτὸς ποὺ κακῶς χρησιμοποιεῖ τὸ θυμὸ λέγεται ὅτι μετέχει τὸ ἀγαθὸ μὲ τὸ νὰ κινεῖται πρὸς διόρθωση τῶν κακῶν ποὺ νομίζει. Ἔτσι κι αὐτὸς ποὺ ἐπιθυμεῖ τὴ χείριστη, δηλαδὴ τὴν κάκιστη ζωή, μετέχει τὸ ἀγαθὸ μὲ τὸ νὰ ἐπιθυμεῖ τὴν ὅπως νομίζει ἄριστη ζωή. Ἀκόμη κι αὐτὸς ποὺ ἐπιδιώκει τὸ κακό, μὲ τὸ νὰ νομίζει ὅτι κάνει καλό, μετέχει τὸ ἀγαθό.

Καθ' ὅσον καὶ νόσος: Ἡ νόσος, προφανῶς, εἶναι ἔλλειψη ὑγείας, καὶ κάποια ὑπερβολὴ ὑλικῶν σωμάτων, ποὺ δὲν ἔχει οὔτε μέτρο οὔτε τάξη, ἀλλὰ μὲ τὴν ἀκατάστατη κράση τῶν ὑλῶν ἐπαναστατεῖ ἡ μία ἐναντίον τῆς κανονικῆς κράσης καὶ τὰ

μὲν οὖν ἡ νόσος ἐστιν ἐν τῷ σώματι, ἐφ' ὅσον ὁπωσοῦν ἡ τάξις ἐλλείποι καὶ τὸ σῶμα συνίσταται· εἰ γὰρ παντελὴς ἀμετρία λύσει τὸ σῶμα, τουτέστι τῶν ὑλῶν τὴν τάξιν, καὶ ἡ νόσος ἀφανίζεται, τοῦ σώματος λυομένου ἐν ᾧ συνεστήκει ἡ νόσος· οὕτω καὶ ἐπὶ τοῦ ἀγαθοῦ, ἐν ὅσῳ σῴζεται ἐν ἡμῖν, ἔχομεν ἐξουσίαν πράττειν καὶ τὸ κακόν· ἀφισταμένου γὰρ τοῦ ἀγαθοῦ, οὔτε κακὸν ἔστιν εὑρεῖν ἐν ἡμῖν.

Τὸ γὰρ πάντῃ ἄμοιρον: Ὁ σκοπὸς τοῦ θείου Διονυσίου ἐκ πολλῶν σαφής· μαχόμενος ταῖς τινων Ἑλλήνων δόξαις περὶ τοῦ κακοῦ, λέγει γὰρ μὴ εἶναι ὂν τὸ κακόν. Κακὸν γὰρ αὐτὸ καθάπαξ οὐσιῶδες οὐκ ἂν εἴη, εἰ μὴ τὸ κατὰ παντελῆ ἔλλειψιν τοῦ ἀγαθοῦ ὁλοσχερῶς ἄμοιρον ὂν τούτου· τοῦτο γὰρ οὐκ ἔστιν οὐδαμοῦ εὑρεῖν, οὐδὲ ἐν τῇ ὕλῃ αὐτῇ τῇ ἀνειδέῳ, κἂν τοῦτό τισι τῶν Ἑλλήνων δοκῇ· ὃ γὰρ ὅλως ὑπὸ Θεοῦ παρῆκται, κἂν ἀμυδρῶς καὶ ἐσχάτως, μετέσχε δ' οὖν ὅμως τοῦ ἀγαθοῦ. Τοῦτο δὲ προϊὼν ἐν τῷ δεκάτῳ κεφαλαίῳ τούτου τοῦ προβλήματος τελείως ἀποδείκνυσιν. Εἰ γὰρ μικτὸν εἴη τῷ ἀγαθῷ τὸ κακόν, τουτέστι, πῇ μὲν μὴ ὂν διὰ τῆς ἐπ' ὀλίγον ἐλλείψεως τοῦ ἀγαθοῦ, πῇ δὲ μὴ ὂν διὰ τὸ εἶναι ὅλως τὸν ποιοῦντα, οὐ κακὸν τοῦτο· οὐ γὰρ ἐν τῇ ὁπωσοῦν ἐλλείψει, ἀλλ' ἐν τῇ παντελεῖ ἐλλείψει τοῦ ἀγαθοῦ τὸ κακόν. Τὸ γοῦν ἐλλεῖπον ὀλίγον τοῦ ἀγαθοῦ οὐ κακόν· δύναται γὰρ καὶ τέλειον εἶναι ὡς πρὸς τὴν ἑαυτοῦ φύσιν· ἔστι μὲν γάρ τι ὡς πρὸς μὲν τὸ ἀγαθὸν ἐλλιπές, ὡς δὲ πρὸς τὴν ἑαυτοῦ φύσιν τέλειον, ὃ δὴ ἀγαθὸν μέν ἐστι, κακὸν δὲ οὐδαμῶς· καίτοι τε ἐλλείψεως μετέχον ὡς πρὸς τὸ πρῶτον ἀγαθόν. Τὸ δὲ μὴ παντελῶς ἄμοιρον τοῦ ἀγαθοῦ, ἀλλὰ κατὰ τὸ πλέον ἐγγίζον τῷ κακῷ, οὐ πάντῃ κακόν· ὥσπερ καὶ τὸ ἔλλατον ἐγγίζον τῷ ἀγαθῷ, ἔχει τι τοῦ ἀγαθοῦ, καὶ οὐσιοῦται ἐξ αὐ-

σώματα προκαλοῦν τὴ νόσο. Καὶ ἡ νόσος διαρκεῖ τόσο διάστημα μέσα στὸ σῶμα, ὅσο λείπει ἡ τάξη καὶ τὸ σῶμα ἐξακολουθεῖ νὰ ζεῖ. Γιατί, ἂν μιὰ τέλεια ἔλλειψη μέτρου διαλύσει τὸ σῶμα, δηλαδὴ τὴν τάξη τοῦ συνόλου, καὶ ἡ νόσος ἀφανίζεται μὲ τὴ διάλυση τοῦ σώματος στὸ ὁποῖο ἐκδηλώθηκε ἡ νόσος. Ἔτσι καὶ σχετικὰ μὲ τὸ ἀγαθό, ὅσο διατηρεῖται μέσα μας ἔχομε τὴν ἐξουσία νὰ πράττομε καὶ τὸ κακό. Γιατί, ἂν μᾶς ἐγκαταλείψει τὸ ἀγαθό, δὲν μποροῦμε νὰ βροῦμε μέσα μας οὔτε τὸ κακό.

Τὸ γὰρ πάντῃ ἄμοιρον: Ὁ σκοπὸς τοῦ θείου Διονυσίου εἶναι σαφὴς ἀπὸ πολλὰ σημεῖα. Πολεμώντας τὶς γνῶμες γιὰ τὸ κακὸ μερικῶν Ἑλλήνων, λέει ὅτι τὸ κακὸ δὲν εἶναι κάποιο ὄν. Κακὸ δηλαδὴ οὐσιῶδες τὸ ἴδιο δὲ θὰ μποροῦσε νὰ ὑπάρξει καθόλου, παρὰ μόνο αὐτὸ ποὺ ἀπὸ τέλεια ἔλλειψη τοῦ ἀγαθοῦ θὰ ἦταν τελείως ἄμοιρο ἀπὸ ἀγαθό. Αὐτὸ βέβαια δὲν μπορεῖ νὰ βρεθεῖ πουθενά, οὔτε μέσα σ' αὐτὴ τὴν ἄμορφη ὕλη, κι ἂς ἔχουν αὐτὴ τὴ γνώμη κάποιοι Ἕλληνες. Γιατὶ αὐτὸ ποὺ γενικὰ ἔχει δημιουργηθεῖ ἀπὸ τὸν Θεό, ἔστω ἀμυδρὰ καὶ ἔσχατα, ὅμως ὑπῆρξε μέτοχο τοῦ ἀγαθοῦ. Αὐτὸ τὸ ἀποδεικνύει προχωρώντας στὸ δέκατο κεφάλαιο αὐτοῦ τοῦ ἔργου. Ἂν δηλαδὴ τὸ κακὸ ἦταν κράμα μικτὸ μὲ τὸ ἀγαθό, δηλαδὴ ἀλλοῦ νὰ μὴν ὑπάρχει ἐξαιτίας τῆς μερικῆς ἔλλειψης τοῦ ἀγαθοῦ, κι ἀλλοῦ νὰ μὴν ὑπάρχει ἐπειδὴ ὑπάρχει γενικὰ αὐτὸς ποὺ τὸ προκαλεῖ, αὐτὸ δὲν εἶναι κακό. Γιατὶ τὸ κακὸ δὲν ὑπάρχει ἐκεῖ ὅπου ὑπάρχει κάποια ἔλλειψη τοῦ ἀγαθοῦ, ἀλλὰ ἐκεῖ ποὺ ὑπάρχει πλήρης ἔλλειψη αὐτοῦ. Ἡ μικρὴ ἔλλειψη τοῦ ἀγαθοῦ δὲν εἶναι κακό· γιατὶ μπορεῖ νὰ εἶναι καὶ τέλειο ὡς πρὸς τὴ δική του φύση. Ὑπάρχει δηλαδὴ κάτι ἐλλιπὲς ὡς πρὸς τὸ ἀγαθό, τέλειο ὅμως πρὸς τὴν ἴδια του τὴ φύση, ποὺ εἶναι βέβαια ἀγαθὸ καὶ καθόλου κακό, ἂν καὶ παρουσιάζει ἔλλειψη ὡς πρὸς τὸ πρῶτο ἀγαθό. Ὅποιο ὅμως δὲν εἶναι τελείως ἄμοιρο ἀπὸ τὸ ἀγαθό, ἀλλὰ σὲ μεγαλύτερο βαθμὸ πλησιάζει στὸ κακό, δὲν εἶναι τελείως κακό. Ὅπως καὶ ὅποιο σὲ μικρότερο βαθμὸ πλησιάζει τὸ ἀγαθό, ἔχει κάτι ἀπὸ τὸ ἀγαθὸ καὶ παίρνει τὴν οὐσία του ἀπὸ αὐτὸ καὶ δίνει

τοῦ, καὶ τὴν ἑαυτοῦ στέρησιν οὐσιοῖ ἐν τῷ ὅλως μάχεσθαι ἐκ τοῦ ἀγαθοῦ· εἰ γὰρ ἀκράτως καὶ παντελῶς ἀπουσία εἴη τοῦ ἀγαθοῦ, δῆλον ὡς οὔτε καθ' ὅλου ἀγαθόν, οὔτε μικτὸν ἀγαθόν, οὔτε αὐτόκακον· ἔνθα γὰρ οὐκ ἔστι τὸ ἀγαθόν, οὐδ' ἐστί τι ἐν τῇ φύσει. Πῶς οὖν ἔσται τὸ κακὸν μὴ ὑπό τινος οὐσιούμενον; Ἄνελε γὰρ τὰ σώματα καὶ τὸ φῶς, καὶ οὐκ ἔσται σκιά. Οὐκοῦν οὐκ ὄν τὸ κακὸν ἁπλῶς, ἀλλ' ὡς ἐν ὑποκειμένῳ, τὸ δὲ ἀγαθὸν καὶ δίχα τοῦ ὑποκειμένου καὶ φύσιν ἔχει καὶ σῴζεται, καὶ αὐτὸ καθ' ἑαυτὸ ἀγαθόν, τὸ δὲ κακὸν δίχα τοῦ ὑποκειμένου τοῦ ὑπὸ τοῦ ἀγαθοῦ φυλαττομένου· πάντα γὰρ ἐξ αὐτοῦ οὔτε ἐστίν, οὔτε φαίνεται, οὔτε φθείρεται· πῶς γάρ, μὴ ὄντος ὑποκειμένου τινός; ἀλλὰ παντελῶς ἀνύπαρκτον καὶ οὐδαμῇ οὐδαμῶς ὄν.

Καὶ οὐσιοῖ: Τουτέστιν οὐσιοῖ τὸ κακόν· εἰ γὰρ τὸ κακὸν στέρησίς ἐστι τοῦ ἀγαθοῦ, τὸ δὲ ἀγαθὸν οὐσιοῖ τὴν ἑαυτοῦ στέρησιν, οὐσιοῖ ἄρα τὸ κακόν, ὅπερ στέρησίς ἐστι τοῦ ἀγαθοῦ.

Τῇ ὅλως αὐτοῦ μεθέξει: Ὅτι τῇ μερικῇ τοῦ ἀγαθοῦ μεθέξει, καὶ ἡ στέρησις αὐτοῦ οὐσίωται.

Ἡνίκα τοῖς μὲν ἔστι κακόν: Ταῦτα εἴδη εἰσὶ τοῦ κακοῦ, ὡς προείπομεν· οὐ γὰρ τὸ οὐσιῶδες αὐτόκακον, ὃ μηδέ ἐστι. Τὸ γὰρ τόδε εἶναι κακόν, ἡδονῆς δὲ αἰσχρᾶς ὡς ἀγαθοῦ τινος ἀντέχεσθαι, οὐκ αὐτόκακον, ἀλλ' εἶδος κακοῦ· τὸ γὰρ πάντῃ κακὸν αὐτὸ οὔτε ἐστίν, ἐπειδὴ μετέχει, κἂν κατ' ἔσχατον ἀπήχημα, τοῦ ἀγαθοῦ· ὅρα γάρ, τί φησι παρακατιών· εἰ γὰρ πάντα μετέχει τοῦ ἀγαθοῦ καὶ ἐν πᾶσι τοῖς οὖσίν ἐστι τὸ ἀγαθόν, τὸ κακόν, προδήλως, ἢ οὐκ ἔστιν, ἢ ἐν τῷ ἀγαθῷ ἐστιν· οὐδὲ γὰρ φύσις πυρὸς τὸ ψύχειν· εἰ δὲ ἄρξεται ψύχειν, οὐκ ἔσται πῦρ. Οὐκοῦν καὶ τὸ κακόν, ἐὰν μὲν ὕπεστι, μετέχει ἀμυδρῶς τοῦ ἀγαθοῦ· πάντα

οὐσία στὴ στέρησή του μὲ τὴν ὁλικὴ μάχη του ἀπὸ τὴ μερίδα τοῦ ἀγαθοῦ. Γιατί, ἂν ὑπάρχει μιὰ ἄκρατη καὶ τέλεια ἀπουσία τοῦ ἀγαθοῦ, προφανῶς δὲν ὑπάρχει οὔτε τέλειο ἀγαθό, οὔτε μικτὸ ἀγαθό, οὔτε αὐτοκακό. Γιατί, ὅπου δὲν ὑπάρχει τὸ ἀγαθό, δὲν ὑπάρχει τίποτε μέσα στὴ φύση. Πῶς θὰ ὑπάρξει λοιπὸν κακὸ ἂν κάτι δὲν τοῦ δώσει τὴν οὐσία του; Ἐξαφάνισε δηλαδὴ τὰ σώματα καὶ τὸ φῶς καὶ δὲ θὰ ὑπάρξει σκιά. Δὲν εἶναι λοιπὸν ἁπλῶς τὸ κακὸ μὴ ὄν, ἀλλὰ μέσα σὲ κάποιο ὑποκείμενο. Ἐνῶ τὸ ἀγαθὸ ἀκόμα καὶ χωρὶς ὑποκείμενο ἔχει καὶ φύση καὶ διατηρεῖται καὶ εἶναι ἀγαθὸ αὐτὸ καθαυτό. Τὸ κακὸ ὅμως δὲν ὑπάρχει χωρὶς τὸ ὑποκείμενο ποὺ τὸ φυλάει τὸ ἀγαθό· γιατὶ ἔξω ἀπὸ τὸ ὑποκείμενο ὅλα οὔτε ὑπάρχουν, οὔτε φαίνονται, οὔτε φθείρονται. Πῶς δηλαδὴ θὰ συμβεῖ αὐτό, ἂν δὲν ὑπάρχει κάποιο ὑποκείμενο; Εἶναι λοιπὸν τελείως ἀνύπαρκτο καὶ πουθενὰ μὲ κανένα τρόπο δὲν ὑπάρχει.

Καὶ οὐσιοῖ: Δηλαδὴ δίνει οὐσία στὸ κακό. Ἂν δηλαδὴ τὸ κακὸ εἶναι στέρηση τοῦ ἀγαθοῦ καὶ τὸ ἀγαθὸ δίνει οὐσία στὴ στέρησή του, ἄρα δίνει οὐσία στὸ κακό, ποὺ εἶναι στέρηση τοῦ ἀγαθοῦ.

Τῇ ὅλως αὐτοῦ μεθέξει: Θέλει νὰ πεῖ ὅτι μὲ τὴ μερικὴ μετοχὴ τοῦ ἀγαθοῦ ἔλαβε οὐσία καὶ ἡ στέρησή του.

Ἡνίκα τοῖς μὲν ἔστι κακόν: Αὐτά, ὅπως εἴπαμε πρίν, εἶναι εἴδη κακῶν. Γιατὶ ὅποιο ἔχει οὐσία δὲν εἶναι αὐτοκακό, ἀφοῦ οὔτε κὰν ὑπάρχει. Τὸ νὰ εἶναι δηλαδὴ κάτι κακὸ καὶ νὰ κρατάει μιὰ αἰσχρὴ ἡδονὴ σὰν κάποιο ἀγαθὸ δὲν εἶναι αὐτοκακὸ ἀλλὰ κάποιο εἶδος κακοῦ. Γιατὶ τὸ τελείως κακὸ οὔτε ὑπάρχει, ἐπειδὴ ἔστω καὶ κατὰ μιὰ ἔσχατη ἀπήχηση μετέχει τὸ ἀγαθό. Γιατὶ πρόσεχε τί λέει παρακάτω· ἂν δηλαδὴ ὅλα μετέχουν τὸ ἀγαθὸ καὶ τὸ ἀγαθὸ ὑπάρχει μέσα σὲ ὅλα τὰ ὄντα, τότε εἶναι ὁλοφάνερο ὅτι τὸ κακὸ ἢ δὲν ὑπάρχει, ἢ ὑπάρχει μέσα στὸ ἀγαθό. Οὔτε βέβαια ἡ φύση τῆς φωτιᾶς εἶναι νὰ ψύχει, κι ἂν ἀρχίσει νὰ ψύχει, δὲ θὰ εἶναι φωτιά. Ἑπομένως καὶ τὸ κακό, ἂν ἔχει ὑπόσταση, μετέχει ἀμυδρὰ τὸ ἀγαθό. Γιατὶ ὅλα τὰ ὄντα ὑπάρχουν καὶ μένουν μέσα στὸ ἀγαθό. Κι ἂν δὲν ἔχουν τίποτε ἀπὸ τὸ ἀγαθό,

γὰρ τὰ ὄντα ἐν τῷ ἀγαθῷ εἰσι καὶ μένουσιν· εἰ δὲ οὐδὲν ἔχει ἀγαθοῦ, οὔτε ὕπεστιν· αὐτὸ γὰρ τὸ θέλειν ὑπεῖναι ἀγαθῆς ἐστι μεταλήψεως, ὡς ἀνωτέρω πολλάκις εἴρηται.

Ἄτοπον καὶ ἀδύνατον: Σημείωσαι, ὅτι καὶ ἐπὶ τοῦ Θεοῦ καλῶς λέγεται ἔν τισι τὸ 'οὐ δύναται', ὡς καὶ ὁ Ἀπόστολός φησιν· «εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει, καὶ ἀρνήσασθαι ἑαυτὸν οὐ δύναται».

Πᾶσα γὰρ δυάς: Ὅτι πᾶσα δυὰς οὐκ ἀρχή· μονὰς δὲ πάσης δυάδος ἀρχή. Σημείωσαι κατὰ Μανιχαίων.

Παντελῶς ἐναντία: Σημείωσαι ταῦτα· πάνυ γὰρ κατὰ Μανιχαίων ἀγωνίζεται, τῶν δυάδα ἀρχὴν ἐναντίων δογματιζόντων ἀνοήτως· ἡ μὲν γὰρ ἀριθμητικὴ τὸ ἐν ἀριθμοῖς διαίρεσιν ἔχον πλήθους εἰς πέρας ἀνάγει, τὴν μὲν μονάδα τοῦ παντὸς ἀριθμοῦ ἀρχὴν τιθεμένη, τὴν δὲ δυάδα τῶν ἀρτίων. Ἡ τοίνυν ἀρχὴ τὸ ἁπλούστατον ἐν ἑκάστῳ γένει δηλοῖ. Πῶς οὖν ἡ δυὰς ἀρχὴ πάντων ἔσται; οὐ γάρ ἐστιν ἁπλῆ ἀρχὴ ἡ δυάς, ἀλλὰ σύνθετος. Οὐκοῦν οὐχ ἁπλοῦν ἡ ἐκ συνθέσεως ἀρχή· καὶ πῶς ἂν κληθείη ἀρχή; Πρὸ γὰρ τῆς συνθέτου ταύτης ἀρχῆς ἔσται ἡ κυρίως ἀρχή, τὸ ἕν, ἀφ' οὗ μονάδων συντεθεισῶν, δυὰς ἀπετελέσθη. Δῆλον οὖν ἁπανταχόθεν, ὡς ἀσύστατον τῶν δύο ἀρχῶν τὸ δόγμα.

Καὶ μὴν οὔτε δύο: Ὅτι οὐ δυνατὸν δύο ἐναντίας ἀρχὰς ἐναντίων εἶναι.

Οὐδ' ἐκτὸς δυσχερείας: Οὐκ ἀβλαβής.

Διὸ καὶ φίλα τὰ ἀγαθά: Ἐπειδὴ τοῦ ἀγαθοῦ πάντα μετέχει, καὶ αὐτῷ τῷ εἶναι εἰς τὸ ἀγαθὸν ἀνάγονται, τὸ ἀγαθὸν καὶ τὸ καλὸν τῶν πάντων οὐκ ἂν εἴη τὸ πρῶτον καλόν, οὗ πάντα με-

οὔτε ὑπάρχουν. Αὐτὴ ἀκριβῶς δηλαδὴ ἡ θέληση γιὰ ὕπαρξη εἶναι δεῖγμα μετοχῆς τοῦ ἀγαθοῦ, ὅπως εἴπαμε ἐπανειλημμένα πιὸ πάνω.

§ 21. Ἄτοπον καὶ ἀδύνατον: Σημείωσε ὅτι καλῶς λέγεται καὶ γιὰ τὸ Θεὸ τὸ ὅτι ἀδυνατεῖ σὲ μερικὰ πράγματα, ὅπως λέει καὶ ὁ Ἀπόστολος· «ἂν δὲν πιστεύομε, ἐκεῖνος μένει πιστὸς καὶ δὲν μπορεῖ ν' ἀρνηθεῖ τὸν ἑαυτό του»[23].

Πᾶσα γὰρ δυάς: Ὅτι δὲν εἶναι ἀρχὴ κάθε δυάδα, ἀλλὰ ἡ μονάδα εἶναι ἀρχὴ κάθε δυάδας. Σημείωσέ το κατὰ τῶν Μανιχαίων.

Παντελῶς ἐναντία: Σημείωσέ τα αὐτά· γιατὶ στρέφονται μὲ σφοδρότητα ἐναντίον τῶν Μανιχαίων, ποὺ διδάσκουν ἀνόητα ὡς ἀρχὴ τὴ δυάδα τῶν ἐναντίων. Γιατὶ ἡ ἐπιστήμη τῶν ἀριθμῶν τὸ πλῆθος ποὺ διαιρεῖται σὲ ἀριθμοὺς τὸ ἀνάγει σ' ἕνα πέρας, θέτοντας ὡς ἀρχὴ κάθε ἀριθμοῦ τὴν μονάδα καὶ στοὺς ἄρτιους τὴ δυάδα. Ὥστε ἡ ἀρχὴ δηλώνει τὸ ἁπλούστερο στοιχεῖο σὲ κάθε γένος. Πῶς λοιπὸν θὰ εἶναι ἡ δυάδα ἀρχὴ ὅλων; Γιατὶ ἡ δυάδα δὲν εἶναι ἁπλὴ ἀρχή, ἀλλὰ σύνθετη. Καὶ ἡ ἀρχὴ ποὺ προέρχεται ἀπὸ σύνθεση δὲν εἶναι ἁπλή. Καὶ πῶς τότε θὰ ὀνομαστεῖ ἀρχή; Πρὶν δηλαδὴ ἀπὸ αὐτὴν τὴ σύνθετη ἀρχὴ θὰ ὑπάρχει ἡ κύρια ἀρχή, τὸ ἕνα, ἀπὸ τὸ ὁποῖο μὲ τὴ σύνθεση τῶν μονάδων ἀπαρτίσθηκε ἡ δυάδα. Γινεται λοιπὸν φανερὸ ὅτι ἀπὸ παντοῦ ἐλέγχεται ὡς ἀσύστατη ἡ διδασκαλία τῶν δύο ἀρχῶν (τῆς διπλῆς ἀρχῆς).

Καὶ μὴν οὔτε δύο: Δὲν εἶναι δυνατὸ νὰ εἶναι δύο ἀντίθετες ἀρχὲς τῶν ἀντίθετων.

Οὐδ' ἐκτὸς δυσχερείας: Ὄχι ἀζήμιος.

Διὸ καὶ φίλοι τὰ ἀγαθά: Ἐπειδὴ ὅλα μετέχουν τὸ ἀγαθὸ καὶ μὲ τὸ ἴδιο τὸ εἶναι ἀναφέρονται στὸ ἀγαθό, τὸ ἀγαθὸ καὶ τὸ καλὸ δὲν θὰ εἶναι τὸ πρῶτο καλὸ ὅλων, ποὺ ὅλα μετέχοντάς το

---

23. Β' Τιμ. 2,13.

τέχοντα, καλὰ γίνονται, ὁμοιωθέντα πως τῇ μεταλήψει τῷ καλῷ, πλὴν πολλῷ ἀμυδρότατα ὁμοιοῦται τοῦ ἑνὸς ἀγαθοῦ καὶ καλοῦ, καθάπερ αὐξομένου καὶ εἰς τὴν τῶν καλῶν φύσιν ἐκφαινομένου· ὅθεν, καὶ πάντα καλὰ λίαν. Ἡ δὲ τῶν καλῶν φύσις, προϊοῦσα κατὰ πλῆθος, ἤδη πως καὶ εἰς τὰ σύνθετα, ἃ δὴ καὶ μάλιστα καλὰ εἰώθασι καλεῖν οἱ ἄνθρωποι, ἀποδείκνυται πολλαχῶς τοῦ κακοῦ συντιθεμένου καὶ κατὰ πολλοὺς τρόπους λεγομένου· τὸ δὲ ἐν τοῖς οὖσι καλὸν οὔτε οὐσία ἐστίν, οὔτε γένος, ἀλλὰ συμβεβηκὸς ὁμοιότητά τινα κεκτημένον, κατὰ μικρὸν συναπτομένην· οὐ γὰρ καθ' ἓν εἶδος λέγεται τὰ καλά, ἀλλὰ πολλαχῶς· προσέοικε δὲ μόνον ἀλλήλοις ὡς ὅμοια, κἂν πολυειδῶς περὶ τὸ καὶ αὐτὰ καλὰ εἶναι κατὰ τὰ οἰκεῖα εἴδη ἕκαστα, καὶ κατὰ τοῦτο ἅτε ὁμοιούμενα καὶ προσήγορα ὄντα ἀλλήλοις.

Εἰ δὲ ἐν Θεῷ τἀγαθόν: Ὅτι τὸ ἀγαθὸν ἐν Θεῷ ὕπαρξίς ἐστιν.

Οὔτε ἁπλῶς: Ἀντὶ τοῦ, ἀϊδίως.

Κατὰ χρόνον. Ἀντὶ τοῦ, μεθεκτῶς.

§ 22. Ἀλλ' οὔτε ἐν ἀγγέλοις: Περὶ ἀγγέλων, ὅτι οὔτε ἐν αὐτοῖς τὸ κακόν, καὶ διὰ τί ἄγγελοι λέγονται.

Τὴν ἀγαθότητα τὴν θείαν: Θεῖα λέγει τὰ περὶ φύσεως ἀγγέλων τῶν μεινάντων θεοειδῶν. Εἴπομεν δὲ ἀνωτέρω, διατί ἀγαθοειδεῖς καὶ οὐκ αὐτοαγάθους τοὺς ἀγγέλους φησί· κατὰ τὰς αἰτίας τοίνυν ταύτας οὔτε ἐν ἀγγέλοις τὸ κακόν. Ἐτυμολογεῖ δέ, διὰ τί ἐκλήθησαν ἄγγελοι.

Εἰκὼν ἐστι τοῦ Θεοῦ: Σημείωσαι, ὅτι τοὺς ἀγγέλους εἰκόνας φησὶ τοῦ ἀγαθοῦ· καὶ σημείωσαι πῶς λέγει.

γίνονται καλά, μὲ τὴ μετάληψή του μοιάζοντας κάπως μὲ τὸ καλό; Γίνονται ὅμως πολὺ ἀμυδρὰ ὅμοια μὲ τὸ ἕνα ἀγαθὸ καὶ καλό, καθὼς αὐτὸ αὐξάνεται κι ἐκδηλώνεται στὴ φύση τῶν καλῶν. Γι' αὐτὸ καὶ ὅλα εἶναι πάρα πολὺ καλά. Ἡ φύση τώρα τῶν καλῶν, προχωρώντας κατὰ τὸ πλῆθος κατὰ κάποιο τρόπο πλέον καὶ στὰ σύνθετα, τὰ ὁποῖα κατεξοχὴν συνηθίζουν οἱ ἄνθρωποι νὰ τὰ καλοῦν ὡραῖα, ἀποδεικνύεται ὅτι τὸ κακὸ συντίθεται ἀπὸ πολλὰ καὶ λέγεται μὲ πολλοὺς τρόπους. Ὅμως τὸ ὡραῖο μέσα στὰ ὄντα οὔτε οὐσία εἶναι, οὔτε γένος, ἀλλὰ ἕνα συμβεβηκὸς μὲ κάποια ὁμοιότητα ποὺ ἑνώνεται μαζί του λίγο–λίγο. Γιατὶ τὰ ὡραῖα δὲν λέγονται ὡραῖα ἀπὸ μιὰ ἄποψη, ἀλλὰ ἀπὸ πολλὲς καὶ συνδέονται μόνο μεταξύ τους ὡς ὅμοια, ἔστω κι ἂν διαφέρουν ἀπὸ πολλὲς ἀπόψεις, ἀναφορικὰ μὲ τὸ ὅτι κι αὐτὰ εἶναι ὡραῖα κατὰ τὴ δική του ἄποψη τὸ καθένα καὶ κατὰ τὴν ἄποψη αὐτὴ τῆς ὁμοιότητας βρίσκονται καὶ μεταξύ τους σὲ ἀνταπόκριση.

Εἰ δὲ ἐν Θεῷ τἀγαθόν: Ὅτι τὸ ἀγαθὸ εἶναι ὕπαρξη μέσα στὸ Θεό[24].

Οὔτε ἁπλῶς: Ἀντὶ νὰ πεῖ ἀιδίως, αἰώνια.

Κατὰ χρόνον: Ἀντὶ νὰ πεῖ, κατὰ μέθεξη.

§ 22. Ἀλλ' οὔτε ἐν ἀγγέλοις: Γιὰ τοὺς ἀγγέλους· ὅτι οὔτε μέσα σ' αὐτοὺς δὲν ὑπάρχει τὸ κακό, καὶ γιατί λέγονται ἄγγελοι.

Τὴν ἀγαθότητα τὴ θεία: Θεία ὀνομάζει τὴ φύση τῶν ἀγγέλων ποὺ ἔμειναν θεόμορφοι. Εἴπαμε προηγουμένως, γιατί ὀνομάζει τοὺς ἀγγέλους θεόμορφους καὶ ὄχι ἀγαθοὺς ἀπὸ τὸν ἑαυτό τους. Γι' αὐτοὺς λοιπὸν τοὺς λόγους δὲν ὑπάρχει τὸ κακὸ οὔτε μέσα στοὺς ἀγγέλους. Μᾶς δίνει ἐπίσης τὴν ἐτυμολογία τοῦ ὀνόματός τους, γιατί ὀνομάστηκαν ἄγγελοι.

Εἰκών ἐστι τοῦ Θεοῦ: Σημείωσε ὅτι τοὺς ἀγγέλους τοὺς λέει εἰκόνες τοῦ ἀγαθοῦ, καὶ σημείωσε μὲ ποιά ἔννοια τὸ λέει αὐτό.

---

24. Θεὸς καὶ ἀγαθὸ ταυτίζονται. Ἀλλιῶς τὸ ἀγαθὸ εἶναι συμβεβηκὸς στὸν Θεό, ὁπότε αὐτὸς θὰ μεταβαλλόταν.

Ἀλλὰ τῷ κολάζειν: Ὡς ἐξ ὑποκρούσεως προλαμβάνει τὴν τινων αἱρέσεων ἀντίθεσιν, τῶν τοὺς κολαστὰς κελεύσει Θεοῦ ἀγγέλους, καὶ αὐτὴν δὲ τὴν κόλασιν τοῦ κακοῦ τιθεμένων· καὶ εὐθὺς ἐκλύει ταῦτα φιλοσοφώτατα καὶ προσφυῶς, καὶ ἐκ τῶν ἱερέων τοὺς ἐναγεῖς καὶ βεβήλους τῆς Ἐκκλησίας εἰργόντων καὶ ἐξωθούντων ἐπὶ βεβήλοις καὶ ἐναγέσι πράξεσι, δηλῶν ὡς οὐδὲ αὐτοί, τιμωρούμενοι τοὺς ἐναγεῖς, ἐκ τοῦ κακοῦ εἰσι· μὴ γένοιτο! εἴρηται γάρ· «οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ· διάκονος γάρ ἐστι Θεοῦ εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι». Σημείωσαι οὖν τὰς λύσεις· πολλὰς γὰρ ζητήσεις διαλύει τῶν λεγόντων, Εἰ ἐκ Θεοῦ οἱ δήμιοι καὶ οἱ ἄρχοντες.

Οἱ τὸν βέβηλον τῶν θείων μυστηρίων ἀπείργοντες: Σημείωσαι, ὅτι δεῖ τοὺς βεβήλους ἀπείργεσθαι τῶν θείων μυστηρίων διὰ τῶν ἱερέων.

Οὐδὲ τὸ κολάζεσθαι: Ὅτι οὐ τὸ κολάζεσθαι κακόν, ἀλλὰ τὸ κολάσεως ἄξιον γενέσθαι. Σημείωσαι περὶ ἱερέων καὶ ἀρχόντων, τῶν βεβήλους κολαζόντων.

Ἀλλ' οὔτε οἱ δαίμονες: Ὅτι οὔτε οἱ δαίμονες φύσει κακοί.

Ἔπειτα οὐδὲ τοῦτο παντί. Σημείωσαι, ὅτι οὐ παντὶ καὶ ἀεὶ κακὸν ἡ φθορά, ὡς ἐπὶ θηρίων καὶ ἑρπετῶν καὶ βοτανῶν ὀλεθρίων.

Ἀλλ' οὐδὲ φθείρεται: Ὅτι οὐδὲ φθείρεταί τι τῶν ὄντων, καθ' ὃ οὐσία.

Ἀλλὰ τῇ ἐλλείψει: Σημείωσαι, ὅτι φθορὰν καλεῖ καὶ τὴν πλημμελῆ καὶ ἀναρμόνιον παρὰ τὴν τάξιν κίνησιν τῆς φύσεως. Ἔχεις δὲ καὶ τοῦτο παρὰ τῷ Ἰεζεκιὴλ περὶ τοῦ διαβόλου· «ἐφθάρη ἡ ἐπιστήμη σου σὺν τῷ κάλλει σου»· φησὶ δὲ τὸ παρ'

Ἀλλὰ τῷ κολάζειν: Σὰν ἀπὸ ἀντανάκλαση προλαβαίνει τὴν ἀντίθεση μερικῶν αἱρετικῶν ποὺ δέχονται τοὺς τιμωροὺς μὲ διαταγὴ τοῦ Θεοῦ ἀγγέλους καὶ τὴν ἴδια τὴν τιμωρία τοῦ κακοῦ, κι ἀμέσως δίνει στὰ προβλήματα αὐτὰ λύση φιλοσοφικότατη καὶ κατάλληλη, καὶ ἀπὸ τοὺς ἱερεῖς ἐπίσης ποὺ ἐμποδίζουν καὶ ἐξωθοῦν ἀπὸ τὴν Ἐκκλησία τοὺς μολυσμένους καὶ ἀνόσιους γιὰ τὶς βέβηλες κι ἀνόσιες πράξεις, δηλώνοντας ὅτι οὔτε αὐτοί, ὅταν τιμωροῦν τοὺς ἀνόσιους, εἶναι ἀπὸ τὸ κακό. Μὴ γένοιτο! Γιατὶ ἔχει λεχθεῖ· «διότι δὲν ἔχει στὴ μέση τὸ μαχαίρι χωρὶς λόγο· εἶναι διάκονος τοῦ Θεοῦ καὶ ὀργίζεται ἐναντίον ἐκείνων ποὺ πράττουν τὸ κακό»[25]. Σημείωσε λοιπὸν τὶς λύσεις· γιατὶ λύνει πολλὲς ἀπορίες ἐκείνων ποὺ ἐρωτοῦν, 'ἂν οἱ δήμιοι καὶ οἱ ἄρχοντες εἶναι ἀπὸ τὸν Θεό'.

Οἱ τὸν βέβηλον τῶν θείων μυστηρίων ἀπείργοντες: Σημείωσε, ὅτι πρέπει οἱ βέβηλοι νὰ ἐμποδίζονται ἀπὸ τοὺς ἱερεῖς νὰ προσέρχονται στὰ θεῖα μυστήρια.

Οὔτε τὸ κολάζεσθαι: Δὲν εἶναι κακὸ νὰ τιμωρεῖται κανείς, ἀλλὰ τὸ νὰ γίνει ἄξιος τιμωρίας. Σημείωσε, ὅτι λέγεται γιὰ τοὺς ἱερεῖς καὶ τοὺς ἄρχοντες ποὺ τιμωροῦν τοὺς βέβηλους.

Ἀλλ' οὔτε οἱ δαίμονες: Οὔτε οἱ δαίμονες εἶναι κακοὶ ἀπὸ τὴ φύση τους.

Ἔπειτα οὐδὲ τοῦτο παντί: Σημείωσε, ὅτι δὲν εἶναι στὸν καθένα καὶ πάντοτε κακὸ ἡ φθορά, ὅπως ἡ ἀπὸ τὰ θηρία, τὰ ἑρπετὰ καὶ τὰ θανατηφόρα βοτάνια.

Ἀλλ' οὐδὲ φθείρεται: Οὔτε φθείρεται κάποιο ὄν, ἐπειδὴ εἶναι οὐσία.

Ἀλλὰ τῇ ἐλλείψει: Σημείωσε ὅτι φθορὰ καλεῖ καὶ τὴν παράφωνη καὶ δυσάρμοστη ἀντίθετα μὲ τὴν τάξη τῆς φύσεως κίνηση. Ἔχεις καὶ τοῦτο ἀπὸ αὐτὸ ποὺ λέει ὁ Ἰεζεκιὴλ γιὰ τὸν διάβολο· «καταστράφηκε ἡ ἐπιστήμη σου μαζὶ μὲ τὴν ὀμορφιά

---

25. Ρωμ. 113,4.

Ἕλλησι καὶ Μανιχαίοις λεγόμενον διαλύων, ὅτι οὔτε οἱ δαίμονες φύσει κακοί. Εἶτα τὰ καθ' ὑπόθεσιν παρ' αὐτῶν ἀντιτιθέμενα προτίθησι καὶ διαλύει, λέγων· Πρῶτον μὲν οὐ φθείρουσιν οἱ δαίμονες οὐσίας· αἱ γὰρ οὐσίαι καθ' ὃ οὐσίαι, οὐ χωροῦσιν εἰς ἀνυπαρξίαν· ἔπειτα, καὶ εἰ τοῦτο ἦν, οὐ πᾶσιν οὐδὲ πάντων ἡ φθορὰ κακή, ὡς ἐν τοῖς θηρίοις, καὶ τοῖς ἕρπουσιν, καὶ πόαις ὀλεθρίαις, καὶ τοῖς ἄλλοις τοῖς ὁμοίοις. Ζητητέον οὖν, μὴ δύναμιν ἢ ἐνέργειαν φθείρουσιν οἱ δαίμονες, καὶ τέως ἐν συντόμῳ χρὴ εἰπεῖν, τί δύναμις καὶ τί ἐνέργεια· ἰστέον οὖν, ὅτι ἡ διαφορὰ τῆς δυνάμεως πρὸς τὴν ἐνέργειαν τοιαύτη ἐστίν, ὡς ἡ ἕξις πρὸς τὴν ἐνέργειαν τὴν κατὰ τὴν ἕξιν· ἡ μὲν οὖν ἕξις ποιότης ἐστὶν ἔμμονος. Σαφὲς δὲ ἔσται οὕτω· Τὸ πῦρ δύναμιν ἔχει θερμαντικήν, καὶ ἔστιν αὐτοῦ ἕξις, ἤτοι ποιότης, τὸ θερμαντικόν. Ἔστιν οὖν ἐνέργεια ἡ κατὰ τὴν ἕξιν, ἤτοι ποιότητα, ὅτε καί τι σῶμα θερμαίνεται· ἰδοὺ γὰρ ἀποτελεῖται ἡ ἐνέργεια τῆς ἕξεως τοῦ πυρός· ἡ οὖν δύναμις παρ' ἑαυτῆς ἔχει τὴν ἐνέργειαν· αὐτῆς γάρ ἐστι τῆς δυνάμεως ἡ ἐνέργεια τὸ ἐξ αὐτῆς ἀποτελούμενον· ἡ γὰρ δύναμις κατὰ τὸ ποιεῖν λαμβάνεται. Φθορὰ οὖν δυνάμεως ἡ ἐνέργεια, ὥσπερ οὖν καὶ οὐσίας ἡ δύναμις, ταὐτὸν δὲ καὶ περὶ τῆς ἐνεργείας ἡ παρὰ τὴν τάξιν καὶ τὴν συμμετρίαν καὶ ἁρμονίαν ἀσθενὴς πρόοδος, καθ' ἣν προϊοῦσαν πλημμελῶς οὐ δύνανται μένειν ὡς εἶχον ἡ δύναμις, καὶ ἡ ἐνέργεια, καὶ ἡ οὐσία· εἰ γὰρ παντελής, ὡς ἔφημεν, ἔσται ἀσθένεια, οὐ μὴν ἡ μερικὴ τῶν εἰρημένων· καὶ τὸ ὑποκείμενον φθείρει, ἐν ᾧ ἡ δύναμις καὶ ἡ ἐνέργεια, καὶ οὔτε ἡ δύναμις καὶ ἡ ἐνέργεια, ὡς οὔτε ἡ οὐσία,

σου»[26]. Καὶ λέει ὅτι οὔτε οἱ δαίμονες εἶναι κακοὶ ἀπὸ τὴ φύση τους, διαλύοντας τὸ λόγο τῶν Ἑλλήνων καὶ τῶν Μανιχαίων. Ἔπειτα προβάλλει καὶ ἀναιρεῖ τὶς ὑποθέσεις ποὺ αὐτοὶ ἀντιπαραβάλλουν λέγοντας τὰ ἑξῆς· Κατὰ πρῶτον δηλαδὴ οἱ δαίμονες δὲν φθείρουν τὶς οὐσίες· γιατὶ οἱ οὐσίες, σὰν οὐσίες ποὺ εἶναι, δὲν προχωροῦν στὴν ἀνυπαρξία. Ἔπειτα, κι ἂν γινόταν κάτι τέτοιο, δὲν θὰ ἦταν γιὰ ὅλα οὔτε ὅλων ἡ φθορὰ κακή, ὅπως στὴν περίπτωση τῶν θηρίων καὶ ὅσων ἕρπουν καὶ τῶν θανατηφόρων βοτάνων καὶ τῶν ἄλλων τῶν ὅμοιων. Ἂς ἐξετάσομε λοιπὸν μήπως οἱ δαίμονες φθείρουν τὴ δύναμη ἢ τὴν ἐνέργεια· καὶ πρῶτα πρέπει σύντομα νὰ ποῦμε τί εἶναι δύναμη καὶ τί ἐνέργεια. Πρέπει λοιπὸν νὰ ξέρομε ὅτι ἡ διαφορὰ τῆς δύναμης ἀπὸ τὴν ἐνέργεια εἶναι κάπως ἔτσι, ὅπως δηλαδὴ ἡ ἕξη πρὸς τὴν ἐνέργεια τὴ σύμφωνη μὲ τὴν ἕξη. Ἡ ἕξη λοιπὸν εἶναι ποιότητα ἔμμονη. Τὸ πράγμα θὰ γίνει σαφὲς ὡς ἑξῆς. Ἡ φωτιὰ ἔχει δύναμη ποὺ θερμαίνει, κι αὐτὴ ἡ θερμαντικὴ δύναμη εἶναι ἡ ἕξη της, δηλαδὴ ἡ ποιότητά της, ὁπότε καὶ κάποιο σῶμα θερμαίνεται. Νὰ λοιπὸν πραγματοποιεῖται ἡ ἐνέργεια τῆς ἕξης (δύναμης) τῆς φωτιᾶς. Ἡ δύναμη λοιπὸν ἔχει μέσα της τὴν ἐνέργεια. Ἡ ἐνέργεια δηλαδὴ αὐτῆς τῆς δύναμης εἶναι αὐτὸ ποὺ πραγματοποιεῖται ἀπὸ αὐτήν· γιατὶ ἡ δύναμη γίνεται ἀντιληπτὴ ὅταν ἐνεργεῖ. Ἡ ἐνέργεια λοιπὸν εἶναι φθορὰ τῆς δύναμης, ὅπως καὶ ἡ δύναμη εἶναι φθορὰ τῆς οὐσίας. Τὸ ἴδιο εἶναι καὶ γιὰ τὴν ἐνέργεια ἡ ἀσθενὴς πρόοδος ἀντίθετα μὲ τὴν τάξη καὶ τὴ συμμετρία καὶ τὴν ἁρμονία, σύμφωνα μὲ τὴν ὁποία πρόοδο ἂν ἐξελίσσεται πλημμελῶς δὲν μποροῦν νὰ μείνουν ὅπως ἦταν ἡ δύναμη καὶ ἡ ἐνέργεια καὶ ἡ οὐσία· γιατὶ ἂν ὑπάρξει, ὅπως εἴπαμε, πλήρης ἀσθένεια, ὄχι ἡ μερικὴ ὅσων εἴπαμε, φθείρει καὶ τὸ ὑποκείμενο ὅπου ὑπάρχει ἡ δύναμη καὶ ἡ ἐνέργεια· καὶ οὔτε ἡ δύναμη καὶ ἡ ἐνέργεια, ὅπως οὔτε ἡ οὐσία, ἀλλὰ οὔτε κι αὐτη ἡ ἴδια ἡ φθορὰ

26. Ἰεζ. 28,17.

ἀλλ' οὔτε αὐτὴ ἡ φθορὰ παραλειφθήσονται, ἀπολομένων ἐκείνων περὶ ἃ ἡ φθορά. Ἐνέργεια μὲν οὖν νοητῶν καὶ νοερῶν νοῶν τὸ κατὰ φύσιν πράττειν, τουτέστι τὸ εἰς Θεὸν ἀνατετάσθαι· δύναμις δὲ νοῦ τὸ εἰς νοήσεις κατιέναι, περὶ οὗ τὰ εἰρημένα, πλημμελῶς κινούμενα, ἐλλείπουσι τοῦ ἀγαθοῦ. Φύσει οὖν κακὸν οὐδέν.

Ἀλλ' ἐλλιπὲς ἀγαθόν. Ὡς μὴ τὴν τελείαν φθορὰν τῆς φθορᾶς εἰσάγον.

Εἶτα, πῶς οἱ ἐκ Θεοῦ: Πρὸς τοὺς λέγοντας· Εἰ ἐκ Θεοῦ ἐγένοντο οἱ δαίμονες, πῶς εἰσι κακοί; Ἔστι δὲ λύσις τῆς πεύσεως, εἰ κακοί εἰσιν οἱ δαίμονες· καί φησιν, ὅτι οὐ καθὸ ἀγαθοί εἰσι κατὰ τὴν παραγωγὴν τῆς οὐσίας αὐτῶν (ἐκ τοῦ ἀγαθοῦ γὰρ παρήχθησαν ἀγαθοί), ἀλλὰ καθὸ ἠσθένησαν τῆς φυσικῆς αὐτῶν ἐνεργείας.

Καὶ ἀγαθὴν ἔλαχον οὐσίαν. Ὅτι ἀγαθὴ τῶν δαιμόνων ἡ οὐσία.

Ὡς τὰ Λόγιά φησι: Σημείωσαι, πῶς νοεῖ τό, 'ἀγγέλους τε τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχήν'· ἀρχὴν γὰρ αὐτῶν φησι τὴν εἰς τὸ εἶναι παραγωγήν· παρήχθησαν γὰρ καὶ αὐτοὶ εἰς πᾶν ἔργον ἀγαθόν, ὥσπερ καὶ ἡμεῖς. Ἐκ τούτων οὖν εἰσιν οἱ δαίμονες, ἐν τούτῳ μόνῳ κακυνόμενοι, ἐν τῇ παύσει τῆς ἕξεως τῶν ἀγαθῶν, καὶ ἐν τῷ μὴ ἐνεργεῖν τὸ ἀγαθόν· ὥστε κατὰ προαίρεσίν εἰσι κακοί, ἀλλ' οὐ κατὰ φύσιν· τὸ δὲ ἀγαθὸν πρόσεστι τοῖς οὖσι κατὰ φύσιν· πολλὴ τοίνυν διαφορά.

Τῶν θείων ἀγαθῶν ἕξεως: Σημείωσαι τὸ ἕξεως καὶ ἐνεργείας· ἰδοὺ γὰρ ἣν προεῖπε δύναμιν, ταύτην νῦν ἕξιν φησίν, ὡς ἡρμηνεύσαμεν ἐν τοῖς ἀνωτέρω ἐν τῇ μεγάλῃ παραγραφῇ.

Οὐκοῦν, εἰ ἀεί: Ὅτι οὐ πάντῃ ἄμοιροι οἱ δαίμονες τοῦ ἀγαθοῦ.

Τὸ γὰρ ἀεὶ ταὐτόν: Ὅτι τὸ ἀεὶ ταὐτόν, ἴδιον τοῦ ἀγαθοῦ.

θὰ ὑπολειφθοῦν, ἐπειδὴ ἔχουν χαθεῖ ἐκεῖνα ποὺ φθείρονται. Ἐνέργεια λοιπὸν τῶν νοητῶν καὶ νοερῶν νόων εἶναι ἡ σύμφωνη μὲ τὴ φύση τους ἐνέργεια, δηλαδὴ ἡ ἀνάταση στὸν Θεό, ἐνῶ δύναμη τοῦ νοῦ εἶναι ἡ κάθοδός του σὲ στοχασμούς, κατὰ τὴν ὁποία κάθοδο, ἂν ὅσα εἴπαμε κινηθοῦν λανθασμένα, ὑστεροῦν στὸ ἀγαθό. Ἀπὸ τὴ φύση λοιπὸν κανένα δὲν εἶναι κακό.

Ἀλλ' ἐλλιπὲς ἀγαθόν: Ἐπειδὴ δὲν εἰσάγει τὴν τέλεια φθορὰ τῆς φθορᾶς.

Εἶτα, πῶς οἱ ἐκ Θεοῦ: Ἀναφέρεται σ' αὐτοὺς ποὺ λένε· "Ἂν οἱ δαίμονες ἔγιναν ἀπὸ τὸν Θεό, πῶς εἶναι κακοί;' Καὶ ὑπάρχει ἀπάντηση στὸ ἐρώτημα ἂν οἱ δαίμονες εἶναι κακοί. Καὶ λέει ὅτι δὲν εἶναι κακοί, ἐπειδὴ εἶναι ἀγαθοὶ κατὰ τὴ δημιουργία τῆς οὐσίας τους, γιατὶ δημιουργήθηκαν ἀπὸ τὸν ἀγαθὸ ἀγαθοὶ κι αὐτοί, ἀλλὰ εἶναι κακοὶ ἐπειδὴ ἔγιναν ἀσθενέστεροι ἀπὸ τὴ φυσική τους ἐνέργεια.

Καὶ ἀγαθὴν ἔλαχον οὐσίαν: Λέει ὅτι εἶναι ἀγαθὴ ἡ οὐσία τῶν δαιμόνων.

Ὡς τὰ λόγιά φησι: Σημείωσε, πῶς ἐννοεῖ τὴ φράση, «τοὺς ἀγγέλους ποὺ δὲν φύλαξαν τὴν ἀρχή τους». Ὡς ἀρχή τους ἐννοεῖ τὴν ἔλευσή τους στὴν ὕπαρξη· γιατὶ δημιουργήθηκαν κι αὐτοὶ γιὰ νὰ πράττουν κάθε ἀγαθὸ ἔργο, ὅπως καὶ ἐμεῖς. Ἀπὸ αὐτὰ λοιπὸν εἶναι οἱ δαίμονες καὶ ὡς πρὸς αὐτὸ μόνο γίνονται κακοί, ὡς πρὸς τὸ ὅτι διέκοψαν τὴν ἕξη τῶν ἀγαθῶν καὶ δὲν ἐνεργοῦν πιὰ τὸ ἀγαθό. Ὥστε κακοὶ εἶναι σύμφωνα μὲ τὴν προαίρεσή τους καὶ ὄχι κατὰ τὴ φύση τους, ἐνῶ τὸ ἀγαθὸ ὑπάρχει στὰ ὄντα κατὰ φύση. Εἶναι μεγάλη λοιπὸν ἡ διαφορά.

Τῶν θείων ἀγαθῶν ἕξεως: Σημείωσε τὶς λέξεις 'ἕξεως καὶ ἐνεργείας'. Γιατὶ νά, ἐκείνην ποὺ τὴν εἶπε πρωτύτερα δύναμη, αὐτὴν τώρα τὴ λέει ἕξη, ὅπως ἑρμηνεύσαμε πιὸ πάνω στὴ μεγάλη παράγραφο.

Οὐκοῦν, εἰ ἀεί: Οἱ δαίμονες δὲν εἶναι τελείως ἄμοιροι ἀπὸ τὸ ἀγαθό.

Τὸ γὰρ ἀεὶ ταυτόν: Ἡ παντοτινὴ ταυτότητα εἶναι ἴδιο τοῦ ἀγαθοῦ.

Κακοὶ δὲ εἶναι: Διὰ τί κακοὶ λέγονται οἱ δαίμονες.

Αὐτοῖς ἔκβασις: Ἔκβασιν τὴν ἀναχώρησιν τοῦ ἁρμόζοντος λέγει, ἀτέλειαν δὲ τὴν τοῦ τελείου, ἤτοι τῆς τελειότητος τὴν ἔλλειψιν.

Φαντασία προπετής: Τί ἐστι φαντασία, ἐν πρώτῳ κεφαλαίῳ εἴπομεν.

Ἀλλὰ ταῦτα: Ἰδοὺ καὶ ἑτέρα λύσις τοῦ μὴ εἶναι τὸ κακὸν φύσει κακόν, ἀλλὰ κατὰ ἔκπτωσιν τοῦ ἀγαθοῦ· τὸ γὰρ ἐν φύσει ὂν ἀεὶ ὡσαύτως ἔχει καὶ οὐ καταβάλλεται, ὥσπερ αὐτὸ τὸ ἀγαθόν, τὸ δὲ κακὸν ἄστατόν ἐστιν, ἐπειδὴ φθείρει καὶ ἀλλοιοῖ τὸ προστυχόν, ὡς εἴπομεν ἄνω. Οὐκοῦν οὐκ ἐν φύσει τὸ κακόν, ὥσπερ ἐπὶ τῶν δαιμόνων φησὶν ὁ θεῖος οὗτος ἀνήρ· εἰ γὰρ ἐν φύσει ὄν, ἀεὶ ὡσαύτως ἔχει. Ἀπέδειξεν οὖν, ὅτι καὶ δαίμονες καθὸ εἰσὶ καὶ νοοῦσι καὶ ζῶσι καὶ ἔφεσιν ἔχουσι τοῦ ἀγαθοῦ, οὔκ εἰσι φύσει κακοί, ἀλλὰ κατὰ παρατροπὴν τοῦ ἀγαθοῦ, ἐν ᾧ καὶ ἐγένοντο.

α. Οὐδὲ αὐτὰ καθ' αὐτὰ κακά: Ὁ θυμὸς ὁ ἄλογος καθ' ἑαυτόν, καὶ ἡ ἄνους ἐπιθυμία καθ' ἑαυτήν, καὶ ἡ προπετὴς φαντασία, οὐ πάντως καὶ ἐπὶ πάντων κακόν, καθ' ἑαυτὰ σκοπούμενα, ἀλλ' ἔσθ' ὅτε καὶ ἡ ἀναίρεσις αὐτῶν λυμαίνεται τῷ ταῦτα ἔχοντι ζώῳ, ὥς φησι τελείως ἐν τῷ ζ' κεφαλαίῳ τούτου τοῦ λόγου. Καλῶς δὲ ἐν ταῖς σχέσεσι ταύταις τὰ διαβάλλοντα τέθεικεν, ἐπεὶ ἔστι καὶ θυμὸς μετὰ λόγου, ὡς ὁ κατὰ τῆς ἁμαρτίας καὶ κατὰ τῶν ἐχθρῶν τοῦ Θεοῦ· καὶ ἐπιθυμία ἔννους, ὡς τὸ ἐπιθυμεῖν τοῦ βελτίονος, καὶ τό, «ἐπιθυμίᾳ ἐπεθύμησα φαγεῖν τὸ πάσχα τοῦτο μεθ' ὑμῶν». Οὕτως ἐστὶ καὶ φαντασία οὐ προ-

Κακοὶ δὲ εἶναι: Γιατί λέγονται οἱ δαίμονες κακοί.

Αὐτοῖς ἔκβασις: "Ἔκβαση' ὀνομάζει τὴν ἀπομάκρυνση ἀπὸ τὸ πρέπον, ἐνῶ ἀτέλεια τὴν ἔλλειψη τοῦ τέλειου, δηλαδὴ τῆς τελειότητας.

Φαντασία προπετής: Τί εἶναι φαντασία τὸ εἴπαμε στὸ πρῶτο κεφάλαιο.

Ἀλλὰ ταῦτα: Νὰ καὶ ἄλλη ἐξήγηση, ὅτι δὲν εἶναι τὸ κακὸ ἀπὸ τὴ φύση του κακό, ἀλλὰ ἀπὸ ἔκπτωση ἀπὸ τὸ ἀγαθό. Γιατὶ τὸ συστατικὸ τῆς φύσης εἶναι πάντοτε τὸ ἴδιο καὶ δὲν μεταβάλλεται, ὅπως ἀκριβῶς τὸ ἀγαθό. Ἐνῶ τὸ κακὸ εἶναι ἄστατο, ἐπειδὴ φθείρει καὶ ἀλλοιώνει ὅ,τι συναντᾶ, ὅπως εἴπαμε πιὸ πάνω. Δὲν εἶναι λοιπὸν τὸ κακὸ μέσα στὴ φύση, ὅπως λέει γιὰ τοὺς δαίμονες ὁ θεῖος αὐτὸς δάσκαλος. Γιατί, ἂν δὲν εἶναι πάντοτε κακοὶ οἱ δαίμονες, δὲν εἶναι κακοὶ ἀπὸ τὴ φύση τους. Γιατὶ κάτι ποὺ ἀνήκει στὴ φύση, εἶναι πάντοτε τὸ ἴδιο. Ἀπέδειξε λοιπὸν ὅτι καὶ οἱ δαίμονες σύμφωνα μ' αὐτὸ ποὺ εἶναι καὶ νοοῦν καὶ ζοῦν καὶ ἔχουν τὴν ἐπιθυμία τοῦ ἀγαθοῦ, δὲν εἶναι ἀπὸ τὴ φύση τους κακοί, ἀλλὰ ἐπειδὴ παρέκκλιναν ἀπὸ τὸ ἀγαθό, μέσα στὸ ὁποῖο καὶ ἔγιναν.

α. Οὐδὲ αὐτὰ καθ' ἑαυτὰ κακά.: Ὁ θυμὸς ὁ ἄλογος καθ' ἑαυτὸν καὶ ἡ δίχως νοῦ ἐπιθυμία καθ' ἑαυτὴν καὶ ἡ γεμάτη αὐθάδεια φαντασία, δὲν εἶναι ὁπωσδήποτε κακὸ σ' ὅλα, ἂν τὰ δοῦμε καθ' ἑαυτά, ἀλλὰ μερικὲς φορὲς καὶ ἡ ἀναίρεσή τους καταστρέφει τὴ ζωντανὴ ὕπαρξη ποὺ τὰ ἔχει, ὅπως διασαφηνίζει τέλεια στὸ ἕβδομο κεφάλαιο τοῦ λόγου αὐτοῦ. Ὀρθὰ παράθεσε σ' αὐτὲς τὶς σχέσεις καὶ τὶς ἀντίθετες, γιατὶ ὑπάρχει καὶ θυμὸς λογικός, ὅπως ὁ θυμὸς κατὰ τῆς ἁμαρτίας καὶ κατὰ τῶν ἐχθρῶν τοῦ Θεοῦ· ὑπάρχει καὶ ἐπιθυμία ποὺ κυβερνᾶ ὁ νοῦς, ὅπως τὸ νὰ ἐπιθυμεῖ κάποιος τὸ καλύτερο, σύμφωνα μὲ τὸ λόγο· «ἐπιθύμησα πάρα πολὺ νὰ φάω μαζί σας αὐτὸ τὸ πάσχα»[27]. Ἔτσι

27. Λουκᾶ 20,15.

πετής, καθ' ἣν ἐφαπτόμεθα τῶν νοητῶν, τῷ νῷ ἡμῶν τοῦτο ποιοῦντες.

Οὐχ ἡ σχέσις: Σχέσιν μέν φησιν αὐτὸ τὸ ἔχειν ἁπλῶς, τὰ δὲ προειρημένα, λέγω δὴ θυμὸς καὶ τὰ συνημμένα, τῆς ἔν τισι ζώοις ἰδιότητος συστατικαὶ δυνάμεις εἰσί, καὶ κατὰ τοῦτο οὐ κακὸν τὰ τοιαῦτα.

β. Ἀλλ' ᾗ οὐκ ἔστι: Κατὰ κοινοῦ τὸ κατὰ φύσιν.

γ. Οὐ μήποτε αὐτάς: Ἰδοὺ ἐνταῦθα σαφῶς φησιν, ὅτι ἐξ ἀγγέλων οἱ δαίμονες· τὰς γὰρ δοθείσας αὐτοῖς ἀγγελικὰς δωρεὰς οὐκ ἀποβάλλουσι, τουτέστιν ὅπερ ἐκ φύσεως ἔχουσιν ἀγαθόν, οὐ μετατρέπουσιν, εἰ καὶ αὐτοὶ μὴ βούλονται ὁρᾶν τὸ ἐν αὐτοῖς φῶς, μύσαντες αὐτῶν τὰς ἀγαθοπτικὰς δυνάμεις, ὡς τὸ εἰρημένον περὶ τῶν Ἰσραηλιτῶν· «τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, μήποτε ἐπιστρέψωσι καὶ ἰάσωμαι αὐτούς». Σημείωσαι δέ, ὅτι φωτοειδεῖς καὶ οἱ δαίμονες, μᾶλλον δὲ φῶτα κατ' οὐσίαν, ὡς καὶ οἱ λοιποὶ ἄγγελοι· οὕτω καὶ ἐν Εὐαγγελίοις· «ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπήν».

δ. Λέγονται κακοί: Οὐχ ἁπλῶς τὸ λέγεσθαι, ἀλλὰ τὸ ὂν τῇ φύσει ζητητέον. Τὸ δέ, 'καθὸ οὔκ εἰσιν', οὕτω νοητέον· Οὐ γεγόνασιν ἐπὶ παρατροπῇ τῶν θεόθεν αὐτοῖς δεδομένων ἀγαθῶν, ἕξεων τε καὶ ἐνεργειῶν, ἥντινα ἀποθέμενοι, γεγόνασι κακοί, καθ' ἣν οὔκ εἰσι τὸ εἶναι λαχόντες.

α. Καὶ τοῦ μὴ ὄντος: Πῶς οἱ τοῦ μὴ ὄντος ἐφιέμενοι τοῦ κακοῦ ἐφίενται, λεκτέον οὕτως. Ὁ Θεὸς ὂν ἐστιν ὑπὲρ τὰ ὄντα, καὶ ἡ ἀλήθεια οὖν τὸ ὄν ἐστιν, ἐπειδὴ καὶ ἡ ἀλήθεια ὁ Θεός

ὑπάρχει καὶ φαντασία ὄχι αὐθάδης, μὲ τὴν ὁποία προσεγγίζομε τὰ νοητά, κι αὐτὸ τὸ κάνομε μὲ τὸ νοῦ μας.

Οὐχ ἡ σχέσις: Σχέση λέει ἁπλῶς αὐτὸ τὸ νὰ ἔχει κανένας, ἐνῶ ὅσα εἶπα προηγουμένως, δηλαδὴ ὁ θυμὸς καὶ τὰ ὅσα συνδέονται μαζί του, εἶναι δυνάμεις ποὺ συνιστοῦν σὲ μερικὰ ζῶα τὴν ἰδιαιτερότητά τους, καὶ σύμφωνα μ' αὐτὸ αὐτὰ δὲν εἶναι κακό.

β. Ἀλλ' ᾗ οὐκ ἔστι: Τὸ κατὰ φύσιν λέγεται ἀπὸ κοινοῦ.

γ. Οὐ μήποτε αὐτάς: Ἐδῶ λέει μὲ σαφήνεια, ὅτι οἱ δαίμονες εἶναι κάποιοι ἀπὸ τοὺς ἀγγέλους. Δὲν ἀποβάλλουν δηλαδὴ τὶς ἀγγελικὲς δωρεὲς ποὺ τοὺς δόθηκαν, δηλαδὴ τὸ ἀγαθὸ ποὺ ἔχουν ἀπὸ τὴ φύση τους δὲν τὸ μεταβάλλουν, ἂν καὶ αὐτοὶ δὲ θέλουν νὰ βλέπουν τὸ μέσα τους φῶς, κλείνοντας τὶς δυνάμεις τους τὶς ὀπτικὲς τοῦ ἀγαθοῦ, σύμφωνα μ' αὐτὸ ποὺ ἔχει εἰπωθεῖ γιὰ τοὺς Ἰσραηλίτες· «ἔκλεισαν τὰ μάτια τους καὶ βαριάκουσαν τ' αὐτιά τους, ὥστε νὰ μὴν ἐπιστρέψουν κάποτε καὶ τοὺς θεραπεύσω»[28]. Καὶ σημείωσε, ὅτι καὶ οἱ δαίμονες εἶναι φωτοειδεῖς, ἢ καλύτερα φῶτα κατὰ τὴν οὐσία τους, ὅπως καὶ οἱ λοιποὶ ἄγγελοι. Αὐτὸ λέγεται καὶ στὸ Εὐαγγέλιο· «ἔβλεπα τὸν Σατανὰ σὰν ἀστραπή»[29].

δ. Λέγονται κακοί: Πρέπει νὰ ἐξετάσομε ὄχι τὸ τί λέγεται κάτι, ἀλλὰ τί εἶναι κατὰ τὴ φύση του. Τὸ λεγόμενο τώρα, 'κατὰ τὸ ὁποῖο δὲν εἶναι', πρέπει νὰ τὸ ἐννοήσομε ὡς ἑξῆς· Δὲν δημιουργήθηκαν γιὰ μεταβολὴ τῶν ἀγαθῶν ποὺ τοὺς δόθηκαν ἀπὸ τὸν Θεό, τῶν ἕξεων καὶ τῶν ἐνεργειῶν, δηλαδὴ τῆς φύσης τους, τὴν ὁποία ἀποθέτοντας ἔγιναν κακοί, σύμφωνα μὲ τὴν ὁποία δὲν εἶναι κακοί, ἀφοῦ τοὺς ἔλαχε τὸ εἶναι.

α. Καὶ τοῦ μὴ ὄντος: Πρέπει νὰ ποῦμε πῶς ὅσοι ἐπιθυμοῦν τὸ μὴ ὂν ἐπιθυμοῦν τὸ κακό. Ὁ Θεὸς εἶναι τὸ ὂν τὸ πάνω ἀπὸ τὰ ὄντα. Καὶ ἡ ἀλήθεια εἶναι τὸ ὄν, ἐπειδὴ καὶ ἡ ἀλήθεια εἶναι

28. Ματθ. 13,15.
29. Λουκᾶ 10,18.

ἐστιν· εἰκότως οὖν τὸ ἀντικείμενον τῇ ἀληθείᾳ ψεῦδός ἐστι, μήτε ὄν· ἔξω γάρ ἐστι τοῦ Θεοῦ παντελῶς· μήτε εἰκὼν ἀληθείας ὄν· οὐδὲν γὰρ ἀγαθὸν ἐκ τοῦ Θεοῦ ἔχει. Ἐπειδὴ δὲ πείθει τινὰς ὅλως εἶναί τι, ἔσται σκοτεινὸν καὶ ἀμυδρὸν τῶν ὁπωσοῦν ὄντων εἴδωλον. Διὸ καὶ ἐνεργείᾳ εἴδωλον, καὶ ἐνεργείᾳ ψεῦδος, τουτέστιν ἀληθινῶς καὶ ὄντως ψεῦδος· ὅθεν καὶ ἐνεργείᾳ μὴ ὄν, οὐκ ὄν ἐστι, καὶ ὄντως μὴ ὄν. Τοιγαροῦν ὥσπερ καὶ ἐπὶ τῶν ψευδῶς ὄντων, καὶ τὸ ὅλον τοῦτο ψεῦδος ὄντων, τὸ ψεῦδος, ἀναιρεθέν, πᾶσαν τὴν οὐσίαν τοῦ πράγματος ἀναιρεῖ, οὕτω καὶ ὁ τοῦ ψεύδους ἐρῶν, ὥσπερ οἱ δαίμονες, τοῦ μὴ ὄντος ἐρᾷ, καὶ ἐν τῷ ὄντι, τουτέστιν ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν, ὡς αὐτὴ ἡ Ἀλήθειά φησιν. Οἱ οὖν δαίμονες, καθώς φησιν ὁ Ἰησοῦς, «ψεῦσται ὄντες, καὶ πατέρες τοῦ ψεύδους», οὔτε εἰσί, καὶ τοῦ μὴ ὄντος ἐφίενται, ὅταν καὶ κακοῦ ἐφίενται τοῦ ψεύδους.

β. § 24. Εἰ δὲ τὸ κακύνεσθαι: Σημείωσαι, ὅτι τὸ συγγίνεσθαι κακοῖς ἐπὶ προνοίᾳ τοῦ καὶ αὐτὰ ἀγαθύνεσθαι οὐ κακόν, κατὰ τὸ εἰρημένον· «ἐγενόμην τοῖς ἀνόμοις ὡς ἄνομος, ἵνα καὶ ἀνόμους κερδήσω». Ἔφημεν δὲ καὶ ἀνωτέρω ἐν τῷ ε΄ κεφαλαίῳ, μὴ παντελῆ στέρησιν γενέσθαι τοῦ ἀγαθοῦ ἐν τοῖς οὖσιν, ἐπεὶ καὶ παντελὴς ἐγένετο ἂν φθορὰ καὶ αὐτῆς τῆς φθορᾶς, ἀλλὰ κατ' ἔλλειψιν τοῦ ἀγαθοῦ μερικήν. Οὐκοῦν κατὰ τοῦτο οὔτε ἡ ψυχὴ παντελὲς ἔχει τὸ κακόν, ἀλλὰ τὸ μὲν ἕξει, τὸ δὲ οὐχ ἕξει· καὶ τὸ μὲν ἀγαθὸν οὐσιῶδες, τὸ δὲ κακὸν ἔξωθεν. Ἀλλὰ καὶ οὕτως ἐρεῖ τις κακὸν εἶναι τῇ ψυχῇ τὸν ἐμποδισμὸν

ὁ Θεός. Εὔλογα λοιπὸν ὅ,τι ἀντίκειται στὴν ἀλήθεια εἶναι ψεῦδος καὶ οὔτε ὑπάρχει. Γιατὶ εἶναι τελείως ἔξω ἀπὸ τὸν Θεό. Οὔτε εἶναι εἰκόνα τῆς ἀλήθειας. Ἀφοῦ δὲν ἔχει τίποτε ἀγαθὸ ἀπὸ τὸν Θεό. Ἐπειδὴ ὅμως πείθει μερικούς, ὅτι ὁπωσδήποπτε εἶναι κάτι, θὰ εἶναι σκοτεινὸ καὶ φευγαλέο εἴδωλο ὅσων ὑπάρχουν κατὰ κάποιο τρόπο. Γι' αὐτὸ καὶ εἶναι εἴδωλο ἐνεργείᾳ (στὴν πραγματικότητα) καὶ ψεῦδος ἐνεργείᾳ (στὴν πραγματικότητα), δηλαδὴ εἶναι ἀληθινὰ καὶ πραγματικὰ ψεῦδος. Γι' αὐτὸ καὶ ἐπειδη δὲν ὑπάρχει ἐνεργείᾳ (στὴν πραγματικότητα), εἶναι μὴ ὂν καὶ πραγματικὰ μὴ ὄν. Ἐπομένως ὅπως καὶ γι' αὐτὰ ποὺ ψευδῶς ὑπάρχουν καὶ ποὺ εἶναι τὸ σύνολο αὐτοῦ τοῦ ψεύδους, ὅταν ἀναιρεθεῖ τὸ ψεῦδος, ἀναιρεῖ ὅλη τὴν οὐσία τοῦ πράγματος. Ἔτσι καὶ ὅποιος ἀγαπᾶ τὸ ψεῦδος, ὅπως οἱ δαίμονες, ἀγαπᾶ τὸ μὴ ὂν καὶ δὲν στέκεται μέσα στὸ ὄν, δηλαδὴ μέσα στὴν ἀλήθεια, ὅπως λέει ἡ ἴδια ἡ Ἀλήθεια[30]. Οἱ δαίμονες λοιπόν, ὅπως λέει ὁ Ἰησοῦς, ἐπειδὴ εἶναι ψεῦτες καὶ πατέρες τοῦ ψεύδους, καὶ δὲν ὑπάρχουν καὶ τὸ μὴ ὂν ἐπιθυμοῦν, ὅταν ἐπιθυμοῦν τὸ κακὸ τοῦ ψεύδους.

§ 24. Εἰ δὲ τὸ κακύνεσθαι: Σημείωσε, ὅτι τὸ νὰ πλησιάζει κανεὶς τὰ κακὰ μὲ σκοπὸ να γίνουν κι αὐτὰ ἀγαθὰ δὲν εἶναι κακό, σύμφωνα μὲ αὐτὸ ποὺ ἔχει λεχθεῖ· «ἔγινα πρὸς τοὺς ἄνομους σὰν ἄνομος, γιὰ νὰ κερδίσω καὶ τοὺς ἄνομους»[31]. Εἶπα πιὸ πάνω στὸ πέμπτο κεφάλαιο, ὅτι δὲν συνέβηκε τέλεια ἔλλειψη τοῦ ἀγαθοῦ μέσα στὰ ὄντα, γιατὶ θὰ συνέβαινε καὶ τέλεια φθορὰ καὶ τῆς φθορᾶς τῆς ἴδιας, ἀλλὰ συνέβηκε μόνο μερικὴ στέρηση κατὰ ἔλλειψη τοῦ ἀγαθοῦ. Ἐπομένως σύμφωνα μ' αὐτὸ οὔτε ἡ ψυχὴ ἔχει τέλειο τὸ κακό, ἀλλὰ τὸ ἕνα κακὸ θὰ τὸ ἔχει, ἐνῶ τὸ ἄλλο δὲ θὰ τὸ ἔχει. Καὶ τὸ ἀγαθὸ βέβαια ἀνήκει στὴν οὐσία της, ἐνῶ τὸ κακὸ ἔρχεται ἀπ' ἔξω. Ἀλλὰ καὶ σύμφωνα μὲ τὴ σκέψη αὐτή, θὰ πεῖ κάποιος, ὅτι κακὸ γιὰ τὴν ψυχὴ εἶναι ἡ

30. Ἰω.8,44.
31. Α' Κορ. 9,21.

τῆς οἰκείας κατὰ φύσιν ἐνεργείας. Εἰ καὶ ἔξωθεν τοίνυν ἦν ὁ ἐμποδισμός, ἀλλ' οὖν ὡς ἐν σκότῳ βλέπειν κωλυομένη ψυχή, ποιήσει κακά. Πρὸς δ λεκτέον, ὅτι ἐκ τῶν εἰρημένων εὑρίσκεται ὁ ἐμποδισμὸς ποιητικὸν κακοῦ, οὐ μὴν αὐτόκακον· οὐ γὰρ ἡ κακία πρῶτον κακόν, ἀλλ' εἶδος κακοῦ, ὥσπερ ἡ ἀρετὴ συνεργόν τί ἐστι πρὸς ἀγαθόν, οὔ τοι πρῶτον ἀγαθόν.

γ. Τὸ κακόν, ὡς ὂν κακόν: Τουτέστιν οὐκ οὐσία τις τὸ κακόν, ἀλλ' οὐδὲ ἐν τοῖς κατ' οὐσίαν οὖσι ὡς συμπληρωτικὸν ταύτης ὁρᾶται, ὥσπερ δύναμις καὶ ἐνέργεια τὸ κακόν· καὶ πρὸς τὴν τοιαύτην τῆς ἐννοίας ἀπόδοσιν ὁ πᾶς περὶ τούτου σκοπὸς ὁρᾶται τοῦ πατρός.

Ἀλλ' ὡς ἔλλειψις: Πῶς νοεῖται τὸ κακόν.

δ. § 25. Ἀλλ' οὐδ' ἐν ζώοις: Ὅτι οὔτε ἐν ζώοις ἀλόγοις ἐστὶ τὸ κακόν, ἐπεὶ μήτε φύσει κακά εἰσιν, ἀλλ' οὔτε αἱ σχέσεις αὐτῶν κακαί, οἷον θυμός, ἐπιθυμία, φαντασία προπετής.

ε. Εἰ γὰρ ἀνέλοις: Ὅτι φυσικαί εἰσιν αἱ σχέσεις τῶν ἀλόγων, ὥσπερ λέοντι καὶ ἑρπετοῖς ὁ θυμός, καὶ κυσὶ τὸ ὑλακτικόν· ὅθεν ὡς φυσικαί, οὔτε κακαί.

ς. § 26. Ἀλλ' οὐδ' ἐν τῇ ὕλῃ: Φύσις ἐστὶ καθ' ἕξιν θεία τέχνη εἰς γένεσιν προϊοῦσα, ἧς θείας τέχνης τὰ ἀποτελέσματα φυτά τε καὶ ζῶα καὶ καρποὶ καὶ τῶν στοιχείων εἰς ἄλληλα μεταβολαί, ἀρχὴ κινήσεως οὖσα καὶ στάσεως. Ὥσπερ οὖν ἐπὶ τῶν κηροπλαστῶν καὶ τῶν τὰς πλαστικὰς μετιόντων τέχνας δεῖ εἶναί τι ἐν αὐτοῖς μένον, τουτέστι λόγον καὶ νοῦν, οἳ διὰ χειρῶν ποιοῦσι τὰ ἑαυτῶν ἔργα, οὕτω καὶ ἐπὶ τῆς φύσεως τῶν ὅλων, ἔστι τι ἐν αὐτοῖς μένον, τουτέστι ἡ δύναμις, οὐ διὰ χειρῶν ἐργαζομένη, ἀλλὰ βούλησις καὶ διανόησις οὖσα Θεοῦ,

παρεμπόδιση τῆς σύμφωνης μὲ τὴ φύση της ἐνέργειας. Ἂν καὶ βέβαια ἡ παρεμπόδιση ἦταν ἀπ' ἔξω, ἀλλ' ὅμως, ἐμποδιζόμενη ἡ ψυχὴ σὰν σὲ σκοτάδι νὰ βλέπει, θὰ κάνει κακά. Σ' αὐτὸ πρέπει νὰ σημειώσομε, ὅτι ἀπὸ ὅσα εἴπαμε βρίσκεται ὅτι ἡ παρεμπόδιση γίνεται πρόξενος κακοῦ, δὲν εἶναι ὅμως αὐτοκακό. Γιατὶ δὲν εἶναι ἡ κακία πρῶτο κακό, ἀλλὰ ἕνα εἶδος κακοῦ, ὅπως ἡ ἀρετὴ εἶναι κάτι ποὺ συνεργεῖ στὸ ἀγαθό, ὄχι βέβαια πρῶτο ἀγαθό.

γ. Τὸ κακὸν ὡς ὂν κακόν: Δηλαδὴ δὲν εἶναι τὸ κακὸ κάποια οὐσία, ἀλλ' οὔτε σὲ ὅσα ὑπάρχουν εἶναι συμπληρωματικὸ τὸ κακὸ τῆς οὐσίας τους σὰν δύναμη κι ἐνέργεια. Καὶ βλέπομε ὅτι ὅλος ὁ σκοπὸς τοῦ πατέρα γι' αὐτὸ νὰ συμφωνεῖ μ' αὐτὴ τὴν ἐκδοχὴ τῆς ἔννοιας.

Ἀλλ' ὡς ἔλλειψις: Πῶς δηλαδὴ νοεῖται τὸ κακό.

δ. § 25. Ἀλλ' οὐδ' ἐν ζώοις: Τὸ κακὸ δὲν ὑπάρχει οὔτε στὰ ἄλογα ζῶα, ἐπειδὴ οὔτε ἀπὸ τὴ φύση τους εἶναι κακά, οὔτε καὶ οἱ ἕξεις τους εἶναι κακές, ὅπως ὁ θυμός, ἡ ἐπιθυμία, καὶ ἡ προπετὴς φαντασία.

ε. Εἰ γὰρ ἀνέλοις: Ὅτι οἱ ἕξεις τῶν ἀλόγων ζώων εἶναι φυσικές, ὅπως ὁ θυμὸς στὰ λιοντάρια καὶ στὰ ἑρπετά, καὶ τὸ ἀλύχτημα τῶν σκυλιῶν. Γι' αὐτό, ἀφοῦ εἶναι φυσικές, δὲν εἶναι οὔτε κακές.

ϛ. § 26. Ἀλλ' οὐδὲ ἐν τῇ ὕλῃ: Ἡ φύση εἶναι ἡ θεία τέχνη ποὺ προχωρεῖ στὴ γένεση σύμφωνα μὲ τὴν ἕξη, καὶ τ' ἀποτελέσματα τῆς θείας τέχνης εἶναι τὰ φυτά, τὰ ζῶα, καὶ οἱ καρποί, οἱ ἀμοιβαῖες μεταβολὲς τῶν στοιχείων, καὶ γενικὰ ἡ οὐσία τῶν φαινομένων καθ' ἑαυτήν, ποὺ εἶναι ἀρχὴ τῆς κίνησης καὶ τῆς στάσης. Ὅπως λοιπὸν στοὺς κηροπλάστες καὶ γενικὰ σ' αὐτοὺς ποὺ ἀσκοῦν τὶς πλαστικὲς τέχνες, ποὺ φτιάχνουν τὰ ἔργα τους μὲ τὰ χέρια τους, πρέπει νὰ ὑπάρχει σ' αὐτοὺς κάτι μόνιμο, δηλαδὴ ὁ λόγος καὶ ὁ νοῦς, ἔτσι καὶ στὴ φύση τῶν ὅλων, ὑπάρχει μέσα σ' αὐτὰ κάτι μόνιμο, δηλαδὴ ἡ δύναμη, ποὺ δὲν ἐργάζεται μὲ τὰ χέρια, ἀλλά, ὄντας βούληση καὶ διανόηση τοῦ

προϊοῦσα οἷον τέχνη εἰς γένεσιν τῶν φυομένων· οὐ γὰρ δεῖται ἡ φύσις τινῶν μενόντων, ἑτέρων δὲ ὡς κινουμένων· ἡ γὰρ ὕλη ἐστὶν ἡ εἰς γένεσιν κινουμένη, τὸ δὲ κινοῦν αὐτὴν ὁ ἀκίνητός ἐστι λόγος ὁ ἐν τῷ ὅλῳ, ὅς ἐστιν ἡ θεία τέχνη, ἣν ἔφημεν φύσιν, εἶδος οὖσα, οὐ μὴν ἐξ ὕλης καὶ εἴδους· τί γὰρ αὐτὴ ὕλης δεῖ, θερμῆς ἢ ψυχρᾶς; ἡ γὰρ δεδημιουργημένη ὕλη τοῦτο φέρει ἐν ἑαυτῇ· οὐ γὰρ δεῖ πῦρ προσελθεῖν, ἵνα πῦρ ἡ ὕλη γένηται, ἀλλὰ λόγον· ὃ καὶ σημεῖόν ἐστι οὐ μικρὸν τοῦ καὶ ἐν τοῖς ζώοις καὶ τοῖς φυτοῖς, τοὺς λόγους εἶναι τοὺς ποιητικοὺς κατὰ τὴν φύσιν εἶναι λόγον τὸν μένοντα· λόγους δὲ τοὺς κατὰ τὰς μορφὰς τῶν ὁρωμένων τῆς φύσεως εἶναι γεννήματα, ἤτοι τοῦ κατ' αὐτὴν ἀκινήτου καὶ μένοντος λόγου. Πῶς οὖν ἐν τῇ καθόλου φύσει τὸ κακόν, τῶν ἐν τοῖς δημιουργήμασι λόγων φυσικῶν ὄντων, καὶ ἐν οὐδενὶ ἐναντιουμένων τῇ ὅλῃ φύσει ἐξ ἀγαθοῦ οὔσῃ; Εἰ τοίνυν ἀποδέδεικται τὴν καθόλου φύσιν ἐκ τἀγαθοῦ εἶναι, τοὺς δὲ καθ' ἕκαστον ἐν τοῖς δημιουργήμασι λόγους μὴ ἐναντιοῦσθαι τῇ καθόλου φύσει, πρόδηλον ὡς οὐδὲ ἐν φύσει τὸ κακόν· τοῦτο δὲ τῷ καλῷ ἐναντίον· οὐκοῦν οὐκ ἔστι τὸ κακόν, οὐδὲ ἐν τῷ καθόλου. Τὰ δὲ ἐν τοῖς κατ' εἶδος τῆς δημιουργίας ἐναντία, εἴτε ἐν κράσεσιν, εἴτε ἐν ζώοις καὶ λοιποῖς, οὐχ ἑαυτοῖς εἰσι παρὰ φύσιν, ἀλλὰ τοῖς ἄλλοις· ἐν οἷς δὲ παρὰ φύσιν πλημμελῶς φέρονται, τοῦ κατὰ φύσιν ἐστὶν ἀσθένεια, οὐ μὴν τοῦτο κακόν· κακία δὲ τάξεως μᾶλλόν ἐστι.

Τῆς καθόλου φύσεως: Καθόλου φύσιν τὴν θείαν φύσιν καλεῖ.

ζ. Εἰ γὰρ οἱ πάντες: Πάντες, φησίν, οἱ τῆς φύσεως λόγοι, ἤγουν αἱ αἰτίαι καθ' ἃς γεγόνασι καὶ εἰσί, παρὰ τῆς θείας φύσεως ὑπάρχουσιν, ἥν, ὡς εἴρηται, καθόλου καλεῖ, ἐπειδὴ ἐξ αὐτῆς ἔφυ τὰ ὅλα· ὅλην δὲ φύσιν πάντα τὰ ὑπὸ τοῦ Θεοῦ κτισθέντα

Θεοῦ, προχωρεῖ ὅπως μιὰ τέχνη στὴ γένεση ὅσων γίνονται (φύονται). Γιατὶ ἡ φύση δὲν ἔχει ἀνάγκη ἀπὸ κάποια ποὺ μένουν κι ἀπὸ ἄλλα ποὺ κινοῦνται. Γιατὶ αὐτὴ ποὺ προχωρεῖ στὴ γένεση εἶναι ἡ ὕλη, κι αὐτὸ ποὺ τὴν κινεῖ εἶναι ὁ ἀκίνητος λόγος ποὺ ὑπάρχει μέσα στὸ ὅλο, ὁ ὁποῖος εἶναι ἡ θεία τέχνη, ποὺ τὴν εἴπαμε φύση, καὶ εἶναι εἶδος καὶ ὄχι ἀπὸ ὕλη καὶ εἶδος. Τί ἀνάγκη ἔχει αὐτὴ ἀπὸ ὕλη θερμὴ ἢ ψυχρή; Γιατὶ ἡ δημιουργημένη ὕλη τὸ ἔχει αὐτὸ μέσα της· δὲν χρειάζεται λοιπὸν νὰ τὴν πλησιάσει ἡ φωτιά, γιὰ νὰ γίνει ἡ ὕλη φωτιά, ἀλλὰ ὁ λόγος. Κι αὐτὸ δὲν εἶναι μικρὸ σημεῖο, ὅτι καὶ μέσα στὰ ζῶα καὶ μέσα στὰ φυτὰ ὑπάρχουν οἱ δημιουργικοὶ λόγοι, ποὺ εἶναι ὁ μόνιμος λόγος τῆς φύσης. Οἱ λόγοι ὡς πρὸς τὶς μορφὲς τῶν φαινομένων εἶναι γεννήματα τῆς φύσης, δηλαδὴ τοῦ λόγου ποὺ μένει ἀκίνητος μέσα σ' αὐτήν. Πῶς λοιπὸν ὑπάρχει τὸ κακὸ μέσα στὴν ὅλη φύση, ἀφοῦ οἱ λόγοι τῶν δημιουργημάτων εἶναι φυσικοὶ καὶ δὲν ἐναντιώνονται σὲ τίποτε σὲ ὅλη τὴ φύση ποὺ προέρχεται ἀπὸ τὸ ἀγαθό; Ἂν λοιπὸν ἔχει ἀποδειχθεῖ, ὅτι ἡ ὅλη φύση προέρχεται ἀπὸ τὸ ἀγαθὸ καὶ ὅτι οἱ λόγοι καθενὸς ἀπὸ τὰ δημιουργήματα δὲν ἐναντιώνονται στὴν καθόλου φύση, εἶναι ὁλοφάνερο ὅτι τὸ κακὸ δὲν ὑπάρχει οὔτε μέσα στὴ φύση· καὶ τὸ κακὸ εἶναι ἀντίθετο στὸ καλό. Ἐπομένως τὸ κακὸ δὲν ὑπάρχει οὔτε μέσα στὸ καθολικό. Οἱ ἀντιθέσεις μέσα στὰ εἴδη τῆς δημιουργίας, εἴτε στὴν κράση τους εἴτε στὰ ζῶα καὶ στὰ λοιπά, δὲν εἶναι παρὰ φύση στὸν ἑαυτό τους, ἀλλὰ στὰ ἄλλα. Σὲ ὅποια ἐκδηλώνονται δυσάρμοστα παρὰ φύση, ἀποτελοῦν ἀσθένεια τοῦ κατὰ φύση, ἀλλὰ αὐτὸ δὲν εἶναι κακό. Πρόκειται μᾶλλον γιὰ κακία (δυσαρμονία) τῆς τάξης.

Τῆς καθόλου φύσεως: Καθόλου (καθολικὴ φύση) καλεῖ τὴ θεία φύση.

ζ. Εἰ γὰρ οἱ πάντες: Ὅλοι, λέει, οἱ λόγοι τῆς φύσης, δηλαδὴ οἱ αἰτίες σύμφωνα μὲ τὶς ὁποῖες ἔχουν γίνει καὶ ὑπάρχουν, ὑπάρχουν ἀπὸ τὴ θεία φύση, τὴν ὁποία, ὅπως εἶπα, καλεῖ 'καθόλου', ἐπειδὴ ἀπὸ αὐτὴν ἔλαβαν τὴν ὕπαρξή τους ὅλα. Καὶ ὅλα

ἐκάλεσεν. Οὐδὲν οὖν ἐστιν ἐν τῇ φύσει, ὅπερ ὅλον ὅλοις ἀντίκειται· τὸ γάρ τινι τῶν ὄντων παρὰ τὴν αὐτοῦ φύσιν ἑτέρῳ φύσις ἐστί· τοῦτο δὲ ἀγαθόν. Πάσῃ οὖν φύσει τὸ μὴ μένειν ἐφ' οἷς γέγονε, κακόν· τοῦτο γὰρ ἔφη στέρησιν τῶν τῆς φύσεως, τὸ μὴ ἐκτελεῖν καθ' ὁποιανοῦν αἰτίαν τὰ ἐφ' οἷς παρήχθη πρὸς γέννησιν.

η. § 27. Ἀλλ' οὐδ' ἐν σώματι: Ὥσπερ τὸ κάλλος συμμετρία ἐστὶ μελῶν καὶ μερῶν μετὰ εὐχροίας, οὕτως αἶσχος ἀσυμμετρία ἐστὶ τῶν αὐτῶν.

θ. Αἴτιον τῇ ψυχῇ: Ἐπειδή τινες τῶν φιλοσόφων φασίν, ἐκ τοῦ ἀλόγου τῆς ψυχῆς μέρους, ὕλῃ καὶ σώματι μεμιγμένου, ρεπούσης ἐπ' αὐτὸ τῆς ψυχῆς τὰ κακὰ πράττειν, ὡς ἀνωτέρω διῆλθεν, παγκάλως ὁ θεῖος Διονύσιος λύει τὸ ἐπαπόρημα ἐκ τῶν ἄλλων ἀσωμάτων καὶ ἀμιγῶν σώματος πάντῃ, οἳ καὶ δίχα σώματος, ἐλλείψει τοῦ ἀγαθοῦ πλημμελοῦσι.

Παρυφίστασθαι κακίαν: Ὅτι δυνατὸν καὶ ἄνευ σώματος παρυφίστασθαι κακίαν, ὡς ἐν τοῖς δαίμοσι.

Καὶ σώμασι κακόν: Τί ἐστι κακόν.

§ 28. Ἡ μηδὲ τὸ πάσχειν δύνασθαι καθ' ἑαυτήν: Εὔλογον ἐπιδρομάδην ἐκθέσθαι τὰς δόξας τῶν λεγόντων τὴν ὕλην μὴ ὄν, καὶ πῶς καλοῦσιν αὐτὴν μὴ ὄν, ἵνα καὶ οἱ συλλογισμοὶ τοῦ θείου Διονυσίου νοηθῶσι. Καλοῦσιν οὖν τὴν ὕλην μὴ ὂν ἐκ τοῦ τοιούτου· φασὶ γάρ, ὅτι τὸ ὄν, ὃ ἐστιν ἐν τοῖς νοητοῖς διακόσμοις, ἐκ τοῦ πρώτου τοῦ ὑπὸ τὸ ὂν ὄντος ἐγένετο. Ἐπεὶ οὖν ἐκεῖνος ὑπὲρ τὸ ὄν ἐστι, τὸ ὂν ἐξ αὐτοῦ ὂν ἐκλήθη, ἕτερον ὂν τοῦ ὄντος καθ' ὑπόβασιν· τὸ γὰρ ὄν, ὃ λέγουσι, τὴν τῶν νοητῶν ὕλην ὀνομάζουσι, λόγῳ μόνῳ θεωρητήν, ἣν καὶ αὐτὴν εἶδος καὶ ζωήν φασιν, οἱονεὶ τὸ ὑποκείμενον ταῖς νοηταῖς οὐσίαις·

ὅσα δημιουργήθηκαν ἀπὸ τὸν Θεὸ τὰ ὀνόμασε 'ὅλη φύση'. Τίποτε λοιπὸν δὲν ὑπάρχει μέσα στὴ φύση, ποὺ νὰ εἶναι ὅλο ἀντίθετο σὲ ὅλα· κάτι ποὺ σὲ ἕνα ὂν εἶναι ἀντίθετο μὲ τη φύση του, αὐτὸ εἶναι ἡ φύση ἑνὸς ἄλλου· κι αὐτὸ εἶναι τὸ ἀγαθό. Γιὰ ὅλη λοιπὸν τὴ φύση τὸ νὰ μὴ μένει σ' αὐτὰ γιὰ τὰ ὁποῖα ἔγινε, εἶναι κακό. Γιατὶ αὐτὸ εἶπε στέρηση τῶν φυσικῶν στοιχείων, τὸ νὰ μὴν ἐκτελεῖ γιὰ ὁποιαδήποτε αἰτία τὸ σκοπὸ γιὰ τὸν ὁποῖο ἦρθε στὴ γέννηση.

§ 27. Ἀλλ' οὐδ' ἐν σώματι: Ὅπως ἀκριβῶς ἡ ὀμορφιὰ εἶναι συμμετρία μελῶν καὶ μερῶν μὲ θελητικὸ χρῶμα, ἔτσι ἀσχήμια εἶναι ἡ ἀσυμμετρία τῶν μελῶν καὶ τῶν μερῶν.

θ. Αἴτιον τῇ ψυχῇ: Ἐπειδὴ μερικοὶ φιλόσοφοι ἰσχυρίζονται, ὅτι ἀπὸ τὸ ἄλογο μέρος τῆς ψυχῆς, ποὺ εἶναι μικτὸ ἀπὸ ὕλη καὶ σῶμα, ρέποντας σ' αὐτὸ ἡ ψυχὴ πράττει τὰ κακά, ὅπως ἐξέθεσε πιὸ πάνω, λύει τὴν ἀπορία αὐτὴν μὲ πάρα πολὺ ὡραῖο τρόπο ὁ θεῖος Διονύσιος ἀπὸ τὰ ἄλλα τὰ ἀσώματα ὄντα καὶ ἐντελῶς ἄμικτα ἀπὸ σῶμα, τὰ ὁποῖα καὶ δίχως σῶμα σφάλλουν ἀπὸ ἔλλειψη τοῦ ἀγαθοῦ.

Παρυφίστασθαι κακίαν: Εἶναι δυνατὸ καὶ χωρὶς σῶμα νὰ ὑπάρχει ἡ κακία σ' ἕνα ὄν, ὅπως συμβαίνει στοὺς δαίμονες.

Καὶ σώμασι κακόν: Τί εἶναι τὸ κακό.

§ 28. Ἢ μηδὲ τὸ πάσχειν δύνασθαι καθ' ἑαυτήν: Εἶναι εὔλογο νὰ ἐκθέσομε ἐπιτροχάδην τὶς γνῶμες ἐκείνων ποὺ χαρακτηρίζουν τὴν ὕλη μὴ ὄν, καὶ πῶς τὴν ὀνομάζουν μὴ ὄν, γιὰ νὰ κατανοηθοῦν καὶ οἱ συλλογισμοὶ τοῦ θείου Διονυσίου. Καλοῦν λοιπὸν τὴν ὕλη μὴ ὂν ἀπὸ τὸ ἑξῆς· Λένε ὅτι τὸ ὄν, ποὺ ὑπάρχει στοὺς νοητοὺς κόσμους, ἔγινε ἀπὸ τὸ ὂν ποὺ ὑπάρχει πρῶτο κάτω ἀπὸ τὸ ὄν. Ἐπειδὴ λοιπὸν ἐκεῖνος εἶναι πάνω ἀπὸ τὸ ὄν, τὸ ὂν ὀνομάστηκε ὂν ἀπὸ αὐτόν, ὂν ἄλλο μὲ βάση τὸ ὄν. Μὲ τὸ ὂν δηλαδὴ ποὺ λένε ὀνομάζουν τὴν ὕλη τῶν νοητῶν, ποὺ μπορεῖ νὰ τὴ θεωρήσει ὁ λόγος μόνο, ποὺ κι αὐτη τὴ λένε εἶδος καὶ ζωή, ποὺ εἶναι σὰν ἕνα εἶδος ὑπόβαθρου στὶς νοητὲς οὐσίες. Ἐνῶ τὴν ὕλη τῶν αἰσθητῶν τὴ χαρακτηρίζουν στερημένη ἀπὸ

τὴν δὲ ἐν τοῖς αἰσθητοῖς ὕλην, ὡς ἐνδεῆ πάντων τῶν ἐν τοῖς νοητοῖς· οὔτε γὰρ εἶδος, οὔτε ζωὴ αὐτή. Ἐγένετο δὲ αὕτη, ὥς φασιν, ὑπὸ τοῦ ὄντος, ὃν ἔφησαν γενέσθαι ἀπὸ τοῦ πρώτου καὶ ὑπερόντος· ὥστε ἕτερον αὐτὴν οὖσαν τοῦ ὄντος οὐ λέγουσιν αὐτὴν εἶναι ὄν, ἀλλὰ μὴ ὄν· φασὶ γὰρ χρῆναι τὴν ὑπόβασιν καὶ μέχρι τῶν ἐσχάτων ἰέναι, καὶ διὰ τοῦτο ἕτερόν φασι τὴν ὕλην τοῦ ὄντος καὶ τοῦ καλοῦ, ὡς μηδὲ καλὸν εἶναι. Οὐδὲν οὖν φασιν αὐτὴν ἐνεργείᾳ εἶναι, ἀλλὰ πάντων ἐστερῆσθαι τῶν ἐπ' αὐτῆς συμβαινόντων, οἷον εἴδους καὶ ποιότητος· οὔτε γὰρ ἑαυτὴν μορφοῖ εἰς εἶδος, οἷον οὐρανοῦ, γῆς, ἀέρος, ὕδατος, ζώων, ἀστέρων, οὔτε ποιοῖ, ἀλλ' ἐξ ἑτέρου κοσμεῖται εἰς ταῦτα. Ὡς οὖν οὐδὲν οὖσα τῶν ὄντων ἐπ' αὐτῇ, εἴδους φασὶ καὶ ποιότητος, μόνον δὲ δυνάμει οὖσα ταῦτα, τουτέστιν εἰς εἶδος καὶ ποιότητα ἐνεχθῆναι δυναμένη, οὐ μὴν ἐνεργείᾳ τι οὖσα τούτων, εἰκότως μὴ ὄν ἐστι, καθ' ἑαυτὴν ἐνεργείᾳ μὴ οὖσα, διὸ καὶ ὡς ἀνείδεος καὶ ὡς ἄποιος, καὶ μὴ ὄν, καὶ ὡς πάντων ἐνδεής, ἐκλήθη κακὸν παρ' αὐτῶν. Ταῦτα οὖν λύων ὁ θεῖος Διονύσιός φησι· Πῶς ποιήσει κακὸν ἡ ὕλη, ἡ παντελῶς μὴ οὖσα τῇ ἐνεργείᾳ; τὸ γὰρ ποιεῖν ἐνεργείας ἐστίν· ἀλλὰ μηδὲ πάσχειν τι δυναμένη, καθ' ἑαυτὴν μόνον οὖσα· ἐξ ἑτέρου γὰρ καθ' ἡμᾶς κοσμεῖται εἰς εἶδος καὶ ποιότητα· οὐ πάσχει οὖν καθ' ἑαυτὴν οὖσα. Εἰ δὲ μὴ ὂν αὐτὴν λέγετε, ὡς παντελῶς οὐδὲν οὖσαν, οὔτε κακὸν ἔσται οὔτε ἀγαθόν· εἰ δέ ἐστί τι ὄν, ἢ ἐκ Θεοῦ ἐστιν ἢ ἐξ ἑαυτῆς, ἢ ἐξ ἑτέρας ἀρχῆς, καὶ αὐτὴ καὶ ὁ Θεός· εἰ δὲ ἀναγκαῖον ἡ ὕλη, ὡς συμπληρωτικὸν κόσμου, πῶς κακὸν ἡ ὕλη; Ὅρος γὰρ ἀναγκαίου, ἀΐδιον, ἀληθές, ὡς ὠφέλιμον, οἷα ἐστὶν ἡ ἀρετὴ ὠφελοῦσα. Ἄλλο οὖν τὸ κακόν, καὶ ἄλλο τὸ ἀναγκαῖον.

Τὸ γὰρ κακόν, ᾗ κακόν: Ἀνατρέπων τὰς δόξας τῶν λεγόν-

ὅλα ὅσα ἔχουν τὰ νοητά· γιατὶ ἡ ὕλη δὲν εἶναι οὔτε εἶδος οὔτε ζωή. Ἔγινε αὐτή, ὅπως ἰσχυρίζονται, ἀπὸ τὸ ὄν, ποὺ εἶπαν ὅτι ἔγινε ἀπὸ τὸ πρῶτο καὶ ὑπέρτατο ὄν. Ὥστε δὲν λένε ὅτι αὐτὴ εἶναι διαφορετικὴ ἀπὸ τὸ ὄν, ἀλλὰ ὅτι εἶναι μὴ ὄν. Γιατὶ λένε, ὅτι πρέπει τὸ ὑπόβαθρο νὰ προχωρεῖ ὡς τὰ ἔσχατα, καὶ γι' αὐτὸ λένε ὅτι ἡ ὕλη εἶναι διαφορετικὴ ἀπὸ τὸ ὂν καὶ τὸ ὡραῖο, γιατί δὲν εἶναι οὔτε ὡραῖο. Ὑποστηρίζουν λοιπὸν ὅτι αὐτὴ ἐνεργείᾳ (στὴν πραγματικότητα) δὲν εἶναι τίποτε, ἀλλὰ στερεῖται ὅλα ὅσα συμβαίνουν σ' αὐτήν, ὅπως τὸ εἶδος καὶ ἡ ποιότητα. Οὔτε δηλαδὴ δίνει στὸν ἑαυτό της τὴ μορφή, ὅπως γιὰ παράδειγμα τοῦ οὐρανοῦ, τῆς γῆς, τοῦ ἀέρα, τοῦ νεροῦ, τῶν ζώων, τῶν ἄστρων, οὔτε πάλι δίνει τὴν ποιότητά της, ἀλλὰ κάποιο ἄλλο τὴ διαμορφώνει σ' αὐτά. Ἐπειδὴ λοιπὸν δὲν εἶναι κανένα ἀπὸ τὰ ὄντα ποὺ ὑπάρχουν σ' αὐτήν, τὸ εἶδος δηλαδὴ καὶ τὴν ποιότητα, ἀλλὰ εἶναι αὐτὰ μονάχα δυνάμει, δηλαδὴ μπορεῖ νὰ λάβει εἶδος καὶ ποιότητα, ἐνῶ ἐνεργείᾳ (στὴν πραγματικότητα) δὲν εἶναι τίποτε ἀπὸ αὐτά, εὔλογα εἶναι μὴ ὄν, ἀφοῦ δὲν ὑπάρχει ἐνεργείᾳ καθεαυτήν. Γι' αὐτό, ἀφοῦ εἶναι χωρὶς μορφὴ καὶ χωρὶς ποιό, κι ἀφοῦ εἶναι μὴ ὂν καὶ τῆς λείπουν τὰ πάντα, ὀνομάστηκε ἀπὸ αὐτοὺς κακό. Λύνοντας λοιπὸν τὶς ἀπορίες αὐτὲς ὁ θεῖος Διονύσιος λέει· Πῶς μπορεῖ νὰ δημιουργήσει κακὸ ἡ ὕλη, ἡ ὁποία δὲν ἔχει καμμιὰ ἀπολύτως ὕπαρξη ἐνεργείᾳ; γιατὶ ἡ δημιουργία ἀπαιτεῖ ἐνέργεια. Ἀλλ' οὔτε νὰ πάθει κάτι μπορεῖ, ἐπειδὴ ὑπάρχει μόνο καθευτήν. Ἂν αὐτὴ λοιπὸν τὴν χαρακτηρίζετε ὡς μὴ ὄν, ἐπειδὴ δὲν εἶναι τίποτε ἀπολύτως, δὲν θὰ εἶναι οὔτε κακὸ οὔτα ἀγαθό· ἂν ὅμως εἶναι κάτι ποὺ ὑπάρχει, θὰ ὀφείλει τὴν ὕπαρξή της εἴτε στὸν Θεό, εἴτε στὸν ἑαυτό της ἢ σὲ κάποια ἄλλη ἀρχή, καὶ αὐτὴ ἡ ἴδια καὶ ὁ Θεός. Καὶ ἂν ἡ ὕλη εἶναι ἀπαραίτητη γιὰ νὰ συμπληρωθεῖ ὁ κόσμος, πῶς ἡ ὕλη εἶναι κακό; Τὸ ἀναγκαῖο ὁρίζεται ὡς ἀίδιο, ἀληθινό, ἐπειδὴ εἶναι ὠφέλιμο, ὅπως εἶναι ἡ ἀρετὴ ποὺ ὠφελεῖ. Ἄλλο λοιπὸν εἶναι τὸ κακὸ καὶ ἄλλο τὸ ἀναγκαῖο.

Τὸ γὰρ κακόν, ᾗ κακόν: Ἀνασκευάζοντας τὶς γνῶμες ἐκεί-

των κακὸν εἶναι τὴν ὕλην, φησί· Πῶς οὖν ἐξ ὕλης γεννᾶται καὶ τρέφεται ἡ ἔκφυσις τῶν ἀπὸ γῆς, φυτὰ καὶ ζῶα; καὶ ταῦτα γὰρ ἐξ εἴδους καὶ ὕλης εἰσί. Τὸ οὖν αὐτόκακον πῶς γεννᾷ καὶ τρέφει, καὶ οὐκ εὐθὺς φθείρει καὶ φθείρεται; αὕτη γὰρ ἕξις τοῦ κακοῦ. Ἀλλ' οὔτε, ὡς ἔφημεν ἄνω λέγειν τινάς, ἐφέλκεται εἰς κακίαν τὰς ψυχὰς ἡ ὕλη διὰ τοῦ ἀλόγου μέρους τῆς ψυχῆς, διὰ τοῦ σώματος μεμιγμένη τῷ ἀλόγῳ τῆς ψυχῆς· πολλοὶ γὰρ ἐκράτησαν τοῦ τοιούτου μέρους, ὡς οἱ ἅγιοι τοῦ Θεοῦ. Ἐπειδὴ δὲ ἔνιοι τῶν Ἑλλήνων φασί, διὰ τοῦτο τὸν οὐρανὸν καὶ τὰ ἄστρα μὴ φθείρεσθαι, διὰ τὸ ἐκ τοῦ καθαρωτέρου τῆς ὕλης γενέσθαι, τὰ δὲ προσεχῆ τοῖς φθαρτοῖς σώμασιν ἐκ τῆς ὑποστάθμης καὶ παχυτέρας ὕλης λέγουσι γενέσθαι, ἀναγκαίως καθ' ὑπόβασιν τῶν κτισθέντων, ἐσχάτην οὖσαν, ἀποβῆναι τοιαύτην· διὸ καὶ φθείρονται τὰ κατώτερα καὶ ἀστατοῦσι, μὴ δυνάμενα ἱδρῦσθαι καὶ βεβαίως ἔχειν ἐφ' ἑαυτοῖς, ὡς ὁ οὐρανὸς καὶ τὰ ἄστρα. Εἰ οὖν ἀναγκαίως οὕτω γέγονε, πῶς ἡ ὕλη κακόν, ἔχουσα καθ' ἡμᾶς ἐν ἑαυτῇ τὸ ἀναγκαῖον; Οὐκ οὖν οὐδαμῶς ἡ ὕλη κακόν.

29. Ἡ στέρησις κατὰ δύναμιν: Ἡ στέρησις οὔκ ἐστιν ὑπόστασίς τις, ἀλλὰ περὶ τὸ ἐστερημόνον τοῦ πεφυκότος καὶ ἐπιβάλλοντος εἴδους γίνεται, ὡς καὶ ἐνταῦθα· μερικῶς γὰρ τῆς στερήσεως οὔσης ἐν τῇ ὕλῃ τοῦ εἴδους, ἔσται τοῦ ἀγαθοῦ τι ἐν αὐτῇ, καθὸ καὶ εἴδους καὶ κόσμου ἐρᾷ, καὶ δέχεται ταῦτα ὡς ἀγαθά. Τὸ δὲ αὐτόκακον οὔτε ἀγαθοῦ μετουσίαν δέχεται, διὸ οὔτε ἐστίν· ἡ γὰρ παντελὴς στέρησις καὶ αὐτὸ τὸ ὑποκείμενον σῶμα φθείρει, ὡς μηδὲ νόσον ἔτι ὑπομεῖναι· ὅθεν καὶ ἀδύναμον αὐτὴν εἶπεν· ἡ δὲ μερική, ὡς ἔχουσά τι τοῦ ἀγαθοῦ, δύναμιν λέγεται ἔχειν.

Ἀλλὰ καθὸ οὐ παντελής: Ὅρος σύντομος τοῦ κακοῦ, ὅτι

νων ποὺ λένε, ὅτι ἡ ὕλη εἶναι κακό, λέει· Πῶς λοιπὸν ἀπὸ τὴν ὕλη γεννιοῦνται καὶ τρέφονται ὅλα ὅσα γεννᾶ ἡ γῆ, φυτὰ καὶ ζῶα; γιατὶ κι αὐτὰ ἀποτελοῦνται ἀπὸ εἶδος καὶ ὕλη. Τὸ αὐτοκακὸ λοιπὸν πῶς γεννᾶ καὶ τρέφει καὶ δὲν φθείρει καὶ δὲ φθείρεται ἀμέσως; γιατὶ αὐτὴ εἶναι ἡ φύση τοῦ κακοῦ. Ἀλλὰ ἡ ὕλη, ὅπως εἴπαμε πιὸ πάνω ὅτι ἰσχυρίζονται μερικοί, οὔτε παρασέρνει τὶς ψυχὲς στὴν κακία μὲ τὸ ἄλογο μέρος τῆς ψυχῆς, ἀφοῦ εἶναι μέσω τοῦ σώματος ἀναμιγμένη μὲ τὸ ἄλογο μέρος. Γιατὶ πολλοὶ νίκησαν τὸ μέρος αὐτό, ὅπως οἱ ἅγιοι τοῦ Θεοῦ. Καὶ ἐπειδὴ κάποιοι ἀπὸ τοὺς Ἕλληνες λένε, ὅτι γι' αὐτὸ δὲ φθείρονται ὁ οὐρανὸς καὶ τὰ ἄστρα, ἐπειδὴ δηλαδὴ ἔγιναν ἀπὸ τὴν καθαρότερη ὕλη, ἐνῶ ὅσα εἶναι κοντὰ στὰ φθαρτὰ σώματα λένε πὼς ἔγιναν ἀπὸ τὴν ὑποστάθμη καὶ τὴν πιὸ παχιὰ ὕλη, καὶ ὅτι ἀναγκαστικὰ ἔγινε τέτοια, ἀφοῦ ὑπόβαθρο τῶν δημιουργημάτων εἶναι τὸ ἔσχατό τους. Γι' αὐτὸ καὶ φθείρονται τὰ κατώτερα καὶ εἶναι ἀσταθῆ καὶ δὲν μποροῦν νὰ θεμελιωθοῦν καὶ νὰ ἑδραιωθοῦν στὸν ἑαυτό τους, ὅπως ὁ οὐρανὸς καὶ τὰ ἄστρα. Ἂν λοιπὸν ἀναγκαστικὰ ἔγινε ἔτσι, πῶς ἡ ὕλη εἶναι κακό, ἀφοῦ ἡ ὕπαρξή της εἶναι ἀπαραίτητη γιὰ μᾶς; Ἑπομένως ἡ ὕλη δὲν εἶναι κακὸ μὲ κανένα τρόπο.

§ 29. Ἡ στέρησις κατὰ δύναμιν: Ἡ στέρηση δὲν εἶναι κάποια ὑπόσταση, ἀλλὰ συμβαίνει σ' ἐκεῖνο ποὺ στερεῖται τὴν παρουσία τῆς φυσικῆς κι ἐπιβαλλόμενης μορφῆς, ὅπως κι ἐδῶ. Ἐπειδὴ ἡ στέρηση δηλαδὴ ὑπάρχει μερικῶς στὴν ὕλη τῆς μορφῆς, θὰ ὑπάρχει σ' αὐτὴν κάποιο μέρος τοῦ ἀγαθοῦ, καθόσον ἐπιθυμεῖ καὶ τὴ μορφὴ καὶ τὴν τάξη, καὶ τὰ δέχεται αὐτὰ ὡς ἀγαθά. Τὸ αὐτοκακὸ ὅμως οὔτε τὴ μετουσία τοῦ ἀγαθοῦ δέχεται καὶ γι' αὐτὸ οὔτε καὶ ὑπάρχει. Ἡ τέλεια δηλαδὴ στέρηση φθείρει καὶ τὸ ἴδιο τὸ σῶμα ποὺ ὑπόκειται, ὥστε οὔτε νόσο ἀκόμα νὰ μπορεῖ νὰ ὑπομείνει. Γι' αὐτὸ καὶ τὴν εἶπε 'ἀδύναμη'. Ἐνῶ ἡ μερική, ἐπειδὴ ἔχει κάτι ἀπὸ τὸ ἀγαθό, λέγεται πὼς ἔχει δύναμη.

Ἀλλὰ καθὸ οὐ παντελής: Εἶναι ἕνας σύντομος ὁρισμὸς τοῦ

οὐ κατὰ φύσιν, ἀλλὰ κατὰ μερικὴν ἔλλειψιν τοῦ ἀγαθοῦ ἐστι.

§ 30. α. Καὶ τῆς ὅλης αἰτίας: Ὅλην αἰτίαν τὴν τῶν ὅλων φησί. Τὸ δὲ μερικὸν εἴρηκεν, ἵνα τὸ καθόλου ἀνέλῃ· παντελὴς γὰρ ἔλλειψις τὸ μὴ εἶναι συνίστησιν.

Οἶδεν ὁ Θεὸς τὸ κακόν: Καὶ τὰ λεγόμενα κακὰ οἶδεν ὁ Θεὸς ἔσθ' ὅτε ὡς ἀγαθά. Κακὰ δὲ νῦν φησιν, οἷον πολέμους, νόσους παιδευτικάς, θανάτους καὶ τὰ τοιαῦτα· νομίζονται γὰρ ἡμῖν κακά, εἰσὶ δὲ δυνάμεις ἀγαθοποιοῦ αἰτίας· καὶ γὰρ διὰ τῶν εἰρημένων μετάνοια καὶ ἐπίγνωσις Θεοῦ καὶ εὐσεβείας τοῖς πλείοσιν ἐγένετο πρόφασις· καὶ ἐν τοῖς προφήταις ἡ κακία παιδεία λέγεται. Ἀνάγνωθι τὸ κβ' κεφάλαιον.

β. Παρ' αὐτῷ αἱ αἰτίαι: Αἰτία τοῦ ἐν τῷ ἀσελγαίνειν κακοῦ ἡ ἐπιθυμία παρὰ λόγον κινηθεῖσα. Ἀλλ' αὐτὴ ἡ ἐπιθυμία δύναμις ἀγαθοποιὸς λογικοῖς μὲν πρὸς τὸ δι' αὐτῆς πρὸς τὸ ὄντως ἀνατείνεσθαι ἀγαθόν, ἀλόγοις δὲ πρὸς ὄρεξιν τῶν ἐπιτηδείων τῆς οἰκείας διαμονῆς.

γ. Εἰ δὲ τὸ κακὸν ἀΐδιον: Ταῦτα κατὰ Μανιχαίων ἔλεγχος καὶ τῆς δόξης αὐτῶν ἀνατροπή. Εἰ γὰρ καὶ μήπω ἡ αἵρεσις, ἀλλὰ προφυλακτικῶς ἐνεπνεύσθη τὰ τὴν πλάνην αὐτῶν ἀνατρέποντα. Ἴσως δὲ καὶ πρός τινας τῶν ἔξωθεν δόξας τὰ τοιαῦτα.

δ. Πᾶν τὸ κατὰ φύσιν: Τουτέστιν οὐκ ἄτακτοι τῶν φύσεων οἱ λόγοι, ἕπεται δὲ τῷ κατὰ φύσιν τὸ ὡρισμένον· ὅρος γάρ ἐστι καὶ ὁ ἑρμηνευτικὸς λόγος τῆς οὐσίας τῶν πραγμάτων, καὶ τὸ τί ἦν εἶναι δηλῶν, τοῦ τί ἦν εἶναι, τῷ τί ἐστιν ἴσα δυναμένου. Πᾶν οὖν τὸ κατὰ φύσιν ἐξ αἰτίας ὡρισμένης ἐστί, δι' ἣν αἰτίαν γίνεται τὸ γενόμενον. Εἰ οὖν τὸ κακὸν ἀναίτιόν ἐστιν, οὐ γὰρ

κακοῦ, ὅτι δὲν ὑπάρχει καταφύση, ἀλλὰ σύμφωνα μὲ τὴ μερικὴ ἔλλειψη τοῦ ἀγαθοῦ.

§ 30. α. Καὶ τῆς ὅλης αἰτίας: Ὅλη αἰτία ὀνομάζει τὴν αἰτία τοῦ συνόλου τῶν ὅλων, ἐνῶ τὸ μερικὸ τὸ ἀνέφερε γιὰ νὰ ἀναιρέσει τὸ καθόλου· γιατὶ ἡ τέλεια ἔλλειψη συνιστᾶ τὸ μὴ εἶναι.

Οἶδεν ὁ Θεὸς τὸ κακόν: Ὁ Θεὸς γνωρίζει καὶ τὰ λεγόμενα κακὰ μερικὲς φορὲς ὡς ἀγαθά. Κακὰ τώρα λέει ὅπως γιὰ παράδειγμα τοὺς πολέμους, τὶς παιδαγωγικὲς νόσους, τοὺς θανάτους καὶ τὰ ὅμοια. Ἐμεῖς δηλαδὴ τὰ νομίζομε κακά, ἐνῶ εἶναι δυνάμεις μιᾶς ἀγαθοποιητικῆς αἰτίας. Γιατὶ μὲ ὅσα ἀναφέραμε προκλήθηκε μετάνοια καὶ ἐπίγνωση καὶ δόθηκε στοὺς περισσότερους ἀφορμὴ γιὰ εὐσέβεια. Καὶ στοὺς προφῆτες ἡ κακία λέγεται παιδεία (παιδαγωγία). Διάβασε τὸ εἰκοστὸ δεύτερο κεφάλαιο.

β. Παρ' αὐτῷ αἱ αἰτίαι: Αἰτία τοῦ κακοῦ τῆς ἀσέλγειας εἶναι ἡ ἐπιθυμία ποὺ κινήθηκε ἀντίθετα μὲ τὸ λόγο. Ἀλλὰ ἡ ἴδια ἡ ἐπιθυμία εἶναι εὐεργετικὴ δύναμη στὰ λογικὰ ὄντα, γιὰ νὰ ἀνατείνονται μέσω αὐτῆς πρὸς τὸ πραγματικὸ ἀγαθό, ἐνῶ στὰ ἄλογα, γιὰ νὰ ἐπιθυμοῦν ὅσα εἶναι κατάλληλα γιὰ τὴν ἐξασφάλιση τῆς συντήρησής τους.

γ. Εἰ δὲ τὸ κακὸν ἀίδιον: Αὐτὰ ἀποτελοῦν ἔλεγχο τῶν Μανιχαίων καὶ ἀνασκευὴ τῆς γνώμης τους. Γιατί, ἂν καὶ δὲν εἶχε ἀκόμα ἀναφανεῖ ἡ αἵρεση, ἐμπνεύσθηκε προληπτικὰ ὅσα ἀνατρέπουν τὴν πλάνη τους. Ἴσως αὐτὰ στρέφονται καὶ ἐναντίον μερικῶν γνωμῶν τῶν ἔξω ἀπὸ τὸν Χριστιανισμό.

δ. Πὰν τὸ κατὰ φύσιν: Δηλαδὴ οἱ λόγοι τῆς φύσης δὲν εἶναι χωρὶς τάξη. Αὐτὸ ποὺ ἔχει ὁρισθεῖ ἀκολουθεῖ τὸ σύμφωνο μὲ τὴ φύση. Γιατὶ ὁρισμὸς εἶναι καὶ ὁ λόγος ποὺ ἑρμηνεύει τὴν οὐσία τῶν πραγμάτων, ποὺ δηλώνει τί ἦταν τὸ εἶναι, ἐπειδὴ τὸ τί ἦταν εἶναι ταυτόσημο μὲ τὸ τί εἶναι. Κάθε φυσικὸ λοιπὸν ἔχει κάποια ὁρισμένη αἰτία κι ἀπὸ αὐτὴ τὴν αἰτία γίνεται ὅ,τι ἔγινε. Ἂν λοιπὸν τὸ κακὸ εἶναι ἀναίτιο, γιατὶ δὲν ἔγινε γιὰ

διά τι γέγονεν, εἰκότως καὶ ἐν ἀοριστίᾳ· οὐ γάρ ἐστι αὐτοῦ λόγος, τὸ τί ἦν εἶναι ἑρμηνεύων, ἐξ ἀνάγκης, οὐδὲ κατὰ φύσιν. Εἰ οὖν παρὰ φύσιν, οὐχ ἕξει ἐν τῇ φύσει λόγος, ὡς οὔτε ἐν τῇ τέχνῃ ἡ ἀτεχνία.

ε. Εἰ μὲν φύσει: Εἰ μὴ κατὰ στέρησιν μερικὴν τοῦ ἀγαθοῦ κακύνεται ψυχή, ἔξωθεν τῆς οὐσίας αὐτῆς, ἀλλ' ἀλλοτρίου τινὸς ἐπισυμβαίνοντος, ἔσται τῆς οὐσίας αὐτῆς ἡ στέρησις τοῦ ἀγαθοῦ, καὶ ἔσται οὐσιῶδες αὐτῇ τὸ κακόν. Καὶ πῶς ἔσται ψυχή; οὔτε γὰρ ἔσται ζῶσα· οὐ γὰρ ἕξει ζωήν· ἀγαθὸν δὲ ζωή. Εἰ δὲ ψυχή ἐστι, μετέχει τοῦ ἀγαθοῦ, τουτέστι ζωῆς· οὐσιῶδες οὖν ἕξει τὸ ἀγαθόν, καὶ οὐ τὸ κακόν· διὸ καὶ ἀγαθοειδὴς λέγεται. Ἀσθενείᾳ δὲ τῇ περὶ τὰ οἰκεῖα, κατὰ φύσιν ἐνεργεῖν κακύνεται, ὡς ἀσθενὴς καὶ εὐκίνητος οὖσα πρὸς τὰ πάθη. Ἀσθένεια δὲ ψυχῆς οὐχ ὡς ἐπὶ σωμάτων παχύτης ἢ ἰσχνότης εἰς τὴν οὐσίαν αὐτῆς, ἀλλ' ἐπὶ τὰ ὑλικὰ καὶ πρόσκαιρα ἔνδοσις· ὅθεν καὶ πλημμελῶς λοιπὸν κινεῖται. Ἔκγονα δὲ ταύτης ἐνταῦθα τὰ ποιήματα λέγει. Σημείωσαι δὲ ὅτι ἡ ἐνέργεια τῆς ψυχῆς οὐκ ἔχει τὸ ἀμετάβλητον, ὡς συμβαίνουσα καὶ ἀποσυμβαίνουσα.

Εἰ δὲ ταῖς ἐνεργείαις: Ἵνα ᾖ ὁ νοῦς ἐν συντόμῳ οὕτως· ἡ φύσις τῆς ψυχῆς ἀγαθή, ἐπειδὴ ἐκ τοῦ ἀγαθοῦ παρήχθη, καὶ αἱ ἐνέργειαι αὐτῆς ἀγαθαί· ὁρῶμεν γὰρ τοὺς ἀγαθοὺς ἄνδρας ἐνεργοῦντας τὰ οἰκεῖα· ἐκ παρατροπῆς δὲ καὶ ἐλλείψεως τοῦ ἀγαθοῦ παρεισδύνει τὸ κακόν. Οὐκοῦν οὐκ ἐν φύσει, οὐδὲ ἐνούσιον τὸ κακόν.

§ 31. ϛ. Εἰ τῷ ἀγαθῷ τὸ κακόν: Τῷ ἑνὶ ἐναντία τὰ πολλά· οὐκοῦν εἰ τῷ ἑνὶ καὶ ἀγαθῷ αἰτίῳ ἐναντίον τὰ πολλὰ αἴτια, πολλὰ τῷ κακῷ· καί, εἰ τῶν κατὰ φύσιν, ὡς ἄνω ἔφην, λόγοι καὶ δυνάμεις εἰσὶ τὰ ποιητικά, τῶν παρὰ φύσιν ποιητικὰ αἱ πλημμελεῖς τῶν κατὰ φύσιν ἐξ ἀσθενείας καὶ ἀδυναμίας συμβαί-

κάτι, δικαιολογημένα εἶναι καὶ ἀόριστο, γιατὶ δὲν ἔχει κάποιο λόγο ποὺ νὰ ἑρμηνεύει ἀναγκαστικὰ τί ἦταν τὸ εἶναι, οὔτε σύμφωνα μὲ τὴ φύση. Ἂν λοιπὸν εἶναι παραφύση, δὲν εἶναι ὁ λόγος ἀπὸ ἕξη μέσα στὴ φύση, ὅπως οὔτε μέσα στὴν τέχνη ἢ ἀτεχνία.

ε. Εἰ μὲν φύσει: Ἂν ἡ ψυχὴ δὲν ἐξαχρειώνεται ἀπὸ μερικὴ στέρηση τοῦ ἀγαθοῦ ἔξω ἀπὸ τὴν οὐσία της, ἀλλὰ ἐπειδὴ τῆς ἐπισυμβαίνει κάτι ξένο ἀπὸ αὐτήν, ἡ στέρηση τοῦ ἀγαθοῦ θὰ εἶναι τῆς οὐσίας της καὶ τὸ κακὸ θὰ εἶναι οὐσιῶδες σ' αὐτήν. Καὶ πῶς θὰ ὑπάρξει ψυχή; Οὔτε θὰ εἶναι βέβαια ζωντανή· γιατὶ δὲ θὰ ἔχει ζωή, καὶ ἡ ζωὴ εἶναι ἀγαθό. Ἂν ὅμως ὑπάρχει ψυχή, μετέχει τὸ ἀγαθό, δηλαδὴ τὴ ζωή. Θὰ ἔχει λοιπὸν στὴν οὐσία της τὸ ἀγαθὸ καὶ ὄχι τὸ κακό· γι' αὐτὸ λέγεται καὶ ἀγαθόμορφη. Λόγω ἀσθένειας ὅμως τῶν δυνάμεών της νὰ ἐνεργεῖ σύμφωνα μὲ τὴ φύση της ἐξαχρειώνεται, ἐπειδὴ εἶναι ἀσθενὴς καὶ εὐκίνητη πρὸς τὰ πάθη. Καὶ ἡ ἀσθένεια τῆς ψυχῆς δὲν εἶναι ὅπως στὰ σώματα τὸ πάχος ἢ ἡ ἰσχνότητα στὴν οὐσία της, ἀλλὰ ἡ παράδοση στὰ ὑλικὰ καὶ πρόσκαιρα· γι' αὐτὸ βέβαια καὶ κινεῖται ἐλαττωματικά. Ἔκγονά της (= γεννήματα) ὀνομάζει ἐδῶ τὰ δημιουργήματα. Σημείωσε ὅμως, ὅτι ἡ ἐνέργεια τῆς ψυχῆς δὲν εἶναι ἀμετάβλητη, γιατὶ προχωρεῖ στὸ καλὸ ἢ κακὸ καὶ ὑποχωρεῖ.

Εἰ δὲ ταῖς ἐνεργείαις: Τὸ νόημα αὐτοῦ εἶναι μὲ συντομία τὸ ἑξῆς· Ἡ φύση τῆς ψυχῆς εἶναι ἀγαθή, ἐπειδὴ δημιουργήθηκε ἀπὸ τὸν ἀγαθό, καὶ οἱ ἐνέργειές της εἶναι ἀγαθές. Γιατὶ βλέπομε τοὺς ἀγαθοὺς νὰ πράττουν τὰ δικά τους ἔργα, ἐνῶ τὸ κακὸ εἰσχωρεῖ ἀπὸ παρέκκλιση καὶ ἔλλειψη τοῦ ἀγαθοῦ. Δὲν εἶναι λοιπὸν μέσα στὴ φύση τὸ κακὸ οὔτε ἔχει οὐσία.

§ 31. α. Εἰ τῷ ἀγαθῷ τὸ κακόν: Ἐνάντια στὸ ἕνα εἶναι τὰ πολλά. Ἂν λοιπὸν στὸ ἕνα καὶ ἀγαθὸ αἴτιο ἀντίθετά του εἶναι τὰ πολλά, τὸ κακὸ ἔχει πολλὰ αἴτια. Κι ἄν, ὅπως εἶπα πιὸ πάνω, αὐτὰ ποὺ δημιουργοῦν τὰ φυσικὰ εἶναι λόγοι καὶ δυνάμεις, αὐτὰ ποὺ δημιουργοῦν τὰ παραφύση εἶναι οἱ ἐλαττωματικὲς κινήσεις

νουσαι, δι' ὧν καὶ παρυφίσταται τὸ κακόν. Ποιεῖ δὲ κακὰ ἔσθ' ὅτε καὶ μίξις τῶν ἀνομοίων ἀσύμμετρος, ὅταν ἢ τὸ θερμὸν ἢ τὸ ψυχρόν, ἢ τὸ ξηρόν, ἢ τὸ ὑγρὸν πλέον τῶν ἄλλων κρατήσῃ· ὅθεν καὶ νόσοι πολλάκις. Πῶς δὲ συσταίη κακόν, τῶν γενομένων ἁπάντων, ὡς ἐποιήθησαν, μενόντων; Ταῦτα μὲν γὰρ ἐκ κινήσεως βουλήματι Θεοῦ παρήχθη καὶ ἀκίνητα ἐν τοῖς ἰδίοις ὅροις μένει ἑστῶτα καὶ πεπερασμένα ἐν τῷ Θεῷ, τὸ δὲ τούτων ἐναντίον τὸ αὐτόκακον, ἄστατον, καὶ πέρας οὐκ ἔχον οὔτε ὡρισμένον, ὧν οὐδὲν ἐν τῇ δημιουργίᾳ ὁρῶμεν. Πῶς οὖν ἐνυπόστατον τὸ κακόν;

ζ. Λόγοι καὶ δυνάμεις: Τουτέστιν οὐ κατὰ λόγον ἀναγκαῖον τῇ φύσει, ἤ τινα οὐσιώδη ἰδιότητα ταῦτα λογίζεσθαι χρή. Μίξιν δὲ τῶν ἀνομοίων οἶμαι νοῆσαι τὴν τῶν φυσικῶν δυνάμεων ἐπὶ τὰ μὴ προσήκοντα κίνησιν, ὅπερ ἡ ἀμετρία ποιεῖ, μὴ λόγῳ κρατουμένων τῶν κινήσεων εἴσω μένειν τῶν ὅρων, ἐφ' οἷς καὶ γεγόνασι.

Πάντων καὶ τῶν κακῶν: Ὅτι πάντων καὶ τῶν κακῶν ἀρχὴ καὶ τέλος ἐστὶ τὸ ἀγαθόν, ἐπειδὴ καὶ πᾶν ποιοῦντες, ἀγαθὸν ποιεῖν νομίζομεν, καὶ ὅτι ὑπόστασιν οὐκ ἔχει τὸ κακόν, ἀλλὰ παρυπόστασιν, τοῦ ἀγαθοῦ ἕνεκα, καὶ οὐχ ἑαυτοῦ γινόμενον. Τοῦτο δὲ καὶ ἀνωτέρω εἰρήκαμεν, ὅτι οὐ πρὸς τὸ κακὸν ὁρῶντες τοῦτο πράττομεν, ἀλλὰ δοκοῦντες ἀγαθὸν ποιεῖν, εἰ καὶ ἡ ἔκβασις τοὐναντίον δείκνυσιν.

Ὅτι του ἀγαθοῦ ἕνεκα: Ὃ εἶπε καὶ ἐν τῷ πρὸ τούτου κεφαλαίῳ, 'διὰ τὸ ἀγαθόν', ἐπειδὴ νομίζομεν ὃ ποιοῦμεν ἀγαθόν.

τῶν φυσικῶν ποὺ ἐπισυμβαίνουν ἀπὸ ἀσθένεια καὶ ἀδυναμία, μὲ τὶς ὁποῖες ὑπάρχει παράλληλα καὶ τὸ κακό. Προκαλεῖ βέβαια κακὰ μερικὲς φορὲς καὶ ἡ ἀσύμμετρη ἀνάμιξη τῶν ἀνόμοιων, ὅταν ἢ τὸ θερμὸ ἢ το ψυχρὸ ἢ τὸ ξηρὸ ἢ τὸ ὑγρὸ ἐπικρατήσει εἰς βάρος τῶν ἄλλων, ἀπὸ τὸ ὁποῖο προέρχονται πολλὲς φορὲς ἀκόμα καὶ ἀσθένειες. Καὶ πῶς θὰ μποροῦσε νὰ λάβει ὑπόσταση τὸ κακό, ἂν ὅλα τὰ δημιουργήματα μένουν ἔτσι ὅπως δημιουργήθηκαν: Αὐτὰ δηλαδὴ δημιουργήθηκαν μέσω κινήσεως ἀπὸ θέλημα Θεοῦ καὶ μένουν ἀκίνητα μέσα στὰ ὅριά τους, σταθερὰ καὶ περιορισμένα μέσα στὸ Θεό. Τὸ ἀντίθετο ὅμως τούτων, τὸ αὐτοκακό, εἶναι ἄστατο, δὲν ἔχει πέρας, οὔτε εἶναι ὁρισμένο· κανένα ἀπὸ τὰ πράγματα αὐτὰ δὲν βλέπομε στὴ δημιουργία. Πῶς λοιπὸν τὸ κακὸ ἔχει δική του ὑπόσταση;

ε. Λόγοι καὶ δυνάμεις: Δηλαδὴ δὲν πρέπει νὰ τὰ σκεπτόμαστε αὐτὰ σύμφωνα μ' ἕνα λόγο ὑποχρεωτικὸ γιὰ τὴ φύση ἢ σύμφωνα μὲ κάποια οὐσιώδη ἰδιότητα. Ἀλλὰ νομίζω πὼς πρέπει νὰ ἐννοήσομε ὡς μίξη τῶν ἀνόμοιων τὴν κίνηση τῶν φυσικῶν δυνάμεων σὲ ὅσα δὲν τοὺς ἁρμόζουν, πράγμα ποὺ προκαλεῖ ἡ ἀμετρία, ἐπειδὴ οἱ κινήσεις δὲν συγκρατοῦνται μὲ τὸ λόγο νὰ μένουν μέσα στὰ ὅρια γιὰ τὰ ὁποῖα ἔχουν γίνει.

Πάντων, καὶ τῶν κακῶν: Ὅλων δηλαδή, ἀκόμα καὶ τῶν κακῶν, ἀρχὴ καὶ τέλος εἶναι τὸ ἀγαθό, ἀφοῦ καὶ κάθε τι ποὺ κάνομε νομίζομε πὼς εἶναι ἀγαθό, καὶ ὅτι τὸ κακὸ δὲν ἔχει ὑπόσταση, ἀλλὰ παραϋπόσταση[32], ἐπειδὴ ἔχει γίνει γιὰ χάρη τοῦ ἀγαθοῦ καὶ ὄχι γιὰ χάρη τοῦ ἑαυτοῦ του. Αὐτὸ τὸ εἴπαμε καὶ πιὸ πάνω· ὅτι δηλαδὴ δὲν κάνομε τὸ κακὸ ἀποσκοπώντας στὸ κακό, ἀλλὰ νομίζοντας πὼς πράττομε τὸ ἀγαθό, ἂν καὶ τὸ ἀποτέλεσμα δείχνει τὸ ἀντίθετο.

Ὅτι τοῦ ἀγαθοῦ ἕνεκα: Αὐτὸ δηλαδὴ ποὺ εἶπε καὶ στὸ προηγούμενο κεφάλαιο, 'διὰ τὸ ἀγαθὸν' (= γιὰ χάρη τοῦ ἀγαθοῦ), ἐπειδὴ νομίζομε ἀγαθὸ ὅ,τι κάνομε.

---

32. Δηλαδὴ ὑπόσταση παράλληλη, ἐξαρτημένη, φαινομενική, ὅπως λέμε παραοικονομία.

§ 32. Τῷ ὄντι δὲ οὐκ ὀρθόν: Ἐφιέμενοι γὰρ κατὰ φύσιν καὶ δύναμιν τοῦ ἀγαθοῦ ἐκτικήν, πράττομεν ἔσθ' ὅτε ἀγνοοῦντες τὸ κακόν, ὃ ἡμῖν μὲν νομίζεται καλόν, τῇ δὲ ἀληθείᾳ ἐστὶ κακόν. Τί γάρ; Ὅτι, τιμωροῦντες τῷ ἠδικημένῳ, φονεύομεν ἔσθ' ὅτε τὸν ἀδικήσαντα μὴ ἄξιον ὄντα θανάτου. Οὕτω νόει, καὶ οὐ σφάλλῃ.

Στέρησις ἄρα ἐστί: Θαυμασίως ἔδειξεν ἀνυπόστατον τὸ κακόν, στέρησιν ἀποδείξας τῶν ἐν τάξει καὶ φύσει. Ἡ δὲ στέρησις οὐκ αὐτοϋπόστασις, ὡς προέφημεν, ἀλλὰ τὸ πεφυκὸς καὶ ἐπιβάλλον παρεῖναι μὴ παρόν· ὅθεν καὶ ἁμαρτίαν, τουτέστιν ἀτευξίαν καὶ ἀπόπτωσίν τινα τοῦ προσήκοντος, αὐτὸ τὸ τῆς στερήσεως καλεῖ, καὶ ἄσκοπον, ἀντὶ τοῦ, παρὰ τὸν σκοπὸν βάλλον, ἐκ μεταφορᾶς τῶν τοξευόντων· ὥσπερ γὰρ ἐκεῖνοι, ἐπιτυγχάνοντες τοῦ σκοποῦ, τουτέστι τοῦ σημείου ἐφ' ὃ τοξεύουσιν, ὃ δὴ καὶ σκοπὸς λέγεται, καλῶς προΐασιν, οὕτως οἱ ἔξω τοῦ σκοποῦ τοξεύοντες ἁμαρτάνουσι τοῦ προσήκοντος.

Καὶ ἁμαρτία: Τὸ 'ἁμαρτία' μὴ νοήσῃς τὴν γενομένην ἐν ἡμῖν, οἷον μοιχείαν, ἢ ἀδικίαν, ἢ ἄλλο τι τοιοῦτον, ἀλλ' ὃ λέγει, τοιοῦτόν ἐστι. Τοῦ ἀγαθοῦ καὶ τῆς κατὰ φύσιν κινήσεως, ἤτοι τάξεως, ἀποτυγχάνοντες, φερόμεθα εἰς τὴν παρὰ φύσιν ἄλογον καὶ παντελῆ καὶ ἀνούσιον ἀνυπαρξίαν· ὅθεν καὶ μηδαμῇ μηδὲν ὂν λέγει τὸ κακόν.

Οὐ πάντα πᾶσι: Θείως τὰς ὑποβάσεις τῶν ἐν τῇ δημιουργίᾳ διέσωσεν· ὁ μὲν γὰρ νοῦς, καθ' ὃν οὐσίωνται οἱ θεῖοι νόες καὶ πάντῃ ἄϋλοι, ἀνώτερος ψυχῆς ἐστιν. Ὁ οὖν ἄγγελος, ὁ παρὰ τὸν ἀγαθοειδῆ νοῦν κινηθείς, δαίμων ἀπέβη, ἡ δὲ ψυχή, καθὸ νοερὰ καὶ λογική, οὐ κατὰ λόγον ἐνεργοῦσα τὸν ὑποβεβηκότα

§ 32. Τῷ ὄντι δὲ οὐκ ὀρθόν: Ἐνῶ δηλαδὴ ἡ ἐπιθυμία μας συμφωνεῖ μὲ τὴ φύση καὶ μὲ τὴ δύναμη ἕξης τοῦ ἀγαθοῦ, κάποτε ὅμως ἀγνοώντας πράττομε τὸ κακό, ποὺ ἐμεῖς τὸ θεωροῦμε βέβαια καλό, ἐνῶ στὴν πραγματικότητα εἶναι κακό. Τί ἐννοῶ; Ὅτι ἐπιδιώκοντας ἐκδίκηση γιὰ ἐκεῖνον ποὺ ἀδικήθηκε, σκοτώνομε πολλὲς φορὲς αὐτὸν ποὺ τὸν ἀδίκησε, ἐνῶ δὲν εἶναι ἄξιος θανάτου. Ἔτσι νὰ σκέπτεσαι τὸ πρᾶγμα καὶ δὲν θὰ κάνεις λάθος.

Στέρησις ἄρα ἐστί: Μὲ θαυμάσιο τρόπο ἔδειξε ὅτι τὸ κακὸ εἶναι δίχως ὑπόσταση, ἀφοῦ ἀπέδειξε πὼς εἶναι στέρηση ὅσων ἀφοροῦν τὴν τάξη καὶ τὴ φύση. Καὶ ἡ στέρηση βέβαια δὲν εἶναι αὐτοϋπόσταση, ὅπως εἶπα πιὸ πρίν, ἀλλὰ τὸ νὰ μὴν εἶναι παρὸν αὐτὸ ποὺ εἶναι φυσικὸ κι ἐπιβάλλεται νὰ εἶναι παρόν. Γι' αὐτὸ καὶ καλεῖ τὴν ἴδια τὴ στέρηση ἁμαρτία, δηλαδὴ ἀποτυχία καὶ ἕνα εἶδος πτώσης ἀπὸ αὐτὸ ποὺ πρέπει, καθὼς καὶ ἄσκοπη, ἀντὶ νὰ πεῖ, ποὺ βάλλει ἔξω ἀπὸ τὸ σκοπό, κάνοντας μεταφορὰ ἀπὸ τοὺς τοξότες. Ὅπως ἐκεῖνοι δηλαδὴ πετυχαίνοντας τὸ σκοπό, δηλαδὴ τὸ στόχο στὸν ὁποῖο τοξεύουν, πρᾶγμα ποὺ λέγεται καὶ σκοπός, προχωροῦν καλά, ἔτσι κι ὅσοι χτυποῦν ἔξω ἀπὸ τὸ στόχο ἀποτυγχάνουν σ' αὐτὸ ποὺ πρέπει.

Καὶ ἁμαρτία: Ὡς ἁμαρτία μὴ θεωρήσεις αὐτὴν ποὺ γίνεται σὲ μᾶς, ὅπως γιὰ παράδειγμα μοιχεία ἢ ἀδικία ἢ κάτι ἄλλο παρόμοιο, ἀλλὰ αὐτὸ ποὺ λέει σημαίνει τὸ ἑξῆς· Ἀποτυγχάνοντας ἀπὸ τὸ ἀγαθὸ καὶ ἀπὸ τὴν φυσικὴ κίνηση, δηλαδὴ τὴν τάξη, ὁδηγούμαστε στὴν παραφύση ἄλογη καὶ πλήρη καὶ ἀνούσια ἀνυπαρξία· γι' αὐτὸ καὶ λέει ὅτι τὸ κακὸ δὲν εἶναι κατὰ κανένα τρόπο ὄν.

Οὐ πάντα πᾶσι: Μὲ θεϊκὸ τρόπο διέσωσε τὰ ὑπόβαθρα τῆς δημιουργίας. Γιατὶ ὁ νοῦς, σύμφωνα μὲ τὸν ὁποῖο ἔλαβαν τὴν οὐσία τους οἱ θεῖοι καὶ ἐντελῶς ἄυλοι νόες, εἶναι ἀνώτερος ἀπὸ τὴν ψυχή. Ὁ ἄγγελος λοιπὸν ποὺ συμπεριφέρθηκε ἀντίθετα μὲ τὸν ἀγαθόμορφο νοῦ, κατέληξε δαίμονας. Ἡ ψυχὴ πάλι, καθόσον εἶναι νοερὴ καὶ λογική, ἂν δὲν κινεῖ σύμφωνα μὲ τὸ λόγο

νοῦν τὸν νοητόν, οὐκ ἐνεργεῖ τὰ οἰκεῖα, τὰ δὲ σώματα τὰ ὑποβεβηκότα τὸν νοερὸν λόγον παρὰ φύσιν εὑρεθέντα, οὐκ ἔρρωνται εἰς τὰ ἑαυτῶν.

§ 33. Πῶς ὅλως τὰ κακά: Εἰ πρόνοια ἐν πᾶσι, οὐδαμοῦ φύσει τὸ κακόν.

Ἀλλὰ καὶ τοῖς γινομένοις: Ὅτι καὶ τοῖς γινομένοις καὶ νομιζομένοις κακοῖς ἀγαθοπρεπῶς κέχρηται ὁ Θεὸς πρὸς διόρθωσιν ἢ ὠφέλειαν ἡμῶν ἢ ἑτέρων.

Ἢ ἄλλων ἢ ἰδικήν: Πρὸς τοὺς λέγοντες, ὅτι ἐχρῆν ἡμᾶς καὶ ἄκοντας εἶναι ἀγαθούς.

Οἳ χρῆναί φασι τὴν πρόνοιαν: Σημείωσαι, πῶς ἐπιπλήττει τοῖς λέγουσι· Διὰ τί γὰρ μὴ ἐποίησεν ἡμᾶς ὁ Θεὸς οὕτως, ἵνα, κἂν θέλωμεν, μὴ ἁμαρτάνωμεν; Τοῦτο γὰρ οὐδὲν ἕτερόν ἐστιν, ἢ λέγειν· Διὰ τί μὴ ἀνόητα καὶ ἄλογα ἡμᾶς ἐποίησε; τὸ γὰρ ἐξ ἀνάγκης ἡμᾶς ἄγεσθαι ἐπ' ἀρετὴν οὔτε αὐτοκράτοράς τινας ἡμᾶς ἐδείκνυ τῶν καθ' ἑαυτούς, οὔτε τὴν νοερὰν ψυχήν· ἄνελε γὰρ ἡμῶν τὸ αὐτεξούσιον, καὶ οὔτε εἰκὼν Θεοῦ ἐσόμεθα, οὔτε ψυχὴ λογικὴ καὶ νοερά, καὶ τῷ ὄντι φθαρήσεται ἡ φύσις, οὐκ οὖσα ὅπερ ἔδει αὐτὴν εἶναι. Ὅπερ δέ φησιν, αὐτοκινήτων, ἀντὶ τοῦ αὐτεξουσίων καὶ αὐτοκρατόρων εἰρῆσθαι νοητέον· οὐ γὰρ τῶν ἑαυτοὺς κινούντων, οἷον ἐμψύχων, πρὸς ἀντιδιαστολὴν τῶν ἀκινήτων, ὡς οἴκων καὶ ὀρῶν, ἢ ἑτεροκινήτων, ὡς λίθων καὶ ξύλων. Περὶ γὰρ ἀρετῆς διαλεγόμενος τοὺς αὐτοκινήτους παρέλαβεν, ὧν φησι πρόσφορον τὴν πρόνοιαν, οἷον τὴν διὰ νόμου καὶ προφητῶν, τὴν διὰ τῶν εὐεργεσιῶν, ὡς καὶ ὁ Ἀπόστολος δηλοῖ, δημηγορῶν παρ' Ἀθηναίοις.

Ἄκοντας ἡμᾶς: Καλῶς ἀνέτρεψε τὸν λόγον τῶν λεγόν-

τὸν κατώτερο νοητὸ νοῦ, δὲν ἐνεργεῖ τὰ οἰκεῖα ἔργα της. Ἐπίσης καὶ τὰ σώματα ποὺ ὑποβαστάζουν τὸν νοερὸ λόγο, ὅταν βρεθοῦν ἔξω ἀπὸ τὴ φύση τους, δὲν ἔχουν τὴ δύναμη νὰ πράξουν τὰ δικά τους.

§ 33. Πῶς ὅλως τὰ κακά: Ἂν σὲ ὅλα λειτουργεῖ ἡ πρόνοια, δὲν ὑπάρχει τὸ κακὸ πουθενά.

Ἀλλὰ καὶ τοῖς γινομένοις: Ὅτι δηλαδὴ ὁ Θεὸς φέρεται μὲ καλοσύνη και σ' αὐτοὺς ποὺ γίνονται καὶ θεωροῦνται κακοὶ πρὸς διόρθωση καὶ ὠφέλεια δική μας ἢ ἄλλων.

Ἢ ἄλλων ἢ ἰδικήν: Ἀπευθύνεται σ' αὐτοὺς ποὺ ὑποστηρίζουν ὅτι ἔπρεπε νὰ εἴμαστε καὶ χωρὶς νὰ θέλομε ἀγαθοί.

Οἳ χρῆναί φασι τὴν πρόνοιαν: Σημείωσε πῶς καταφέρει πλῆγμα πρὸς ἐκείνους ποὺ λένε· Γιατί δὲν μᾶς δημιούργησε ὁ Θεὸς ἔτσι, ὥστε νὰ μὴν ἁμαρτάνομε, ἀκόμα καὶ ἂν θέλομε; Αὐτὸ δεν εἶναι τίποτε ἄλλο παρὰ νὰ λέμε· Γιατί δὲν μᾶς ἔκανε ζῶα δίχως νοῦ καὶ λόγο; Γιατὶ τὸ νὰ ὁδηγούμαστε στὴν ἀρετὴ ἀπὸ ἀνάγκη οὔτε αὐτοκυρίαρχους στὶς δυνάμεις μας θὰ μᾶς ἔδειχνε, οὔτε θὰ ἐπέτρεπε νὰ εἶναι ἡ φύση μας νοερή, δηλαδὴ νὰ ἔχει νοερὴ ψυχή. Ἀφαίρεσέ μας δηλαδὴ τὴν αὐτεξουσιότητα, καὶ οὔτε εἰκόνα τοῦ Θεοῦ θὰ γίνομε, οὔτε ψυχὴ λογικὴ καὶ νοερή, καὶ πραγματικὰ θὰ καταστραφεῖ ἡ φύση μας, ἐπειδὴ δὲ θὰ ἦταν αὐτὸ ποὺ ἔπρεπε. Λέγοντας 'αὐτοκινήτων', πρέπει νὰ σκεφτοῦμε ὅτι τὸ λέει ἀντὶ νὰ πεῖ 'αὐτεξουσίων καὶ αὐτοκρατόρων' (αὐτοκυριάρχων). Δὲν μιλᾶ δηλαδὴ γιὰ ἐκεῖνα ποὺ κινοῦν τὸ ἑαυτό τους, ὅπως εἶναι τὰ ἔμψυχα, πρὸς ἀντιδιαστολὴ μὲ τὰ ἀκίνητα, ὅπως εἶναι τὰ σπίτια καὶ τὰ βουνά, ἢ γιὰ ἐκεῖνα ποὺ τὰ κινοῦν ἄλλοι, ὅπως εἶναι τὰ λιθάρια καὶ τὰ ξύλα. Μιλώντας δηλαδὴ γιὰ τὴν ἀρετὴ ἀνέφερε αὐτοὺς ποὺ κινοῦνται ἀπὸ μόνοι τους, γιὰ τοὺς ὁποίους χαρακτηρίζει πρόσφορη τὴν πρόνοια, τὴν πρόνοια ποὺ ἐκδηλώνεται ἀπὸ τὸ νόμο καὶ τοὺς προφῆτες, τὴν πρόνοια ποὺ δείχνεται μὲ τὶς εὐεργεσίες, ὅπως δηλώνει καὶ ὁ Ἀπόστολος μιλώντας στοὺς Ἀθηναίους.

Ἄκοντας ἡμᾶς: Πετυχημένα ἀνέτρεψε τὴν ἄποψη ἐκείνων

των, ὅτι ἐχρῆν ἡμᾶς καὶ ἄκοντας καὶ ἀνάγκης εἶναι καλούς· τοῦτο γὰρ φθορὰ ἦν ἡμῶν τῆς οὐσίας· ἀνῄρητο γὰρ τὸ αὐτεξούσιον.

§ 34. Καὶ ἀλλοίωσις: Σημείωσαι, ὅτι καὶ τὰ ἀσώματα καὶ τὰ ἄϋλα ἀλλοιοῦται, μὴ μένοντα ἐν τῇ τοῦ ἀγαθοῦ ὁλοτελῶς ταὐτότητι· τὸ μὲν γὰρ ἀγαθὸν ταὐτόν, ὡς ἀεὶ ἑστὼς καὶ βέβαιον, τὸ δὲ τρεπόμενον οὐ ταὐτόν.

§ 35. Ἐν γνώσει δὲ ἁμαρτάνοντας: Ὅρα πῶς ἑρμηνεύει τό, «οὐαὶ τοῖς ἐν γνώσει ἁμαρτάνουσι», καὶ τό, «ὁ δοῦλος ὁ εἰδὼς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιῶν αὐτό, δαρήσεται πολλάς».

Ἢ τῆς γνώσεως: Γνῶσίν φησιν ἴσως τὴν ἐκ διδασκαλίας προσγινομένην, ἣν καὶ λήθη πολλάκις δύναται ἀμαυρῶσαι, ἣν καὶ ἀνωτέρω φησὶν ἐξ ἀκοῆς ἐγγίνεσθαι· ἄληστον δὲ τὴν γνῶσιν οἰητέον τὴν ἐκ φυσικῆς θεωρίας ἢ ἐλλάμψεως ἀδιδάκτως προσγινομένην.

Ἀλλὰ ταῦτα μὲν ἡμῖν: Σημείωσαι, ὅτι καὶ ἄλλο ἐστὶν αὐτοῦ σύνταγμα περὶ δικαίου καὶ θείου δικαιωτηρίου· σημείωσαι δέ, καὶ ὅτι εἴκοσι καὶ τρεῖς συλλογισμοὺς ἔχει τὸ κεφάλαιον τοῦτο, ἀποδεικνύντας, ὅτι οὐκ ἔστιν ὂν τὸ κακόν.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ Ε'

§ 1. Οὐ τὴν ὑπερούσιον: Ἓν ὠνόμασαν τὸν Θεὸν οἱ πάλαι οὐχ ὡς ἀριθμῶν ἀρχήν, ἀλλὰ διὰ τὸ πάντων ἐξῃρῆσθαι καὶ

πού λένε, ὅτι ἔπρεπε χωρὶς νὰ θέλομε καὶ ἐξαναγκασμένοι νὰ εἴμαστε καλοί. Καθόσον αὐτὸ θὰ ἀποτελοῦσε φθορὰ τῆς οὐσίας μας. Γιατὶ θὰ χανόταν τὸ αὐταξούσιο.

Τῶν αὐτοκινήτων: Ἀντὶ νὰ πεῖ 'αὐτεξουσίων', ὅπως δηλώνει ἡ παρακείμενη παράγραφος.

§ 34. Καὶ ἀλλοίωσις: Σημείωσε ὅτι ἀλλοιώνονται καὶ τὰ ἀσώματα καὶ τὰ ἄυλα, ἀφοῦ δὲν μένουν ὁλότελα μέσα στὴν ταυτότητα τοῦ ἀγαθοῦ. Γιατὶ τὸ ἀγαθὸ εἶναι τὸ ἴδιο, ἐπειδὴ πάντοτε εἶναι καθαρὸ καὶ ἀκλόνητο, αὐτὸ ὅμως ποὺ μεταβάλλεται δὲν εἶναι τὸ ἴδιο.

§ 35. Ἐν γνώσει δὲ ἁμαρτάνοντας: Πρόσεξε πῶς ἑρμηνεύει τό, «Ἀλλοίμο σ' ἐκείνους ποὺ ἁμαρτάνουν συνειδητά», καὶ τό, «ὁ δοῦλος ποὺ γνωρίζει τὸ θέλημα τοῦ Κυρίου του, ἀλλὰ δὲν τὸ πράττει, θὰ δεχθεῖ πολλὰ πλήγματα»[33].

Ἢ τῆς γνώσεως: Γνώση λέει ἴσως τὴ μάθηση ποὺ ἀποχτοῦμε ἀπὸ διδασκαλία, τὴν ὁποία πολλὲς φορὲς καὶ ἡ λήθη μπορεῖ νὰ θαμπώσει, ἡ ὁποία πιὸ πάνω εἶπε πὼς προέρχεται ἀπὸ τὴν ἀκοή. Ἀλησμόνητη γνώση πρέπει νὰ θεωρήσομε τὴ γνώση ποὺ ἀποκτοῦμε ἀπὸ τὴ φυσικὴ θεωρία ἢ ἔλλαμψη χωρὶς διδαχή.

Ἀλλὰ ταῦτα μὲν ἡμῖν: Σημείωσε ὅτι ὑπάρχει κι ἄλλο ἔργο του Περὶ δικαίου καὶ περὶ θείου δικαιωτηρίου. Σημείωσε ἀκόμα, ὅτι τὸ κεφάλαιο αὐτὸ περιέχει εἴκοσι τρεῖς συλλογισμούς, ποὺ ἀποδεικνύουν ὅτι τὸ κακὸ δὲν εἶναι ὄν.

ΣΤΟ ΚΕΦΑΛΑΙΟ 5

§ 1. Οὐ τὴν ὑπερούσιον: Οἱ παλαιοὶ ὀνόμασαν τὸν Θεὸ ἕνα, ὄχι ὡς ἀρχὴ τῶν ἀριθμῶν, ἀλλὰ ἐπειδὴ βγαίνει ἔξω ἀπὸ

33. Λουκᾶ 12,47.

μηδὲν ἔχειν συναριθμούμενον τῶν μετ' αὐτόν, ἀλλὰ καὶ διὰ τὸ ἀσύνθετον καὶ ἁπλοῦν· οὐ τοῦτο δὲ παρίστησι, τίς ἡ οὐσία τοῦ Θεοῦ· κυρίως γὰρ οὐσία ἐπὶ Θεοῦ οὐκ ἂν λέγοιτο· ἔστι γὰρ ὑπερούσιος.

Θεαρχικῆς οὐσιαρχίας: Οὐσιαρχίαν φησὶ τὴν πάσης ἀρχὴν οὐσίας καὶ αἰτίαν· αὐτὴ γὰρ ἡ θεότης ὑπὲρ πᾶσαν οὐσίαν. Πρόοδον δὲ τὴν θείαν ἐνέργειαν λέγει, ἥτις πᾶσαν οὐσίαν παρήγαγε.

Καὶ γὰρ ἡ τἀγαθοῦ θεωνυμία: Πῶς ἀγαθὸς λέγεται ὁ Θεός. Ὅρα δὲ πῶς φησι τὸ ἀγαθόν, ἤτοι τὴν αὐτοῦ θεωνυμίαν, ἐκτείνεσθαι εἰς τὰ ὄντα πάντα καὶ εἰς τὰ οὐκ ὄντα εἶναι· τὸ δὲ ἓν ὑπὲρ τὰ ὄντα εἶναι καὶ ὑπερεκτείνεσθαι αὐτό· τὴν δὲ ζωὴν ὑπὲρ τὰ ζῶντα εἶναι, καὶ τὴν σοφίαν ὑπὲρ τὰ νοερὰ καὶ λογικὰ καὶ αἰσθητικὰ ἐκτείνεσθαι, ὡς εἶναι δῆλον, ὅτι τὸ ἀγαθόν, τούτέστιν ὁ Θεός, καὶ τοῦ ὄντος καὶ ζωῆς καὶ σοφίας αἴτιον, τὸ δὲ ὄν, ζωῆς καὶ σοφίας αἴτιον, τοῖς οὖσι νόει ἀκολούθως (τοῖς λοιποῖς).

Καὶ εἰς τὰ οὐκ ὄντα ἐκτείνεται: Καὶ εἰς τὰ οὐκ ὄντα ἐκτείνεται τὸ ἀγαθόν, ὡς εἰς τὸ εἶναι καλοῦν αὐτά, ἢ καὶ κατὰ τὸ εἰρημένον αὐτῷ τῷ πατρί, ὅτι καὶ αὐτὸ τὸ μὴ ὂν καλόν, ὅταν ἐν Θεῷ διὰ τὸ ὑπερούσιον θεωρῆται. Ὄντα δὲ τὰ οὐκ ὄντα ὑλικά φησιν, ὡς πολλάκις ἐδηλώσαμεν ἄνω· ἢ οὕτως, ἐπειδὴ οὐ περιγράφεται τόπῳ ὁ Θεός, εἰκότως φησὶ καὶ ὑπὲρ τὰ οὐκ ὄντα αὐτὸν εἶναι, ἵνα δείξῃ τὸ ἀπερίγραπτον αὐτοῦ.

Καὶ ὑπὲρ τὰ ζῶντα: Ἐπισημήνασθαι χρή, πῶς, ὅταν μὲν περὶ ἀγγέλων φησὶ καὶ ἀνθρώπων, τοὺς ἀγγέλους νοητά φησι, τὰς δὲ ἡμετέρας ψυχὰς νοεράς, ὡς πολλάκις ἀνωτέρω παρεστήσαμεν καὶ τὰς ἑρμηνείας ἐκθέμενοι τοῦ νοητοῦ καὶ νοεροῦ. Νῦν δ' ἐπειδὴ περὶ τοῦ Θεοῦ πρῶτόν φησιν, εἰκότως καὶ τοὺς ἀγγέλους μεθ' ἡμῶν νοερούς φησιν, ἅτε καὶ αὐτοὺς διὰ τοῦ νοεῖν τὸν Θεόν, ὅσον οἷόν τε, τρεφομένους τῇ νοήσει, τῷ ἐπε-

ὅλα καὶ κανένα ἀπὸ τὰ ἔπειτα ἀπὸ αὐτὸν δὲν συναριθμεῖται μαζί του, ἀλλὰ κι ἐπειδὴ εἶναι ἀσύνθετος κι ἁπλός. Αὐτὸ ὅμως δὲν παριστάνει ποιά εἶναι ἡ οὐσία τοῦ Θεοῦ. Καθόσον ἡ οὐσία τοῦ Θεοῦ δὲ θὰ μποροῦσε νὰ ὀνομαστεῖ κατὰ κυριολεξία. Γιατὶ εἶναι ὑπερ–ούσιος.

Θεαρχικῆς οὐσιαρχίας: Οὐσιαρχία καλεῖ τὴν ἀρχὴ καὶ αἰτία κάθε οὐσίας. Γιατὶ ἡ ἴδια ἡ θεότητα εἶναι πάνω ἀπὸ κάθε οὐσία. Πρόοδο πάλι λέει τὴ θεία ἐνέργεια, ἡ ὁποία παρήγαγε κάθε οὐσία.

Καὶ γὰρ ἡ τἀγαθοῦ θεωνυμία: Πῶς δηλαδὴ λέγεται ὁ Θεὸς ἀγαθός. Πρόσεχε πῶς λέει ὅτι τὸ ἀγαθό, δηλαδὴ τὸ θεῖο ὄνομά του, ἐκτείνεται σὲ ὅλα τὰ ὄντα καὶ τὰ μὴ ὄντα. Τὸ ἕνα εἶναι πάνω ἀπὸ τὰ ὄντα καὶ ἐκτείνεται πάνω ἀπὸ αὐτά, ἡ ζωὴ εἶναι πάνω ἀπὸ ὅσα ζοῦνε, καὶ ἡ σοφία ἁπλώνεται πάνω ἀπὸ τὰ νοερὰ καὶ λογικὰ καὶ αἰσθητικά, ὥστε νὰ εἶναι φανερό, ὅτι τὸ ἀγαθό, δηλαδὴ ὁ Θεός, εἶναι τὸ αἴτιο καὶ τοῦ ὄντος καὶ τῆς ζωῆς καὶ τῆς σοφίας· καὶ τὸ εἶναι, αἴτιο τῆς ζωῆς καὶ τῆς σοφίας, ἐννόησέ το γιὰ τὰ ὄντα συνακόλουθα μὲ τὰ παραπάνω,

Καὶ εἰς τὰ οὐκ ὄντα ἐκτείνεται: Τὸ ἀγαθὸ ἐκτείνεται καὶ σὲ ὅσα δὲν ὑπάρχουν, ἐπειδὴ τὰ καλεῖ στὸ εἶναι. Ἢ σύμφωνα μ' αὐτὸ ποὺ εἰπώθηκε ἀπὸ τὸν ἴδιο αὐτὸν πατέρα, ὅτι καὶ τὸ ἴδιο τὸ μὴ ὂν εἶναι καλό, ὅταν τὸ θεωροῦμε χάρη στὴν ὑπερουσιότητά του μέσα στὸν Θεό. Ὄντα καλεῖ ὅσα δὲν εἶναι ὑλικά, ὅπως δηλώσαμε πολλὲς φορὲς πιὸ πάνω. Ἢ καὶ ὡς ἑξῆς· ἐπειδὴ ὁ Θεὸς δὲν περιορίζεται σὲ τόπο, εὔλογα λέει ὅτι αὐτὸς εἶναι καὶ πάνω ἀπὸ τὰ ὄντα, γιὰ νὰ δείξει ὅτι εἶναι ἀπερίγραπτος.

Καὶ ὑπὲρ τὰ ζῶντα: Πρέπει νὰ ἐπισημανθεῖ πῶς, ὅταν μιλᾶ γιὰ ἀγγέλους καὶ ἀνθρώπους, καλεῖ τοὺς ἀγγέλους νοητὰ (ὄντα), ἐνῶ τὶς ψυχές μας τὶς καλεῖ νοερές, ὅπως πολλὲς φορὲς δείξαμε πιὸ πάνω ἐκθέτοντας καὶ τὶς ἑρμηνεῖες τοῦ νοητοῦ καὶ τοῦ νοεροῦ. Τώρα ὅμως, ἐπειδὴ μιλᾶ πρῶτα γιὰ τὸν Θεό, δικαιολογημένα λέει νοεροὺς μαζὶ μ' ἐμᾶς καὶ τοὺς ἀγγέλους, ἐπειδὴ καὶ αὐτοὶ μὲ τὸ νὰ νοοῦν τὸν Θεό, ὅσο εἶναι δυνατό, τρέφονται μὲ

στράφθαι ἐπὶ τὴν θείαν σοφίαν, ὡς καὶ αἱ ἀνθρώπιναι ψυχαί, καὶ τὰ αἰσθητικὰ δέ, τουτέστι τὰ ἄλογα. Ἔμψυχα δὲ ὅμως πάντα σοφίας μετέχουσι θείας καὶ ἐν ταῖς φυσικαῖς αὐτῶν ὁρμαῖς, ὡς καὶ ὁ θεῖος Βασίλειος ἐν τῇ Ἑξαημέρῳ δείκνυσι, καὶ αὐτὸ δὲ τὸ ἐν σοφίᾳ γενέσθαι πάντα, κατὰ τὸ εἰρημένον, «πάντα ἐν σοφίᾳ ἐποίησας». Ἡ δὲ σοφία ἐστὶν ὁ Υἱὸς ὁ ὤν· πάντα οὖν ἐν τῷ Υἱῷ τῷ ὄντι ἐγένοντο, φησίν.

§ 2. Ἐκφαντορικάς: Ἐκφαντορικάς φησι τὰς ἐκφαινούσας, ἤτοι παριστάσας.

Τῆς ὑπὲρ πᾶσαν ἀγαθότητα: Σημείωσαι, ὅτι καλῶς λέγομεν, ὅτι ἐστὶν ὑπὲρ πᾶσαν ἀγαθότητα καὶ θεότητα· ὑποβεβηκυίας οὖν θεότητας νόησον ἀγγέλων καὶ ἀνθρώπων δικαίων.

Ἐν ἀποκρύφοις: Ὡς τό, «ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ», καὶ πάλιν· «ἐν ἀποκρύφῳ καταιγίδος».

Καὶ αἰσθήσεως μετειληφότων: Ἐπειδὴ πρὸ μικροῦ ἔδοξέ πως ὑπόβασιν λέγειν τὸ ἀγαθόν, εἰπὼν τοῦ ὄντος αἴτιον, καὶ οὕτω καθεξῆς, ἵνα μὴ οἱ ἀσυνέτως ἀναγινώσκοντες εὕρωσι μέμψεως ἀφορμήν, φησίν· Οὐκ ἄλλο δὲ εἶναι τὸ ἀγαθόν, καὶ ἄλλο τὸ ὄν, καὶ αὖ πάλιν, ἄλλο τὴν ζωήν, ἢ τὴν σοφίαν· ἓν γὰρ εἶναι τῶν ἁπάντων αἴτιον, καὶ οὐ πολλά, καὶ μίαν εἰκότως θεότητα πάντα παράγουσαν, τὴν ἁγίαν καὶ μακαρίαν Τριάδα, καὶ μὴ πολλὰς θεότητας δημιουργούς· τοῦτο δὲ οὐ περιττῶς εἶπεν, ἀλλὰ καθαπτόμενος τῶν παρ' Ἕλλησι σοφῶν καὶ τῶν ἀπὸ Σίμωνος αἱρετικῶν, οἳ κοσμοποιούς φασι θεούς, καθόσον ὑποβεβήκασι, τοσοῦτον καὶ τὰ ἀσθενέστερα τῶν κτισμάτων παράγοντας, ἕως καὶ τῆς τῶν ἁπάντων ὑποστάθμης, ὥς φασι, τουτέστι τῆς ὕλης.

---

1. Ψαλμ. 103,24.

τὴ νόηση, μὲ τὴ στροφή τους στὴ θεία σοφία, ὅπως καὶ οἱ ψυχὲς τῶν ἀνθρώπων, ἀλλὰ καὶ τὰ αἰσθητικά, δηλαδὴ τὰ ἄλογα (ὄντα). Ἀλλὰ ὅλα τὰ ἔμψυχα μετέχουν τὴ θεία σοφία καὶ μέσα στὶς φυσικὲς ὁρμές τους, ὅπως δείχνει καὶ ὁ μέγας Βασίλειος στὴν Ἑξαήμερό του, ἀκόμα καὶ τὸ ὅτι ὅλα ἔγιναν μὲ σοφία σύμφωνα μὲ τὸ λόγο, «ὅλα τὰ δημιούργησες μὲ σοφία»[1], καὶ ἡ Σοφία εἶναι ὁ Υἱὸς ποὺ ὑπάρχει. Ὅλα λοιπόν, λέει, ἔγιναν μὲ τὸν Υἱὸ ποὺ ὑπάρχει.

§ 2. Ἐκφαντορικάς: Ἐκφαντορικὲς λέει αὐτὲς ποὺ φανερώνουν, δηλαδὴ αὐτὲς ποὺ παριστάνουν.

Τῆς ὑπὲρ πᾶσαν ἀγαθότητα: Σημείωσε, ὅτι ὀρθὰ λέει, ὅτι εἶναι πάνω ἀπὸ κάθε ἀγαθότητα καὶ θεότητα. Κατώτερες θεότητες νόησε τὶς θεότητες τῶν ἀγγέλων καὶ τῶν ἀνθρώπων.

Ἐν ἀποκρύφοις: Μὲ τὸ νόημα τοῦ λόγου, «ἔκανε τὸ σκοτάδι τόπο γιὰ νὰ κρύβεται»[2], καὶ ἐπίσης, «στὸ κρυμμένο μέρος τῆς καταιγίδας»[3].

Καὶ αἰσθήσεις μετειληφότων: Ἐπειδὴ λίγο πιὸ πρὶν φάνηκε νὰ λέει κατὰ κάποιο τρόπο τὸ ἀγαθὸ ὑπόβαθρο, χαρακτηρίζοντάς το αἴτιο τοῦ ὄντος καὶ οὕτω καθεξῆς, γιὰ νὰ μὴ βροῦν ἀφορμὴ νὰ τὸν μεμφθοῦν ὅσοι διαβάζουν ἀπερίσκεπτα, λέει· 'Καὶ δὲν εἶναι ἄλλο τὸ ἀγαθὸ καὶ ἄλλο τὸ ὄν'. Καὶ ξανὰ πάλι· ''Ἄλλο ἡ ζωὴ ἢ ἡ σοφία'· γιατὶ ἕνα εἶναι τὸ αἴτιο τῶν ὅλων καὶ ὄχι πολλά, καὶ φυσικὰ μία θεότητα ποὺ δημιουργεῖ τὰ πάντα, ἡ ἁγία καὶ μακάρια Τριάδα, κι ὄχι πολλοὶ θεοὶ δημιουργοί. Αὐτὸ δὲν τὸ εἶπε ὡς περιττολογία, ἀλλὰ κατηγορώντας τοὺς Ἕλληνες σοφοὺς καὶ τοὺς αἱρετικοὺς γύρω ἀπὸ τὸν Σίμωνα, οἱ ὁποῖοι μιλοῦν γιὰ θεοὺς κοσμοποιούς, ποὺ ὅσο κατώτεροι εἶναι, τόσο καὶ πιὸ ἀδύναμα κτίσματα δημιουργοῦν, ὥσπου νὰ φτάσουν καὶ στὴν ὑποστάθμη (ὑπόβαθρο), ὅπως λένε, τῶν ὅλων, δηλαδὴ τὴν ὕλη.

---

2. Ψαλμ. 17,12.
3. Ψαλμ. 75,8.

Καὶ τὴν μὲν εἶναι: Τὴν τοῦ ἀγαθοῦ ἐπωνυμίαν παντελοῦς προνοίας δεκτικὴν εἶναί φησι, τὰς δὲ λοιπάς, μερικάς, οἷον ζωὴν καὶ σοφίαν καὶ λόγον· καὶ πάντα μὲν γὰρ τὰ ὄντα δι' ἀγαθότητα Θεοῦ παρήχθη πρὸς ὕπαρξιν, καὶ εἰσὶν ἀγαθά, ἤτοι καλὰ λίαν, οὐ πάντα δὲ ζωῆς ἢ λόγου ἢ σοφίας μετέχουσι· διὸ τὰς τοιαύτας ἐπωνυμίας κατὰ ἀντιδιαστολὴν τῆς παντελοῦς τέθεικεν. Ὁλικωτέρας δέ φησι τὰς ἐπὶ πλειόνων θεωρουμένας, οἷον ζωήν· φθάνει γὰρ ἐπὶ φυτῶν καὶ ζώων, λογικῶν τε καὶ ἀλόγων· σοφία δὲ καὶ λόγος μερικώτεραι· ἐπὶ μόνων γὰρ λογικῶν ὁρῶνται ταῦτα.

§ 3. Καὶ τῆς ζωῆς τὴν σοφίαν: Ἀσαφέστερόν πως ἐγκειμένης τῆς ῥήσεως, οἶμαι τὸ λεγόμενον τοιοῦτόν τινα νοῦν ὑποφαίνειν· ὥς τινος ἐπαποροῦντος καὶ λέγοντος· Διὰ τί, τοῦ ὀνόματος αὐτοῦ τοῦ ὄντος ὑπερέχοντος τῆς ζωῆς τὴν προσηγορίαν, καὶ πάλιν τοῦ ὀνόματος τῆς ζωῆς ὑπεραίροντος τὴν σοφίαν, ἅτε καὶ τῆς τάξεως τοῦτο ἀπαιτούσης, ὡς καὶ αὐτὸς πρὸ βραχέως ἐδήλωσεν εἰπών, καὶ ὄν, καὶ ζωήν, καὶ σοφίαν τὴν οὐσιοποιὸν καὶ ζωοποιὸν καὶ σοφοδότιν αἰτίαν τῶν οὐσίας, καὶ ζωῆς, καὶ νοῦ, καὶ λόγου μετειληφότων, καὶ αἰσθήσεως, οὐκέτι τὴν τάξιν ταύτην ὁρῶμεν ἐν τοῖς οὖσι; Δέον γάρ, κατὰ τοὺς εἰρημένους ὑπὸ σοῦ βαθμούς, τὰ ὄντα πλέον τῶν ζώντων καὶ τῶν αἰσθανομένων καὶ τῶν νοερῶν καὶ λογικῶν, τουτέστι τοῦ νοῦ καὶ λόγου μετειληφότων, πλησιάζειν Θεῷ· οὐκέτι μὲν οὕτως, ἐξ ἐναντίου δέ ἐστιν, οἷον οὐρανοῦ καὶ ἄστρων καὶ γῆς καὶ ὕδατος καὶ ἀέρος καὶ τῶν ἐξ αὐτῶν πλησιαίτερα περὶ τὴν πρόνοιαν τοῦ Θεοῦ τὰ ζῶντα, εἰ καὶ τὴν φυτικὴν ζῶσι ζωήν, οἷα τὰ φυτὰ καὶ τὰ τοιαῦτα, καὶ τῶν ζώντων πλησιαίτερα τὰ αἰσθητικά, τουτέστι τὰ ἄλογα· τῶν γὰρ φυτῶν καὶ βοτανῶν τιμιώτερα ἐν ζωῇ τὰ ἄλογα, καθ' ὃ κἂν μόνον αἰσθάνωνται, τῶν φυτῶν μὴ αἰσθανομένων, τῶν δὲ λογικῶν οἱ νόες, τουτέστιν αἱ ὑπερκόσμιοι

Καὶ τὴν μὲν εἶναι: Ἡ ἐπωνυμία τοῦ ἀγαθοῦ λέει ὅτι δείχνει τὴν παντέλεια πρόνοια, ἐνῶ οἱ λοιπὲς δείχνουν τὶς μερικὲς πρόνοιες ὅπως γιὰ παράδειγμα τὴ ζωὴ καὶ τὴ σοφία καὶ τὸ λόγο. Καὶ ὅλα βέβαια τὰ ὄντα ἦρθαν στὴν ὕπαρξη ἀπὸ ἀγαθότητα τοῦ Θεοῦ καὶ εἶναι ἀγαθά, δηλαδὴ 'πάρα πολὺ καλά', δὲν εἶναι ὅμως ὅλα μέτοχα ζωῆς ἢ λόγου ἢ σοφίας. Γι' αὐτὸ ἀνέφερε τὶς ἐπωνυμίες αὐτὲς ἀντιδιαστέλλοντάς τες πρὸς τὴν παντέλεια. Ὁλικότερες λέει ὅσες παρατηροῦνται σὲ περισσότερα, ὅπως ζωή· γιατὶ ἰσχύει γιὰ φυτὰ καὶ ζῶα, λογικὰ καὶ ἄλογα· ἐνῶ ἡ σοφία καὶ ὁ λόγος εἶναι πιὸ μερικά. Αὐτὰ παρατηροῦνται μόνο στὰ λογικά.

§ 3. Καὶ τῆς ζωῆς τὴν σοφίαν: Ὁ λόγος διατυπώθηκε μὲ κάποια ἀσάφεια, ἀλλὰ νομίζω πὼς ὑποδηλώνει τὸ ἑξῆς περίπου νόημα. Εἶναι σὰ νὰ ἀπορεῖ κάποιος καὶ νὰ ἐρωτᾶ· 'Γιατί, ἀφοῦ τὸ ὄνομα ὂν ὑπερέχει ἀπὸ τὴν ὀνομασία τῆς ζωῆς, καὶ ἐπίσης τὸ ὄνομα ζωὴ ξεπερνᾶ τὴ σοφία, ἀφοῦ καὶ ἡ τάξη αὐτὸ ἀπαιτεῖ, ὅπως καὶ ὁ ἴδιος δήλωσε πρὶν ἀπὸ λίγο λέγοντας καὶ ὂν καὶ ζωὴ καὶ σοφία καὶ οὐσιοποιὸ καὶ ζωοποιὸ καὶ σοφοδότρια αἰτία ἐκείνων ποὺ ἔχουν λάβει καὶ οὐσία, καὶ ζωή, καὶ νοῦ, καὶ αἴσθηση, δὲν διαπιστώνομε αὐτὴ τὴ σειρὰ καὶ στὰ ὄντα; Γιατὶ πρέπει, σύμφωνα μὲ τὶς βαθμίδες ποὺ ἀνέφερες, τὰ ὄντα νὰ πλησιάζουν τὸν Θεὸ περισσότερο ἀπὸ τὰ ζωντανὰ καὶ τὰ αἰσθανόμενα καὶ νὰ νοερὰ καὶ τὰ λογικά, δηλαδὴ ἀπὸ ὅσα ἔχουν λάβει νοῦ καὶ λόγο. Δὲν γίνεται ὅμως ἔτσι, ἀλλὰ ἀντίθετα. Γιὰ παράδειγμα ἀπὸ τὸν οὐρανὸ και τὰ ἄστρα καὶ τὴ γῆ καὶ τὸ νερὸ καὶ τὸν ἀέρα καὶ ἀπὸ ὅσα γίνονται ἀπὸ αὐτά, πιὸ πλησιέστερα στὴν πρόνοια τοῦ Θεοῦ εἶναι τὰ ζωντανά, ἔστω κι ἂν ζοῦνε τὴ φυσικὴ ζωή, ὅπως εἶναι τὰ φυτὰ καὶ τὰ ὅμοια· καὶ ὅσα ἔχουν αἴσθηση, δηλαδὴ τὰ ἄλογα, εἶναι πλησιέστερα ἀπὸ τὰ ζωντανά. Γιατὶ ἀπὸ τὰ φυτὰ καὶ τὰ βότανα πολυτιμότερα στὴ ζωὴ εἶναι τὰ ἄλογα, ποὺ μποροῦν νὰ αἰσθάνονται μόνο, ἐνῶ τὰ φυτὰ δὲν αἰσθάνονται. Καὶ τὰ λογικὰ εἶναι πιὸ κοντὰ στὸν Θεὸ ἀπὸ ὅ,τι ὅσα ἔχουν αἴσθηση, κι ἀπὸ τὰ λογικὰ οἱ νόες, δηλαδὴ οἱ ὑπερ-

δυνάμεις, ὡς ἡμῶν τῶν λογικῶν ἀνώτεραι, κατὰ τὸ ἄυλον καὶ νοερὸν ἐγγίζουσαι μᾶλλον ἡμῶν τῷ Θεῷ· καίτοι ἔδει τὸ ἐναντίον, τὰ ὄντα καὶ μειζόνων δωρεῶν ἀπολαύοντα τοῦ Θεοῦ ὑπὲρ τὰ ἄλλα εἶναι, οἷον τὸν οὐρανόν, τὰ ἄστρα καὶ τὰ τοιαῦτα. Καὶ αὐτὴ μὲν ἡ ἐπαπόρησις· λοιπὸν οὖν ἀποκρίνεται ὁ θεῖος Διονύσιος ἐκ τοῦ νοῦ καὶ τοῦ λόγου καὶ τῆς αἰσθήσεως καθ' ὑπόβασιν καὶ τὰ προτιμήσεις τάττων· οὕτως εὑρήσεις ματὰ μίαν σελίδα.

Καίτοι ἔδει τὰ τῶν μειζόνων: Μείζονας δωρεάς φησι τὰς ἐπὶ πλειόνων θεωρουμένας, οἷον τὸ ὂν καὶ τὴν ζωήν, ἀλλὰ τὰ τούτων μόνον μετέχοντα οὐκ ἐν πρώτοις καὶ κρείττοσιν, ἀλλ' ἐν τοῖς ἥττοσιν ὁρρῶνται, ἐπειδὴ τὰ μὲν ὑπερέχοντα καὶ τὰς τῶν ὑφειμένων ἔχουσιν ἰδιότητας τοῦ εἶναι, τοῦ ζῆν, καὶ κατὰ τοῦτο κρείττονα, εἰ καὶ διὰ μερικωτέρων ἐπωνυμιῶν σημαίνονται, τὰ δὲ τῶν ὁλικωτέρων οὐ μετέχουσι τῆς τῶν κρειττόνων ἰδιότητος, τουτέστι σοφίας καὶ λόγου καὶ νοερότητος, καὶ κατὰ τοῦτο ἥττονα, ὡς ἡττόνων, ἤγουν ὀλιγωτέρων δωρεῶν μετέχοντα, ὥσπερ οὖν τὰ ἕτερα, ὡς πλειόνων, καὶ κρείττονα καὶ Θεῷ πλησιαίτερα.

Καὶ ζῶσιν ὑπὲρ τὰ ἄλλα: Ὅτι τὰ ὑπερκείμενα καὶ μᾶλλον Θεῷ πλησιάζοντα λέγεται πλέον ζῆν τῶν ὑποβεβηκότων, οἷον οἱ θεῖοι νόες ὑπὲρ ἡμᾶς ζῶσιν, ὡς μᾶλλον Θεῷ πλησιάζοντες. Πάλιν ἡμεῖς ὡς λογικοί, τῶν ἀλόγων πλέον λεγόμεθα ζῆν· πάλιν τὰ ἄλογα, ὡς αἴσθησιν ἔχοντα, πλέον ζῆν τῶν φυτῶν, ὡς αἴσθησιν μὴ ἐχόντων, ἀλλὰ μόνην τὴν φυτικὴν ζωήν.

§ 4. Ὁ ὢν ὅλου τοῦ εἶναι. Τὸ 'ὄν' ἐπὶ τοῦ Θεοῦ λεγόμενον, ὅλου συλλήβδην τοῦ εἶναι ὑπέρεστι· τοῦτο γάρ φησιν ὑπερού-

κόσμιες δυνάμεις, ἐπειδὴ εἶναι ἀνώτερες ἀπὸ ἐμᾶς τοὺς λογικοὺς καὶ πλησιάζουν ὡς ἄυλες καὶ νοερὲς περισσότερο ἀπὸ ὅ,τι ἐμεῖς τὸν Θεό. Ἂν καὶ βέβαια ἔπρεπε νὰ συμβαίνει τὸ ἀντίθετο, τὰ ὄντα ποὺ ἀπόλαυσαν μεγαλύτερες δωρεὲς τοῦ Θεοῦ, νὰ εἶναι πάνω ἀπὸ τὰ ἄλλα, ὅπως ὁ οὐρανός, τὰ ἄστρα καὶ τὰ παρόμοια. Αὐτὴ βέβαια εἶναι ἡ σχετικὴ ἀπορία. Στὴ συνέχεια λοιπὸν ἀπαντᾶ ὁ θεῖος Διονύσιος, θέτοντας καὶ τὶς προτιμήσεις θεμελιωμένες ἀπὸ τὸ νοῦ καὶ τὸ λόγο καὶ τὶς αἰσθήσεις. Ἔτσι θὰ βρεῖς μετὰ μία σελίδα.

Καίτοι ἔδει τὰ τῶν μειζόνων: Μείζονες δωρεὲς χαρακτηρίζει αὐτὲς ποὺ παρατηροῦνται σὲ περισσότερα, ὅπως εἶναι τὸ ὂν καὶ ἡ ζωή. Ἀλλὰ ὅσα μετέχουν μόνο σ' αὐτὲς δὲν συγκαταλέγονται ἀνάμεσα στὰ πρῶτα καὶ τὰ καλύτερα, ἀλλὰ τὰ βλέπομε στὰ κατώτερα, γιατὶ τὰ ἀνώτερα ἔχουν καὶ τῶν κατωτέρων τὶς ἰδιότητες τοῦ εἶναι καὶ τῆς ζωῆς, καὶ ὡς πρὸς αὐτὸ εἶναι ἀνώτερα, ἂν καὶ σημαίνονται μὲ μερικότερες ἐπωνυμίες. Τὰ ἄλλα ποὺ ἔχουν γενικότερες ἐπωνυμίες δὲν μετέχουν τὴν ἰδιότητα τῶν ἀνωτέρων, τὴ σοφία δηλαδή, τὸ λόγο καὶ τὸ νοῦ, καὶ ὡς πρὸς αὐτὸ εἶναι κατώτερα, ἐπειδὴ μετέχουν κατώτερες, δηλαδὴ λιγότερες δωρεές, ὅπως βέβαια τὰ ἄλλα, ἐπειδὴ μετέχουν περισσότερες, εἶναι καὶ ἀνώτερα καὶ πλησιέστερα στὸν Θεό.

Καὶ ζῶσιν ὑπὲρ τὰ ἄλλα: Τὰ ἀνώτερα καὶ πλησιέστερα στὸν Θεὸ λέει ὅτι ζοῦν περισσότερο[4] ἀπὸ τὰ κατώτερα, ὅπως ζοῦνε περισσότερο ἀπὸ ἐμᾶς οἱ θεῖοι νόες, ἐπειδὴ πλησιάζουν περισσότερο στὸν Θεό. Ἐπίσης ἐμεῖς ὡς λογικοὶ θεωρούμαστε ὅτι ζοῦμε περισσότερο ἀπὸ ὅ,τι τὰ ἄλογα ζῶα. Ἀλλὰ καὶ τὰ ἄλογα, ἐπειδὴ ἔχουν αἴσθηση, ζοῦν περισσότερο ἀπὸ τὰ φυτά, ἐπειδὴ δὲν ἔχουν αἴσθηση, ἀλλὰ μόνο τὴ φυτικὴ ζωή.

§ 4. Ὁ ὢν ὅλου τοῦ εἶναι: Ὁ χαρακτηρισμὸς 'ὄν', ὅταν ἀποδίδεται στὸν Θεό, εἶναι πάνω ἀπὸ ὅλο τὸ εἶναι συνολικά.

---

4. Ἔχουν πλουσιότερη ζωή, μᾶλλον.

σιον, ἀντὶ τοῦ ὑπὲρ τὸ ἐν γενέσει ὄν· τὸ γὰρ ὂν οὐσία· ἀπὸ γὰρ τοῦ εἶναι τὸ ὄνομα παρῆκται τῆς οὐσίας. Ὁ οὖν Θεός, ὡς καὶ τοῦ εἶναι ὑπερκείμενος (τὸ γὰρ εἶναι ἐξ αἰτίας τινὸς δηλοῖ εἰς τὸ εἶναι ἀχθῆναι) ὤν, ὑπερουσίως νοεῖται· διὸ καὶ αἰὼν λέγεται εἶναι τῶν παρηγμένων ὑπ' αὐτοῦ αἰώνων· ὅπερ γὰρ μηδὲ ἦν, μήτε ἔσται, ἀλλ' ἔστι μόνον, τοῦτο ἑστὼς ἔχων τὸ εἶναι, τὸ μὴ μεταβάλλειν εἰς τὸ ἔσται, μήτ' αὖ μεταβεβηκέναι ἀπὸ τοῦ ἦν εἰς τὸ ἔστι, τοῦτό ἐστιν αἰών· οὐ γὰρ μόνον τὰ ὄντα πάντα δεῖ παρεῖναι τῷ παντὶ καὶ ὅλῳ, ἀλλὰ καὶ τὸ μηδὲν τοῦ ποτε μὴ ὄντος· οὐδὲ γάρ τι προσγέγονεν αὐτῷ, μὴ ὂν πρότερον. Αὕτη οὖν ἡ διάθεσις καὶ φύσις καλοῖτο ἂν καὶ εἴη αἰών· αἰὼν γὰρ ἀπὸ τοῦ ἀεὶ ὄντος εἴρηται. Εἴ τις οὖν οὕτω τὸν αἰῶνα λέγοι ζωὴν ἄπειρον, τῷ πᾶσαν ἤδη εἶναι καὶ μηδὲν ἀναλίσκειν αὐτῆς τῷ παρεληλυθέναι, μηδ' αὖ μένειν, οὐκ ἂν εἴη πᾶσα, ἐγγὺς δὲ ἂν εἴη τοῦ ὁρίζεσθαι τί αἰών. Ἐκεῖνο γοῦν ἐστιν ἄπειρον, τὸ μὴ ἐπιλεῖπον· καὶ τοῦτο κυρίως, ὅτι μηδὲν ἑαυτοῦ ἀναλίσκει· οὕτως οὖν ὁ Θεὸς καὶ αἰών, καὶ αἰῶνας ποιῶν. Αἰὼν τοίνυν ἐστὶν οὐ τὸ ὑποκείμενον, ἀλλὰ τὸ ἐξ αὐτοῦ τοῦ ὑποκειμένου ἐκλάμπον· τὰ οὖν νοητὰ καὶ τὰ μὴ ὁρώμενα κατὰ τὸν Ἀπόστολον αἰώνια, αἰώνιον δὲ οὐκ αὐτός ἐστιν ὁ αἰών, ἀλλὰ τὸ αἰῶνος μετέχον, τουτέστι τῆς ἀδιαστάτου καὶ ἀπείρου ζωῆς. Ὡς οὖν καὶ τῶν αἰῶνος, τουτέστι τοῦ ἀεὶ ὄντος μετεχόντων, καθ' ὁμοιότητα αἰώνων λεγομένων ποιητὴς ὁ Θεός, πεποιηκέναι τοὺς αἰῶνας λέγεται, ἀντὶ τοῦ τὰ νοητά, αἰὼν αὐτῶν ὢν καὶ συνοχεύς, οὕτω

Αὐτὸ τὸ λέει ὑπερούσιο, ἀντὶ ὂν ποὺ εἶναι πάνω ἀπὸ τὰ γενητά. Γιατὶ τὸ ὂν εἶναι οὐσία, καὶ τὸ ὄνομα τῆς οὐσίας παράγεται ἀπὸ τὸ εἶναι. Ὁ Θεὸς λοιπόν, ἐπειδὴ ὑπάρχει πιὸ πάνω καὶ ἀπὸ τὸ εἶναι (γιατὶ τὸ εἶναι δηλώνει ὅτι ἀπὸ κάποια αἰτία ἔφθασε στὸ εἶναι), θεωρεῖται πάνω ἀπὸ τὴν οὐσία· γι' αὐτὸ καὶ λέγεται πὼς εἶναι ὁ αἰώνας τῶν αἰώνων ποὺ δημιουργήθηκαν ἀπὸ αὐτόν. Γιατὶ αὐτὸ ποὺ οὔτε ἦταν, οὔτε θὰ εἶναι, ἀλλὰ μονάχα εἶναι, ἔχοντας αὐτὸ τὸ εἶναι μόνιμο καὶ σταθερό, ποὺ δὲν μεταβάλλεται στὸ μελλοντικὸ 'θὰ εἶναι', οὔτε πάλι ἔχει μεταβεῖ στὸ εἶναι ἀπὸ τὸ 'ἦταν', αὐτὸ εἶναι αἰώνας. Γιατὶ δὲν πρέπει μόνο ὅλα τὰ ὄντα νὰ εἶναι συνολικὰ μέσα στὸ πᾶν, ἀλλὰ καὶ τὸ μηδὲν ἐκείνου ποὺ κάποτε δὲν ἦταν. Γιατὶ τίποτε δὲν ἀπέκτησε σὰν ἐπιπρόσθετο, ποὺ νὰ μὴν τὸ εἶχε ἀπὸ πρῶτα. Αὐτὴ λοιπὸν ἡ διάθεση μπορεῖ νὰ ὀνομασθεῖ καὶ φύση καὶ νὰ εἶναι αἰώνας· γιατὶ αἰώνας ὀνομάζεται ἀπὸ τὸ ἀεὶ ὂν (= αἰώνια εἶναι). Ἂν λοιπὸν κάποιος ὀνομάσει τὸν αἰώνα μ' αὐτὴ τὴν ἔννοια ζωὴ ἄπειρη, δηλαδὴ ὅτι εἶναι ἤδη ὅλη καὶ ὅτι δὲν δαπανᾶται τίποτε ἀπὸ αὐτὴν μὲ τὴν παρέλευσή της (κατὰ τὸ παρελθόν), οὔτε πάλι μένει (γιὰ τὸ μέλλον), γιατὶ δὲ θὰ ἦταν ὅλη, θὰ πλησίαζε στὸ νὰ προσδιορίσει τί εἶναι αἰώνας. Ἄπειρο δηλαδὴ εἶναι αὐτὸ ποὺ δὲν ἔχει ἔλλειψη, καὶ τοῦτο κυρίως, γιατὶ δὲν δαπανᾶ τίποπτε δικό του. Ἔτσι λοιπὸν ὁ Θεὸς εἶναι καὶ αἰώνας καὶ δημιουργεῖ τοὺς αἰῶνες. Αἰώνας λοιπὸν εἶναι ὄχι τὸ ὑποκείμενο, ἀλλὰ ἐκεῖνο ποὺ ἐκλάμπει ἀπὸ τὸ ἴδιο τὸ ὑποκείμενο. Τὰ νοητὰ λοιπὸν καὶ ὅσα δὲν βλέπομε εἶναι κατὰ τὸν Ἀπόστολο αἰώνια[5], αἰώνιος ὅμως δὲν εἶναι ὁ ἴδιος ὁ αἰώνας, ἀλλὰ αὐτὸ ποὺ μετέχει τὸν αἰώνα, δηλαδὴ τὴν συνεχῆ καὶ ἀδιάστατη καὶ ἄπειρη ζωή. Ὅπως λοιπὸν κι αὐτῶν ποὺ μετέχουν τὸν αἰώνα, δηλαδὴ τὸ ἀεὶ ὄν, καὶ ποὺ ἀπὸ ὁμοιότητα λέγονται αἰῶνες, δημιουργός τους εἶναι ὁ Θεός, καὶ λέγεται ὅτι δημιούργησε τοὺς αἰῶνες ἀντὶ τὰ

---

5. Ρωμ. 1,20.

καὶ χρόνος ὁ ἄχρονος λέγεται, ἅτε καὶ χρόνων αἴτιος· ὅπερ γὰρ ἐν τοῖς νοητοῖς αἰών, τοῦτό ἐστιν ἐν τοῖς αἰσθητοῖς χρόνος. Ὥσπερ οὖν τὰ ὁρώμενα εἰκόνες εἰσὶ τῶν ἀοράτων καὶ νοητῶν, καὶ αἰῶνα λέγομεν τὴν ἀτρεμῆ ἐκείνην καὶ ὁμοῦ πᾶσαν ζωήν, καὶ ἄπειρον ἤδη καὶ ἀκλινῆ πάντη καὶ ἐν ἑνὶ καὶ προεστῶσαν, οὕτω καὶ τὸν χρόνον τότε μὲν ἐν τῷ ἀεὶ ὄντι ἀναπαύεσθαι, ἐκφανῆναι δὲ καθ' ὑπόβασιν, ὅτε καὶ ὕστερον φύσιν ὁρατὴν ἐχρῆν προελθεῖν. Τὴν οὖν εἰς τὰ αἰσθητὰ πρόοδον τῆς εἰς τὸ ταῦτα δημιουργεῖν ἀγαθότητος τοῦ Θεοῦ καλοῦμεν χρόνον· οὐ γὰρ ἡ κίνησις τῶν εἰς μοίρας καὶ ὥρας καὶ νύκτας καὶ ἡμέρας διαστάσεων, τοῦτο χρόνος, ἀλλ' ὁμώνυμον τῷ χρόνῳ· ὥσπερ γὰρ τὸ μετροῦν καὶ μετρούμενον εἰώθαμεν ὁμωνύμως καλεῖν, οὕτω καὶ ἐνταῦθα· οἷον, ἐὰν τὸ ὑπὸ πήχεως μετρούμενον, εἴτε ἔδαφος, εἴτε τεῖχος, ἢ ἕτερον, πῆχυν λέγομεν. Αἱ γοῦν τῶν ἀστέρων φοραί, κατὰ τὸ εἰρημένον, «ἔστωσαν εἰς τὰ σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἐνιαυτούς», πρὸς διορισμὸν καὶ δήλωσιν ἡμῖν ἐναργῆ παρὰ Θεοῦ ἐγένοντο. Ὁ οὖν καὶ ταῦτα διατάξας, αὐτὸς ἂν εἴη ὑπεραιωνίως καὶ ἀχρόνως ταῦτα ὡς αἴτιος.

Καὶ οὔτε ἦν: Ὅτι οὔτε τὸ ἦν, οὔτε τὸ ἔστιν, οὔτε τὸ ἔσται κυρίως λέγεται ἐπὶ Θεοῦ· ὑπὲρ γὰρ ταῦτα ὁ Θεός. Λέγεται δὲ καὶ ταῦτα διὰ τὸ κατὰ πᾶσαν ἐπίνοιαν ὑπερουσίως αὐτὸν εἶναι.

Οὔτε ἦν: Καλῶς εἶπεν, οὔτε ἦν· τὸ γὰρ 'ἦν' δηλωτικόν ἐστι χρόνου. Ἔστι δὲ ὁ Θεὸς καὶ ὑπὲρ τὸ ἦν, τουτέστιν ὑπὲρ χρόνον. Ἐρεῖς οὖν· Καὶ πῶς κεῖται περὶ τοῦ Θεοῦ Λόγου, «ἐν

νοητά, ἐπειδὴ εἶναι αἰώνας τους καὶ τὰ συγκρατεῖ, ἔτσι ὁ ἄχρονος λέγεται καὶ χρόνος, ἐπειδὴ εἶναι αἰτία καὶ τῶν χρόνων. Ὅ,τι δηλαδὴ εἶναι στὰ νοητὰ ὁ αἰώνας, αὐτὸ εἶναι στὰ αἰσθητὰ ὁ χρόνος. Ὅπως λοιπὸν τὰ ὁρατὰ εἶναι εἰκόνες τῶν ἀόρατων καὶ νοητῶν, καὶ ὅπως αἰώνα λέμε ἐκείνη τὴν ἀσάλευτη κι ὅλη μαζὶ στὸ σύνολο ζωή, καὶ ἄπειρη καὶ ἰσοζυγισμένη ἀπὸ παντοῦ, καὶ ποὺ εἶναι μέσα στὸ ἕνα καὶ ἦταν ἀπὸ πρίν, ἔτσι καὶ ὁ χρόνος τότε ἀναπαυόταν μέσα στὸ ἀεὶ ὄν, κατέβηκε ὅμως ἔπειτα κι ἐμφανίσθηκε, ὅταν ἔπρεπε ὕστερα νὰ φανεῖ ἡ ὁρατὴ φύση. Τὴν πρόοδο λοιπὸν στὰ αἰσθητὰ τῆς ἀγαθότητας τοῦ Θεοῦ γιὰ νὰ τὰ δημιουργήσει τὴ λέμε χρόνο. Γιατὶ δὲν εἶναι χρόνος ἡ κίνηση τῶν διαστημάτων σὲ μοῖρες καὶ ὧρες, σὲ νύχτες καὶ μέρες, ἀλλὰ τὸ συνώνυμο τοῦ χρόνου. Ὅπως δηλαδὴ συνηθίσαμε νὰ καλοῦμε μὲ τὸ ἴδιο ὄνομα αὐτὸ ποὺ μετράει κι αὐτὸ ποὺ μετριέται, ἔτσι κι ἐδῶ. Γιὰ παράδειγμα, ἂν αὐτὰ ποὺ μετροῦμε μὲ τὸν πῆχυ εἶναι εἴτε ἔδαφος, εἴτε ἕνα τεῖχος, ἢ κάτι ἄλλο, τὰ λέμε πήχυ. Οἱ φορὲς λοιπὸν τῶν ἄστρων σύμφωνα μὲ τὸ λόγο, «ἂς χρησιμοποιηθοῦν γιὰ τὰ σημεῖα καὶ τοὺς καιροὺς καὶ τοὺς χρόνους»[6] ἔγιναν ἀπὸ τὸν Θεὸ γιὰ καθορισμό τους καὶ σαφὴ δήλωσή τους σ' ἐμᾶς. Αὐτὸς λοιπὸν ποὺ τὰ διαρρύθμισε κι αὐτά, αὐτὸς θὰ ἦταν ὅλα αὐτὰ ὑπεραιώνια καὶ ἄχρονα ὡς αἴτιος αὐτῶν.

Καὶ οὔτε ἦν. Σχετικὰ μὲ τὸν Θεὸ δὲν λέγεται κατὰ κυριολεξία οὔτε τὸ ἦταν (ἦν), οὔτε τὸ εἶναι (ἐστί), οὔτε τὸ θὰ εἶναι (ἔσται), γιατὶ ὁ Θεὸς τὰ ὑπερβαίνει ὅλα αὐτά. Δέχεται ὅμως κι αὐτοὺς τοὺς χαρακτηρισμούς, ἐπειδὴ βρίσκεται πάνω ἀπὸ τὴν οὐσία ὅπως καὶ νὰ τὸ σκεφτεῖ κανείς.

Οὔτε ἦν: Σωστὰ εἶπε οὔτε ἦταν· γιατὶ τὸ 'ἦταν' δηλώνει χρόνο. Ὁ Θεὸς ὅμως εἶναι καὶ πάνω ἀπὸ τὸ ἦταν, δηλαδὴ πάνω ἀπὸ τὸ χρόνο. Θὰ πεῖς ὅμως· Καὶ πῶς λέγεται γιὰ τὸν Θεὸ

6. Γέν. 1,14.

ἀρχῇ ἦν ὁ Λόγος»; Ἰδοὺ γὰρ ἐνταῦθα κεῖται τὸ ἦν. Πολλάκις λέγομεν, ὅτι ἀρχὴ καὶ αἰτία πάντων ὁ Πατήρ· διὰ τοῦτο οὖν, «ἐν ἀρχῇ ἦν», φησίν, «ὁ Λόγος», ἐπειδὴ ὁ Υἱὸς ἐν τῷ Πατρί ἐστι. Καλῶς οὖν εἶπεν, «ἐν ἀρχῇ ἦν ὁ Λόγος»· τὸ δὲ ἔσται σαφές ἐστι. Τοῦτο γὰρ δηλοῖ, ὅτι νῦν οὐκ ἔστιν, ἀλλ' ἔσται ποτέ, ὅπερ ἐπὶ Θεοῦ λέγειν ἀνόσιον καὶ ἀπρόσφορον.

Μᾶλλον δὲ οὔτε ἐστί: Προσυπακουστέον καὶ ταῦτα οἷς ἐπιλέγεται κυρίως τὸ 'ἐγένετο' καὶ τὰ σὺν αὐτῷ κείμενα· ἢ καὶ ἑτέρως νοητέον, ὡς ὑπὲρ πᾶσαν τοῦ εἶναι ἔννοιάν τε καὶ φαντασίαν ὑπάρχων. Διὰ δὲ τοῦ εἰπεῖν 'τὰ ὄντα' τὸ ὅλως αὐτὰ πρὸς ὕπαρξιν ἀχθῆναι δηλοῖ, τὸ δὲ 'καὶ αὐτὸ τὸ εἶναι τῶν ὄντων' προσθείς, τὴν διαμονὴν αὐτῶν ἐσήμανε.

§ 5. Καὶ ἔστιν αὐτὸ καθ' αὐτό: Ταῦτα οὐ δεῖ νομίζειν περὶ τοῦ τῶν ἀπάντων αἰτίου λέγεσθαι, ἀλλὰ περὶ τῶν ἐξ αὐτοῦ δημιουργικῶς ὑποστάντων νοητῶν τε καὶ νοερῶν καὶ αἰσθητῶν καὶ λοιπῶν· καθὰ γὰρ προειρήκαμεν, ὁ Θεὸς πρὸ τοῦ εἶναι καὶ γάρ ἐστι προών· τὸ δὲ εἶναι οἷον ἔμφασιν ἔχει τινὰ προϋπόντος αἰτίου. Προὼν μὲν οὖν λέγεται ὁ Θεός, καὶ λοιπὸν λέγεται καὶ ὤν, ὡς ἀπάντων αἴτιος· εἶτα τὸ εἶναι τὰ πάντα ἐξ αὐτοῦ. Τὸ οὖν εἶναι κατ' ἐπίνοιαν ἐκ μετοχῆς ὑπέστη τοῦ προεῖναι αὐτου, οὐχ ὡς μερισθέντος τοῦ Θεοῦ εἰς τὸ εἶναι καὶ προεῖναι, ἀλλὰ τὸ θέλημα αὐτοῦ τὸ παραγαγὸν εἰς τὸ εἶναι τὰ ὄντα, τοῦτο λέγεται εἶναι προϋποστὰν ἐν τῷ Θεῷ, καὶ τούτου τοῦ θείου θελήματος εἰς τὸ εἶναι κτίσιν προορισθέντος, εἰκότως πρὸ τῶν ἄλλων, ὧν μετέχει τὰ ὄντα τοῦ Θεοῦ, πρεσβυτέρα τις ἀρχὴ ἡ τοῦ εἶναι, ἐπινοεῖται αὐτὸς ὁ Θεός· πρῶτον γὰρ ἐστί τι, καὶ τότε ἐστὶ καὶ ζωὴ καὶ σοφία. Οἱ γοῦν ἀόρατοι καὶ ἀνώτατοι νόες

Λόγο, «ἐν ἀρχῇ ἦν ὁ Λόγος»[7]; Γιατὶ νά, ἐδῶ ὑπάρχει τὸ ἦν. Πολλὲς φορὲς λέμε ὅτι ἀρχὴ καὶ αἴτια ὅλων εἶναι ὁ Πατέρας. Γι' αὐτὸ λοιπὸν λέει «ἐν ἀρχῇ ἦν ὁ Λόγος», ἐπειδὴ ὁ Υἱὸς ὑπάρχει μέσα στὸν Πατέρα. Ἑπομένως σωστὰ εἶπε, «ἐν ἀρχῇ ἦν ὁ Λόγος». Ἐνῶ τὸ 'ἔσται' εἶναι σαφές. Αὐτὸ δηλώνει ὅτι τώρα δὲν εἶναι, ἀλλὰ κάποτε θὰ εἶναι, σκέψη ποὺ νὰ τὴν ἐκφράσομε γιὰ τὸν Θεὸ εἶναι ἀσεβὴς καὶ ἀνάρμοστη.

Μᾶλλον δὲ οὔτε ἐστί: Πρέπει νὰ λεχθοῦν κι αὐτὰ γιὰ τὰ ὁποῖα λέγεται κατὰ κυριολεξία τὸ 'ἐγένετο' καθὼς καὶ τὰ συμφραζόμενα. Ἢ νὰ ἐννοηθεῖ καὶ ἀλλιῶς, ἐπειδὴ ὑπάρχει πάνω ἀπὸ κάθε ἔννοια καὶ φαντασία. Λέγοντας τώρα 'τὰ ὄντα', δηλώνει τὸ ὅτι ὅλα γενικὰ ἦρθαν στὴν ὕπαρξη. Τὸ ὅτι πρόσθεσε 'καὶ αὐτὸ τὸ εἶναι τῶν ὄντων', δήλωσε τὴ διατήρησή τους.

§ 5. Καὶ ἔστιν αὐτὸ καθ' αὐτό: Δὲν πρέπει νὰ νομίζομε ὅτι αὐτὰ λέγονται γιὰ τὸν αἴτιο τῶν πάντων, ἀλλὰ γι' αὐτὰ ποὺ ἔλαβαν μὲ δημιουργία ἀπὸ αὐτὸν τὴν ὑπόστασή τους, νοητά, νοερά, αἰσθητὰ καὶ λοιπά. Γιατί, ὅπως εἴπαμε πιὸ πάνω, ὁ Θεὸς ὑπάρχει πρὶν ἀπὸ τὸ εἶναι, γιατὶ εἶναι προ–υπάρχων, ἐνῶ τὸ εἶναι ἔχει κάποια ἔνδειξη γιὰ αἴτιο ποὺ προϋπάρχει. Λέγεται λοιπὸν ὁ Θεὸς παροϋπάρχων (προών), καὶ τέλος λέγεται καὶ ὑπάρχων (ὤν), ἐπειδὴ εἶναι αἴτιος τῶν ὅλων, κι ἔπειτα τὸ ὅτι τὰ πάντα ἔχουν τὸ εἶναι ἀπὸ αὐτόν. Τὸ εἶναι λοιπὸν τοῦ δόθηκε ἀπὸ τὴ σκέψη, ὅτι προϋπῆρχε (προεῖναι), ὄχι ὅτι ὁ Θεὸς χωρίσθηκε στὸ εἶναι καὶ τὸ προεῖναι. Ἀλλὰ λέγεται ὅτι προϋπῆρξε μέσα στὸν Θεὸ τὸ θέλημά του ποὺ ἔφερε τὰ ὄντα στὸ εἶναι, κι ἐπειδὴ τοῦτο τὸ θεῖο θέλημα προορίσθηκε γιὰ νὰ ὑπάρξει ἡ κτίση, εὔλογα πρὶν ἀπὸ τὰ ἄλλα μὲ τὰ ὁποῖα τὰ ὄντα μετέχουν τὸ Θεό, ὡς μιὰ πρεσβύτερη ἀρχὴ τοῦ εἶναι ἐπινοεῖται ὁ ἴδιος ὁ Θεός· γιατὶ πρῶτα ὑπάρχει κάτι, καὶ τότε ὑπάρχει καὶ ζωὴ καὶ σοφία. Οἱ ἀόρατοι λοιπὸν καὶ ἀνώτατοι νόες πρῶτα ἔλαβαν μετοχὴ

7. Ἰω. 1,1.

πρῶτον τοῦ εἶναι μετέσχον, καὶ οὕτω ζωῆς καὶ σοφίας. Ὥσπερ γὰρ ἐφ' ἡμῶν πρώτη τις ὑπέστη ὕλη, ἀφ' ἧς ἐσμέν, οὕτω καὶ ἐπὶ τῶν ἀσωμάτων νοῶν, οἱονεὶ ὕλη, νοεῖται αὐτὸ τὸ ὂν ἑκάστου διὰ ζωῆς εἶδος, καὶ καθ' ὃ οὐσίωται εἰς ζωὴν καὶ σοφίαν καὶ ὁμοιότητα. Ὁμοιότητα δὲ καὶ ἄνω διεξήλθομεν καὶ ταὐτότητα, τὰς ἀναγωγοὺς ἐπὶ Θεὸν δυνάμεις, καθ' ἃς ὁμοιοῦνται αὐτῷ προσεχεῖς αὐτῷ οὖσαι, καὶ τούτων καθ' ὑπόβασιν μετέχουσι τὰ μετὰ ταῦτα πρῶτον καὶ αὐτὰ τοῦ εἶναι μετέχοντα. Ἀρχὰς δὲ τῶν ὄντων τὰς πρώτας ὑποστάσεις ἐν τῇ κτίσει οὐσίας νόησον, ἀρχὰς λεγομένας, οὐχ ὅτι ἐξ αὐτῶν τὰ ὄντα, ὡς ἀπὸ στοιχείων, ἀλλ' ὅτι, καθὰ εἴρηται, πρὸ τῶν μετ' αὐτὰς ἐδημιουργήθησαν· οἷον ἐπὶ μὲν τῶν νοητῶν ἀρχὴ κτίσεως θρόνοι, καὶ οὕτω τὰ ἑξῆς, ἐπὶ δὲ τῶν αἰσθητῶν ἀρχὴ κτίσεως οὐρανὸς καὶ γῆ· «ἐν ἀρχῇ γὰρ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»· τῶν γὰρ αἰσθητῶν πρωτόκτιστα ταῦτα. Εἶτα καὶ ἄλλως αἱ ἰδέαι καὶ τὰ παραδείγματα, ἅπερ εἰσὶ νοήσεις αὐτοτελεῖς ἀΐδιοι τοῦ ἀϊδίου Θεοῦ, καθὰ προέφημεν, ἐπινοοῦνται οἱονεὶ στοιχεῖα καὶ ἀρχαὶ καὶ ὕλη ἄϋλος καὶ ἀσώματος τῶν μετεχόντων καὶ αὐτῶν τῶν ἰδεῶν, οἷον τῶν παραχθεισῶν ἀσωμάτων τάξεων· ἡ γὰρ αὐτοζωὴ καὶ αὐτοσοφία καὶ αὐτόταξις καὶ τἄλλα τὰ ἐν Θεῷ παραδείγματά εἰσιν, ὧν μετέχουσιν αἱ δημιουργίαι, ὡς σημείου, ἤτοι κέντρου, αἱ κατ' εὐθεῖαν γραμμαὶ ἐπὶ τὸν κύκλον φερόμεναι.

Πάντων οὖν εἰκότως: Ἑαυτῷ ταύτην τὴν προσηγορίαν ἔθετο ὁ Θεός, εἰπών, «Ἐγώ εἰμι ὁ ὤν»· διὸ πρὸ τῶν ἄλλων, ὅσα περὶ αὐτοῦ λέγεται, οἷον ζωῆς καὶ σοφίας καὶ τῶν τοιοῦ-

στὸ εἶναι, κι ἔπειτα μετοχὴ στὴ ζωὴ καὶ τὴ σοφία. Ὅπως δηλαδὴ σ' ἐμᾶς πρώτη ἔλαβε ἡ ὕλη ὕπαρξη, ἀπο τὴν ὁποία προερχόμαστε, ἔτσι καὶ στοὺς ἀσώματους νόες ὡς εἶδος ὕλης νοεῖται τὸ ἴδιο τὸ εἶδος καθενὸς μέσα στὴ ζωή, σύμφωνα μὲ τὸ ὁποῖο ἔχει λάβει οὐσία γιὰ νὰ γίνει ζωή, σοφία καὶ ὁμοιότητα. Μιλήσαμε καὶ πιὸ πάνω γιὰ τὴν ὁμοιότητα καὶ τὴν ταυτότητα, τὶς δυνάμεις ποὺ ἀνυψώνουν στὸν Θεό, σύμφωνα μὲ τὶς ὁποῖες γίνονται ὅμοιες μ' αὐτόν, ἐπειδὴ εἶναι ἄμεσα πλησίον σ' αὐτόν, καὶ αὐτὲς κατεβαίνοντας πρὸς τὰ κάτω τὶς μετέχουν ὅσα ἀκολουθοῦν, ποὺ καὶ αὐτὰ μετέχουν πρῶτα τὴ ζωή. Ὡς ἀρχὲς τῶν ὄντων συλλογίσου τὶς πρῶτες οὐσίες ποὺ ἔλαβαν ὑπόσταση μέσα στὴν κτίση, καὶ λέγονται ἀρχὲς ὄχι γιατὶ προέρχονται τὰ ὄντα ἀπὸ αὐτὲς σὰν ἀπὸ στοιχεῖα, ἀλλὰ γιατί, ὅπως εἶπα, δημιουργήθηκαν πρὶν ἀπὸ τὰ ἔπειτ' ἀπὸ αὐτές. Γιὰ παράδειγμα, γιὰ τὰ νοητὰ ἀρχὴ τῆς δημιουργίας τους εἶναι οἱ θρόνοι καὶ ἔτσι καὶ τὰ ἀκόλουθα, ἐνῶ γιὰ τὰ αἰσθητὰ ἀρχὴ τῆς δημιουργίας τους εἶναι ὁ οὐρανὸς καὶ ἡ γῆ· γιατὶ «στὴν ἀρχὴ ὁ Θεὸς δημιούργησε τὸν οὐρανὸ καὶ τὴ γῆ»[8]. Αὐτὰ εἶναι τὰ πρῶτα ἀπὸ τὰ αἰσθητὰ ποὺ κτίστηκαν. Ἀλλὰ καὶ διαφορετικά· οἱ ἰδέες καὶ τὰ παραδείγματα, ποὺ εἶναι σκέψεις ἀίδιες τοῦ ἀίδιου Θεοῦ, ὅπως εἴπαμε, νοοῦνται ὡς στοιχεῖα καὶ ἀρχὴ καὶ ὕλη ἄυλη καὶ χωρὶς σῶμα ἐκείνων ποὺ μετέχουν τὶς ἴδιες τὶς ἰδέες, ὅπως εἶναι οἱ ἀσώματες τάξεις ποὺ δημιουργήθηκαν. Ἡ αὐτοζωὴ δηλαδὴ καὶ ἡ αὐτοσοφία καὶ ἡ αὐτοτάξη καὶ τὰ ἄλλα εἶναι μέσα στὸν Θεὸ παραδείγματα, ποὺ μετέχουν τὰ δημιουργήματα, ὅπως μετέχουν ἑνὸς σημείου, δηλαδὴ τοῦ κέντρου, οἱ εὐθεῖες γραμμὲς ποὺ φέρονται πρὸς τὴν περιφέρεια τοῦ κύκλου.

Πάντων οὖν εἰκότως: Ὁ ἴδιος ὁ Θεὸς ἔβαλε αὐτὴ τὴν ὀνομασία στὸν ἑαυτό του, λέγοντας, «Ἐγὼ εἶμαι ὁ ὤν»[9]. Γι' αὐτὸ πρὶν ἀπὸ ὅλες τὶς ἄλλες ὀνομασίες ὅσες λέγονται γι' αὐτόν, σο-

8. Γέν. 1,1.
9. Ἐξ. 3,14.

των, εἰκότως ἀναγορεύεται. Τῷ δὲ εἰπεῖν 'προεῖναι' καὶ 'ὑπερεῖναι', τὸ ἄναρχον καὶ πάντῃ ἀκατανόητον τοῦ εἶναι τὸν Θεὸν ὑφηγήσατο, ὅς καὶ τῷ προορισμῷ τῆς οἰκείας ἀρρήτου γνώσεως προϋπεστήσατο τὸ ὅλως εἶναι τὰ πάντα· τούτῳ γὰρ ἀθρόῳ κατὰ πρώτην προσβολὴν ἐπιβάλλει ὁ νοῦς τῷ εἶναι, εἴθ' οὕτω τὸ ὁπωσοῦν εἶναι αὐτὰ θεωρεῖ. Τὸ οὖν ἁπλῶς εἶναι, οὐ τὸ πῶς εἶναι ἐδήλωσεν, εἰπὼν καθ' αὑτὸ τὸ εἶναι, ὥσπερ ἑξῆς τὴν αὐτοζωήν, τὴν αὐτοομοιότητα, καὶ τὰ σὺν αὐτοῖς εἰπών, τὸ ὅλως εἶναι ζωήν, καὶ ἁπλῶς τὸ ζῆν, οὐχὶ δὲ τὴν τοιάνδε ζωὴν εἰσηγήσατο, καὶ τὰ ἄλλα δὲ ὁμοίως, τοῦτο πρῶτον κατηγοροῦνται τὸ εἶναι.

Καὶ εἰ βούλει τῶν ζώντων: Ὥσπερ λόγῳ τινὶ ἐπὶ τῶν ποιοτήτων οἱονεὶ προΰπεισιν αἱ αὐτοποιότητες· εἶτα συμβαίνουσαι ποιοῦσιν, οὕτω καὶ ταῦτα νόει, οἷον ἡ αὐτοσώματος λευκότης, ἐπιγενομένη σώματι, λευκαίνει τοῦτο· οὕτω καὶ τὰ εἰρημένα ὧδε νόησον ἀναλόγως, ὅτι προϋπὼν ὁ Θεός, ἤτοι ἡ ζωή, ζωοῖ πάντα τὰ αὐτοῦ μετέχοντα.

Τὰς αὐτομετοχάς: Μετοχάς φησιν, ὧν τὰ ὄντα μετέχουσιν, οἷον αὐτὸ τὸ εἶναι ἢ ζωή, ἢ σοφία, ἢ τάξις, καὶ τὰ λοιπά, αἵτινες μετοχαὶ θεῖαι τυγχάνουσι δωρεαί, ἃς καὶ ἀρχὰς τῶν ὄντων ἐκάλεσε.

§ 6. Καὶ ἔστιν ἐξ αὐτῆς καὶ ἐν αὐτῇ: Οὕτω νοητέον· ἡ αὐτοϋπεραγαθότης, νοῦς οὖσα, καὶ ὅλη ἐνέργεια, εἰς ἑαυτὴν ἐστραμμένη, ἐνεργείᾳ ἐστίν, οὐ δυνάμει, πρότερον οὖσα ἀφροσύνη, εἶτα νοῦς ἐνεργείᾳ γινομένη· ὅθεν καί ἐστι νοῦς μόνον καθαρός, οὐκ ἐπείσακτον ἔχων τὸ φρονεῖν, ἀλλὰ παρ' ἑαυτοῦ πάντως νοεῖ. Εἰ γὰρ ἡ μὲν οὐσία αὐτοῦ ἄλλη ἐστίν, ἃ δὲ νοεῖ ἕτερα αὐτοῦ, αὐτὸς ἀνόητος ἔσται, ἤγουν ἡ οὐσία αὐτοῦ· εἴ τι δὲ

φία δηλαδὴ καὶ ζωὴ καὶ τὰ παρόμοια, δικαιολογημένα ὀνομάζεται ἔτσι. Μὲ τὸ νὰ πεῖ ὅμως προ–εἶναι καὶ ὑπερ–εἶναι, δίδαξε τὸ ἄναρχο καὶ τελείως ἀκατανόητο τῆς ὕπαρξης τοῦ Θεοῦ, ὁ ὁποῖος καὶ στὸν προορισμὸ ἀκόμα τῆς ἄρρητης γνώσης του ἔβαλε θεμέλιο τὴ γενικὴ ὕπαρξη τῶν ὅλων. Γιατὶ αὐτὸ πρῶτα γενικὰ στὸ σύνολό του προσεγγίζει ὁ νοῦς μὲ μιὰ πρώτη προσέγγιση, κι ἔπειτα θεωρεῖ αὐτὰ στὴ συγκεκριμένη τους ὕπαρξη. Γιατὶ δήλωσε τὸ ἁπλό–γενικὸ εἶναι, κι ὄχι τὸ συγκεκριμένο εἶναι, λέγοντας (ὁ Διονύσιος) καθαυτὸ τὸ εἶναι, ὅπως στὴ συνέχεια ἡ αὐτοζωὴ (ἡ καθαυτὴ ζωή), ἡ αὐτοομοιότητα καὶ τὰ παρόμοια, καὶ εἰσηγήθηκε τὶς γενικὲς ὑπάρξεις τῆς ζωῆς, καὶ τὸ νὰ ζεῖ κάτι ἁπλῶς, κι ὄχι αὐτὴ τὴν συγκεκριμένη ζωή, καὶ ὅμοια καὶ τὰ ἄλλα. Αὐτὸ τὸ εἶναι εἶναι τὸ πρῶτο κατηγόρημα τῶν ὄντων.

Καὶ εἰ βούλει τῶν ζώντων: Ὅπως γιὰ κάποιο λόγο στὶς ποιότητες προϋπάρχουν οἱ ποιότητες καθαυτὲς (αὐτοποιότητες), κι ὅταν συμπέσουν δίνουν μιὰ ποιότητα, ἔτσι σκέψου καὶ γι' αὐτά· ἡ αὐτοσώματη δηλαδὴ καθαυτὴ λευκότητα ὅταν ἐπισυμβεῖ στὸ σῶμα, τὸ κάνει λευκό. Ἔτσι κατ' ἀναλογία σκέψου καὶ ὅσα εἴπαμε ἐδῶ· ὅτι, προϋπάρχοντας ὁ Θεός, δηλαδὴ ἡ ζωή, δίνει ζωὴ σὲ ὅλα ὅσα τὸν μετέχουν.

Τὰς αὐτομετοχάς: Μετοχὲς λέει αὐτὰ ποὺ μετέχουν τὰ ὄντα, ὅπως αὐτὸ τὸ εἶναι ἢ ἡ ζωὴ ἢ ἡ σοφία ἢ ἡ τάξη καὶ τὰ λοιπά. Οἱ μετοχὲς αὐτὲς εἶναι θεῖες δωρεές, ποὺ τὶς κάλεσε καὶ ἀρχὲς τῶν ὄντων.

§ 6. Καὶ ἔστιν ἐξ αὐτῆς καὶ ἐν αὐτῇ: Νὰ τὸ ἐννοήσομε ὡς ἑξῆς· ἡ αὐτοϋπεραγαθότητα (ἡ ὑπεραγαθότητα καθεαυτή), ἐπειδὴ εἶναι νοῦς καὶ ὅλη ἐνέργεια, στραμμένη στὸν ἑαυτό της, εἶναι ἐνεργείᾳ νοῦς, ὄχι δυνάμει· δὲν ἦταν δηλαδὴ πρῶτα ἀφροσύνη κι ἔπειτα ἔγινε νοῦς ἐνεργείᾳ. Γι' αὐτὸ καὶ εἶναι μόνο νοῦς καθαρός, ποὺ δὲν ἔχει τὴ νόηση ἀπ' ἔξω, ἀλλὰ νοεῖ ἀπὸ τὸν ἑαυτό του. Ἂν δηλαδὴ ἡ οὐσία του εἶναι ἄλλη κι αὐτὰ ποὺ νοεῖ εἶναι διαφορετικὰ ἀπὸ αὐτόν, θὰ ἦταν ὁ ἴδιος, δηλαδὴ ἡ οὐσία

ἔχει, παρ' ἑαυτοῦ ἔχει, οὐ παρ' ἄλλου· εἰ δὲ παρ' ἑαυτοῦ καὶ ἐξ αὐτοῦ νοεῖ, αὐτός ἐστιν ἃ νοεῖ. Οὐκοῦν νοῦς ὤν, ὄντως νοεῖ, τὰ ὄντα ὡς ὤν. Εἰ οὖν νοῶν ἑαυτὸν τὰ ὄντα νοεῖ, αὐτός ἐστι τὰ ὄντα· ἢ γὰρ ἑτέρωθι ὄντα αὐτὰ νοήσει, ἢ ἐν ἑαυτῷ, ὡς αὐτοῦ ὄντα· ἀλλαχοῦ μὲν ὄντα οὖν οὐ δυνατὸν νοῆσαι· ποῦ γὰρ ὄντα ἐν αἰσθητοῖς; τὰ γὰρ αἰσθητὰ οὔκ εἰσιν ὄντα, ἅτε τρεπτὰ ὄντα, καὶ γινόμενα, καὶ ἀπολλύμενα. Ἑαυτὸν οὖν ἄρα καὶ ἐν ἑαυτῷ νοεῖ. Ἐπειδὴ δὲ καὶ ποιητὴς τῶν ὄντων ἐστὶν ὁ Θεός, ἐν τῷ μήπω ὄντι νοήσει αὐτά, ἀλλ' αὐτὸς ἀρχέτυπός ἐστι τούτου τοῦ παντός· καὶ ἃ νοεῖ, οὐ τύπους λαμβάνων ἀφ' ἑτέρων, αὐτὸς ὢν τῶν ὄντων παράδειγμα· ὥστε οὔτε αὐτὸς ἐν τόπῳ, οὔτε τὰ ἐν αὐτῷ ὡς ἐν τόπῳ, ἀλλ' ἔχει αὐτὰ ὡς ἑαυτὸν ἔχων καὶ ἑνῶν αὐτοῖς, πάντων μὲν ὁμοῦ ὄντων, καὶ ἐν ἀμερεῖ ὄντων ἐν αὐτῷ, διακεκριμένων δέ, ἐν τῷ ἀμερεῖ ἀμερῶς. Αἱ τοίνυν νοήσεις αὐτοῦ εἰσι τὰ ὄντα, τὰ δὲ ὄντα εἰσὶ τὰ εἴδη. Νοήσεις δὲ οὐχ οὕτως ἀκουστέον, ὅτι, ἐπειδὴ τόδε ἐνόησεν, ἐγένετο τόδε, ἢ ἐστὶ τόδε· ταύτης γὰρ τῆς νοήσεως προηγεῖσθαι δεῖ νοούμενόν τι, ἵνα αὐτὸ νοήσας ποιήσῃ· ἀλλὰ νοεῖ τὰ ὄντα, ἅτε ἑαυτὸν νοῶν καὶ τοῖς ἑνοῦσι συναπτόμενος· αὐτὴ γὰρ αὐτῷ ἡ νόησις γένεσίς ἐστι τοῖς οὖσι. Τὸ οὖν ἑνὸν ἐν αὐτοῖς, τοῦτό ἐστι τὸ εἶδος, καὶ τοῦτό ἐστιν ἡ ἰδέα· αὐτὸς δέ, νοῦς ὢν ὅλος, ὅλος ἐστὶν ἐπιστήμη, τὰ δὲ ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ νόες ἐοικότες θεωρήμασι τῆς ἐπιστήμης. Εἰσὶ δὲ ὁμοῦ πολλαὶ ἐπιστῆμαι οὖσαι, ἀσύγχυτοι μένουσι, καὶ ἐνεργοῦσι ἔξω κατὰ μίαν, ὅταν δέῃ· καὶ πάσας ὁμοῦ τὰς δυνάμεις ἡ ψυχὴ ἐν ἑαυτῇ ἔχει, καθ' ἃς προνοεῖ τοῦ σώματος, καὶ ὅμως ἀσυγχύτως αὐτὰς κατὰ καιρὸν προβάλλει, τὴν μὲν φυσι-

του, δίχως νόηση. Ἂν ἔχει κάτι, τὸ ἔχει ἀπὸ τὸν ἑαυτό του ὄχι ἀπὸ ἄλλον. Κι ἂν νοεῖ ἀπὸ τὸν ἑαυτό του, εἶναι ὁ ἴδιος αὐτὰ ποὺ νοεῖ. Ἐπειδὴ λοιπὸν εἶναι νοῦς, νοεῖ πράγματι τὰ ὄντα ὡς ὑπάρχων (ὤν). Ἂν λοιπὸν νοώντας τὸν ἑαυτό του νοεῖ τὰ ὄντα, εἶναι αὐτὸς ὁ ἴδιος τὰ ὄντα· γιατὶ ἢ κάπου ἀλλοῦ θὰ νοήσει ὅτι αὐτὰ εἶναι, ἢ μέσα στὸν ἑαυτό του, ἐπειδὴ εἶναι δικά του. Κι ἂν λοιπὸν εἶναι κάπου ἀλλοῦ δὲν μπορεῖ νὰ τὰ νοήσει· ποῦ δηλαδὴ ἂν εἶναι; Στὰ αἰσθητά; Ἀλλὰ τὰ αἰσθητὰ δὲν εἶναι ὄντα, ἐπειδὴ μεταβάλλονται καὶ γίνονται καὶ καταστρέφονται. Νοεῖ ἑπομένως τὸν ἑαυτό του καὶ μέσα στὸν ἑαυτό του. Ἐπειδὴ ὅμως ὁ Θεὸς εἶναι καὶ ποιητὴς τῶν ὄντων, θὰ τὰ νοήσει καὶ μέσα σ' αὐτὸ ποὺ δὲν ὑπάρχει ἀκόμα. Ἀλλ' ὁ ἴδιος εἶναι τὸ πρότυπο αὐτοῦ τοῦ παντὸς καὶ ὅσα νοεῖ τὰ νοεῖ ὄχι παίρνοντας τύπους ἀπὸ ἄλλα, ἐπειδὴ εἶναι ὁ ἴδιος παράδειγμα τῶν ὄντων. Ὥστε οὔτε ὁ ἴδιος εἶναι σὲ τόπο, οὔτε ὅσα εἶναι μέσα του εἶναι σὰν σὲ τόπο, ἀλλὰ τὰ ἔχει σὰν νὰ ἔχει τὸν ἑαυτό του καὶ ὑπάρχοντας σ' αὐτά, ἐνῶ ὅλα εἶναι μαζὶ καὶ εἶναι ἀχώριστα μέσα του, διακρίνονται ὅμως ἀχώριστα μέσα στὸ ἀχώριστο. Οἱ σκέψεις του λοιπὸν εἶναι τὰ ὄντα καὶ τὰ ὄντα εἶναι τὰ εἴδη. Τὶς νοήσεις βέβαια δὲν πρέπει νὰ τὶς ἐννοήσεις ἔτσι· ὅτι, ἐπειδὴ σκέφθηκε τοῦτο, ἔγινε τοῦτο ἢ εἶναι τοῦτο. Γιατὶ ἀπὸ αὐτὴ τὴ σκέψη πρέπει νὰ προηγεῖται κάτι ποὺ νοεῖται, γιὰ νὰ τὸ νοήσει καὶ ἔπειτα νὰ τὸ πράξει. Ἀλλὰ νοεῖ τὰ ὄντα, ἐπειδὴ νοεῖ τὸν ἑαυτό του καὶ συνάπτεται μὲ ὅσα εἶναι μέσα του. Γιατὶ ἡ ἴδια ἡ νόησή του εἶναι γένεση τῶν ὄντων. Αὐτὸ λοιπὸν ποὺ ἐνυπάρχει σ' αὐτά, αὐτὸ εἶναι τὸ εἶδος, αὐτὸ εἶναι καὶ ἡ ἰδέα, κι αὐτός, ἀφοῦ εἶναι ὅλος νοῦς, εἶναι ὅλος ἐπιστήμη, κι ὅσα προέρχονται ἀπὸ αὐτὸν καὶ εἶναι μέσα σ' αὐτὸν εἶναι νοήματα ποὺ μοιάζουν μὲ γνωστικὰ θεωρήματα. Καὶ εἶναι μέσα σ' αὐτὸν μαζί, ἀλλὰ καὶ διακεκριμένα, ὅπως καὶ μέσα στὴν ψυχή, ἐνῶ ὑπάρχουν πολλὲς γνώσεις, μένουν ὡστόσο ἀσύγχυτες καὶ ἐνεργοῦν ἔξω μία–μία, ὅταν χρειάζεται. Ἡ ψυχὴ ἔχει μέσα της κι ὅλες μαζὶ τὶς δυνάμεις, μὲ τὶς ὁποῖες προνοεῖ γιὰ τὸ σῶμα, καὶ ὅμως τὶς ἐξωτερικεύει ἀσύγχυ-

κὴν ἐνεργοῦσα περὶ τὸ σῶμα δύναμιν, καθ' ἣν τρέφει τοῦτο καὶ αὔξει καὶ πρὸς γένναν ἐπιτήδειον ποιεῖ, τὴν δὲ αἰσθητικὴν ἐνεργεῖ δύναμιν περὶ φλέβας καὶ ἀρτηρίας καὶ τὴν σάρκα καὶ τὰ νεῦρα, καθ' ἣν δύναμιν τῶν αἰσθητῶν ἀντιλαμβανόμεθα· τὴν δὲ δοξαστικήν, καθ' ἣν κρίνει τὰ αἰσθητά· ἀναζωγραφικὴν δέ, καθ' ἣν ἀναπλάττει· καὶ μνημονευτικήν, καθ' ἣν μέμνηται· ὀρεκτικὴν δέ, καθ' ἣν ὀρέγεται καὶ κινεῖ τὸ ζῶν κατὰ τόπον· καὶ εἰκαστικήν, καὶ θυμοειδῆ, καὶ ἐπιθυμητικήν. Ταύτας γὰρ ἔχει δυνάμεις σώματι χρωμένη ἐν τῷ ἀλόγῳ αὐτῆς μέρει. Μετὰ δὲ θάνατον ὁ νοῦς μόνος ἔσται ἐνεργῶν, τούτων ἀργουσῶν.

Καὶ τὰ ὁπωσοῦν τῷ εἶναι: Ἐκ τῆς τοῦ Θεοῦ ὑπεραγαθότητός φησιν, ἥτις ἐστὶν αὐτὸ τὸ εἶναι αὐτοῦ τοῦ Θεοῦ, ἡ ὕπαρξις τῶν ὄντων καὶ ἡ τούτων διαμονή. Ἑνιαίως φησίν, ἤγουν κατὰ ἁπλῆν τινα καὶ περιεκτικὴν τῶν ὅλων αἰτίαν καὶ ἄσχετον· οὐδενὶ γὰρ λόγῳ ἢ νοήματι καὶ πράγματι ἔχει τὸ Θεῖον τὴν πρὸς τὰ ὄντα σχέσιν τε καὶ κοινωνίαν, ἀλλ' ἔστι πάντῃ καὶ κατὰ πάντα ὑπερηρμένον, μόνῳ τῷ συνέχειν καὶ προνοεῖσθαι τούτων ἐφαπτόμενον, ὡς ἂν τις εἴποι. Τὰ δὲ ἑξῆς ὑποδείγματα πιστωτικὰ τοῦ λόγου τοῦ εἶναι πάντα ἐκ Θεοῦ, ὡς αἰτίου τῆς τούτων ὑπάρξεως, ἄλλο παρὰ ταῦτα ὑπάρχοντος καὶ ἐν ἑαυτῷ συνεστάναι ἄλλῳ παρὰ ταῦτα ὑπάρχοντι.

Καὶ ἔχει πάντα ἀριθμόν: Ὁ γὰρ ἀριθμὸς ἐκ πολλῶν μονάδων συντιθεμένων εἰς μέγεθος παραύξει· ἡ οὖν μονάς, ὡς αἰτία ἀριθμῶν, ἑνοειδῶς τοὺς πάντας περιείληφεν ἀριθμούς· οὕτω καὶ τὸ κέντρον, ἤτοι σημεῖον, τὰς ἐπὶ τὸν κύκλον εὐθείας περιέχει.

Καὶ ἐν κέντρῳ: Ταῦτα βεβαιωτικὰ τοῦ λόγου ὑποδείγματα. Σημείωσαι, ὡς καὶ ἀπὸ τῶν γραμμικῶν τὰ περὶ Θεοῦ σαφηνίζει, κέντρῳ αὐτὸν περεικάζων.

τα στὸν καιρό τους· ἐνεργοποιεῖ δηλαδὴ τὴ φυσικὴ δύναμη τοῦ σώματος, μὲ τὴν ὁποία τὸ τρέφει καὶ τὸ αὐξάνει καὶ τὸ κάνει ἱκανὸ νὰ γεννᾶ· ἐπίσης ἐνεργοποιεῖ τὴν αἰσθητικὴ δύναμη στὶς φλέβες, τὶς ἀρτηρίες τῆς σάρκας καὶ τὰ νεῦρα, ποὺ εἶναι δύναμη μὲ τὴν ὁποία ἀντιλαμβανόμαστε τὰ αἰσθητά. Ἐνεργοποιεῖ καὶ τὴ δοξαστικὴ δύναμη μὲ τὴν ὁποία κρίνει τὰ αἰσθητά, καὶ τὴ φανταστικὴ μὲ τὴν ὁποία φαντάζεται τὰ αἰσθητά, καὶ τὴν ἀναζωγραφικὴ μὲ τὴν ὁποία ἀναπλάθει, καὶ τὴν ἀναμνηστικὴ μὲ τὴν ὁποία ἀναθυμᾶται, καὶ τὴν ὀρεκτικὴ δύναμη μὲ τὴν ὁποία ὀρέγεται καὶ ἡ ὁποία κινεῖ τὸ ζῶο σὲ τόπους, καὶ τέλος τὴν εἰκαστική, τὴ θυμοειδῆ καὶ τὴν ἐπιθυμητική. Αὐτὲς δηλαδὴ τὶς δυνάμεις ἔχει χρησιμοποιώντας τὸ σῶμα στὸ ἄλογο μέρος της. Μετὰ τὸ θάνατο ὅμως θὰ ἐνεργεῖ μόνο ὁ νοῦς, ἐνῶ αὐτὲς θὰ ἀδρανοῦν.

Καὶ τὰ ὁπωσοῦν τῷ εἶναι: Ἀπὸ τὴν ὑπεραγαθότητα, λέει, τοῦ Θεοῦ, ποὺ εἶναι τὸ ἴδιο τὸ εἶναι τοῦ Θεοῦ, ἐξαρτᾶται ἡ ὕπαρξη τῶν ὄντων καὶ ἡ παραμονή τους. Ἑνιαῖα λέει, δηλαδὴ σύμφωνα μὲ μιὰ ἁπλὴ αἰτία ποὺ περιέχει τὰ πάντα καὶ δὲν περιέχεται. Γιατὶ τὸ Θεῖο μὲ κανένα λόγο ἢ νόημα καὶ πράγμα δὲν ἔχει σύνδεσμο καὶ κοινωνία, ἀλλ' εἶναι τελείως καὶ σὲ ὅλα ὑπερυψωμένο, καὶ ἔρχεται σὲ ἐπαφὴ μ' αὐτά, ὅπως θὰ μποροῦσε νὰ πεῖ κάποιος, μόνο μὲ τὸ ὅτι τὰ συγκρατεῖ καὶ προνοεῖ γι' αὐτά. Τὰ παραδείγματα ποὺ ἀκολουθοῦν βεβαιώνουν τὸ λόγο, ὅτι τὰ πάντα προέρχονται ἀπὸ τὸν Θεό, ὡς αἴτιο τῆς ὕπαρξής τους, ποὺ εἶναι κάτι διαφορετικὸ ἀπὸ αὐτὰ καὶ ποὺ στὴ διαφορετική του ὕπαρξη ἀπὸ αὐτὰ ἔχει τὴν ὑπόστασή τους μέσα του.

Καὶ ἔχει πάντα ἀριθμό: Ὁ ἀριθμὸς μεγαλώνει μὲ τὴ σύνθεση πολλῶν μονάδων. Ἡ μονάδα λοιπόν, ὡς αἰτία τῶν ἀριθμῶν, περιλαμβάνει σὲ ἑνιαία περίληψη ὅλους τοὺς ἀριθμούς· ἔτσι καὶ τὸ κέντρο, ἤτοι τὸ σημεῖο, περιέχει ὅλες τὶς ἀκτίνες ποὺ καταλήγουν στὸν κύκλο.

Καὶ ἐν κέντρῳ: Αὐτὰ εἶναι παραδείγματα ποὺ βεβαιώνουν τὸ λόγο. Σημείωσε πῶς καὶ μὲ ὅ,τι λέει γιὰ τὴ γραμμὴ διασαφηνίζει τὰ σχετικὰ μὲ τὸν Θεό, παρομοιάζοντάς τον μὲ κέντρο.

Ἑνοειδῶς ἡνωμένας: Τὸ ἑνοειδῶς ἐνταῦθα τέθεικεν ἀντὶ τοῦ ἁπλῶς καὶ ὁμοίως· οὐ γὰρ ἑτεροίως.

Ἀλλὰ καὶ ἐν τῇ ὅλῃ τῶν ὅλων: Πρόδηλον ὅτι ἐν τῷ ὅλῳ τὰ μέρη· οὐκοῦν οἱ ἐν τοῖς καθ' ἕκαστον τῶν ὄντων φυσικῶς θεωρούμενοι τῶν ἐνυπαρχουσῶν αὐτοῖς δυνάμεων ἢ κινήσεων λόγοι ἐν τῇ καθόλου λαμβανομένῃ φύσει θεωροῦνται, φησίν· οἷον οἱ τῆς ἔξω φιλοσοφίας πάντα τὰ καθ' ἑαυτῶν ὑπάρχοντα καὶ ἐν ἄλλοις θεωρούμενα, ἃ ἔμψυχά τε καὶ ἄψυχά φαμεν· ταῦτα πάντα ὑπὸ μίαν κατηγορίαν ἤγαγον, εἰπόντες οὐσίαν· ἐν τῇ τοιαύτῃ φωνῇ περιλαμβάνονται καὶ τὰ τῆς καθ' ἕκαστον οὐσίας ἰδιώματα, καὶ οἱ λόγοι ἀσύγχυτοι μένοντες· ἕτερος γὰρ τῶν ἐμψύχων, καὶ ἄλλος τῶν ἀψύχων ὁ λόγος· ὡσαύτως καὶ τῶν αἰσθητικῶν, τουτέστι λογικῶν τε καὶ ἀλόγων, καίτοι κατὰ τὸν τῆς οὐσίας, ἤτοι τοῦ ἁπλῶς εἶναι, συνηνωμένοι λόγον. Τὸ δὲ ἐν ψυχῇ μονοειδῶς εἴρηκε, σημαίνων μίαν εἶναι τὴν ἐκ ψυχῆς ἐνδιδομένην ὅλῳ τῷ σώματι ζωτικὴν δύναμιν, ποικίλως ἐνεργοῦσαν ἐν τοῖς μέλεσιν.

§ 7. Ἀρχὴ γάρ ἐστι τῶν ὄντων: Εἰ αἴτιόν ἐστι τὸ δι' ὃ γίνεται τὸ γινόμενον, εἰκότως ἐν τῷ πάντων αἰτίῳ πάντα προϋφέστηκεν, ὡς ἐν ἰδέᾳ καὶ παραδείγματι, καθὰ προέφημεν ὁμοῦ καὶ ἑνοειδῶς, καὶ τὰ ἐναντία, ὡς ἐν τῷ Θεῷ εἴρηται ἐπιθεωρούμενα. Πῶς δὲ καὶ ἡνωμένως καὶ ἐναντία, οὕτω νοήσεις· τὸ κοσμηθὲν ἔχει τὸ εἶδος μεμερισμένον, ὡς ἐν τῷ κόσμῳ, ἀλλαχοῦ τὰ ἄστρα, καὶ ἀλλαχοῦ τὸν ἄνθρωπον· καὶ αὖθις ἄλλῃ τὸ πῦρ, καὶ ἄλλῃ τὸ ὕδωρ. Ἐναντία γὰρ ὄντα, ἐὰν ὁμοῦ γένωνται, συμφθείρονται· ἐν δὲ ταῖς νοήσεσι τοῦ Θεοῦ καὶ πάντα ὁμοῦ ἦσαν ὄντα καὶ ἀσυγχύτως, καὶ οὐκ ἐν τόπῳ· οὐ γὰρ σώματά εἰσιν, οὔτε ἐν σώματι, ἀλλ' ἐν ἀϊδίοις νοήσεσιν, αἵτινές

Ἑνοειδῶς ἡνωμένας: Ἔθεσε ἐδῶ τὸ ἑνοειδῶς (ἑνόμορφα, ἑνότροπα, μ' ἕνα τρόπο), ἀντὶ τοῦ ἁπλῶς καὶ ὁμοίως· ὄχι δηλαδὴ διαφορετικὰ (διαφοροτρόπως).

Ἀλλὰ καὶ ἐν τῇ ὅλῃ τῶν ὅλων: Εἶναι φανερὸ ὅτι τὰ μέρη περιέχονται στὸ ὅλο. Ἑπομένως οἱ λόγοι ποὺ νοοῦνται μὲ τὸ φυσικὸ τρόπο σὲ καθένα ἀπὸ τὰ ὄντα, λόγῳ τῶν δυνάμεων καὶ τῶν κινήσεων ποὺ ἐνυπάρχουν σ' αὐτά, λέει ὅτι θεωροῦνται μέσα στὴ φύση στὸ σύνολό της. Ἔτσι ἡ ἐξωτερικὴ φιλοσοφία, ὅλα ὅσα ὑπάρχουν καθεαυτὰ καὶ παρατηροῦνται σὲ ἄλλα, ποὺ τὰ λέμε ἔμψυχα καὶ ἄψυχα, ὅλα αὐτὰ τὰ κατέταξε σὲ μιὰ κατηγορία καὶ τὰ εἶπε οὐσία. Στὴ λέξη αὐτὴ περιλαμβάνονται καὶ τὰ ἰδιώματα καὶ οἱ λόγοι τῆς οὐσίας καθενὸς ποὺ παραμένουν ἀσύγχυτα. Γιατὶ ἄλλος εἶναι ὁ λόγος τῶν ἐμψύχων καὶ ἄλλος τῶν ἀψύχων. Τὸ ἴδιο καὶ τῶν αἰσθητικῶν, δηλαδὴ τῶν λογικῶν καὶ τῶν ἀλόγων, ἂν καὶ βέβαια σ' αὐτὰ ἔχουν ἑνωθεῖ κατὰ τὸν λόγο τῆς οὐσίας, δηλαδὴ τῆς ἁπλῆς ὕπαρξης. Μὲ τὴν μονοείδεια τῆς ψυχῆς ποὺ εἶπε δηλώνει ὅτι μία εἶναι ἡ ζωτικὴ δύναμη ποὺ μεταδίδεται ἀπὸ τὴν ψυχὴ σὲ ὅλο τὸ σῶμα καὶ ἐνεργεῖ μὲ ποικίλους τρόπους στὰ μέλη.

§ 7. Ἀρχὴ γάρ ἐστι τῶν ὄντων: Ἂν αἴτιο εἶναι αὐτὸ ποὺ ἐξαιτίας του γίνεται αὐτὸ ποὺ γίνεται, εἶναι φυσικὸ ὅτι προϋπῆρχαν τὰ πάντα μέσα στὸ αἴτιο τῶν πάντων, σὰν ὑπὸ μορφὴ ἰδέας καὶ παραδείγματος, ὅπως εἴπαμε πρίν, παρατηρούμενα ὅλα μαζὶ καὶ ἑνιαῖα καὶ τὰ ἀντίθετα, ὅπως εἴπαμε, μέσα στὸν Θεό. Τὸ πῶς τώρα ὑπάρχουν ἑνωμένα καὶ ἐνάντια, νὰ τὸ σκεφθεῖς ὡς ἑξῆς· Τὸ διακοσμημένο ἔχει τὴ μορφὴ διαχωρισμένη, ὅπως συμβαίνει μέσα στὴν τάξη τοῦ κόσμου, ποὺ ἀλλοῦ εἶναι τ' ἀστέρια καὶ ἀλλοῦ ὁ ἄνθρωπος, καὶ ὅπως ἐπίσης ἀλλοῦ εἶναι ἡ φωτιὰ καὶ ἀλλοῦ τὸ νερό. Γιατί, ἐπειδὴ εἶναι ἐνάντια, ἂν ἑνωθοῦν, ἀλληλοκαταστρέφονται. Μέσα στὶς σκέψεις ὅμως τοῦ Θεοῦ καὶ μαζὶ ἦταν ὅλα τὰ ὄντα καὶ ἀσύγχυτα καὶ ὄχι μέσα σὲ τόπο. Γιατὶ δὲν εἶναι σώματα οὔτε μέσα σὲ σῶμα, ἀλλὰ σὲ ἀΐδιες ἔννοιες, οἱ ὁποῖες εἶναι παραδείγματα. Γι' αὐτὸ καὶ ἀρχὴ

εἰσι παραδείγματα· ὅθεν καὶ πάντων ἀρχὴ ὁ Θεός· ἀρχὴ γάρ ἐστι πᾶν τὸ προϋφεστὼς τοῦ γινομένου, καὶ πρὸς τοῖς ἄλλοις, καὶ τάξις ἐστὶ τῶν ὡς τεταγμένων· τάξις δέ ἐστιν ἐργασία ὁμοιότητος πρὸς ἄλληλα πάντων τῶν ὄντων, καὶ συμμετρία γινομένη αἰτία κοινωνίας τῶν πρὸς ἄλληλα παντὸς τοῦ ὄντος, ἀλλὰ καὶ πᾶσα στάσις καὶ πᾶσα κίνησίς ἐστι τῶν ὄντων ὁ Θεός. Διαφόρως δὲ ταύτας νοητέον· καὶ ἐπὶ μὲν τῶν νοητῶν καὶ τῶν νοερῶν ἡ φύσις, ἀρχὴ οὖσα κινήσεως καὶ στάσεως, ἤτοι ἠρεμίας, ταὐτὸν γάρ ἐστι, ἐνέργειαν δηλοῖ· ἥ τε γὰρ κίνησις ἡ εἰς διακονίας θείας καὶ διδασκαλίας τῶν ὑποβεβηκότων ἐνέργειά ἐστι ζωτική, ἥ τε ἠρεμία καὶ στάσις αἰώνιος οὖσα καὶ ἄτρεπτος, τὰ οἰκεῖα ἐνεργεῖν δηλοῖ τοὺς νόας καὶ τῶν θείων ἐμφορεῖσθαι. Ἐπὶ δὲ τῶν αἰσθητῶν ἡ φύσις ἀρχὴ οὖσα κινήσεως καὶ στάσεως, ἤτοι ἠρεμίας, τὴν μὲν κίνησιν δηλοῖ εἰς τὸ εἶναι παραγωγήν, τὴν δὲ στάσιν, ἤτοι ἠρεμίαν, τὴν διὰ τῆς φθορᾶς τοῦ εἶναι ἢ παῦσιν ἢ μετεβολήν. Λέγεται δὲ ταῦτα εἶναι ὁ Θεός, ὡς αἴτιος αὐτὸς ὑπάρχων ὑπερουσίως. Κίνησις δὲ ἐπὶ Θεοῦ ἡ εἰς τὰ ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ ἐν ἀγαθότητι προνοητικὴ πρόοδος, στάσις δὲ τὸ ἀεὶ ὡσαύτως ἔχειν καὶ ἀνεκφοιτήτως ἑαυτοῦ τὴν ἀνεπίγνωστον ἠρεμίαν καὶ ἀτρεμῆ ἀοχλησίαν κεκτῆσθαι. Σημειωτέον δέ, ὅτι τὰς νοητὰς δυνάμεις αἰωνίας ἐκάλεσεν, ὡς αἰῶνος μετεχούσας, ἡ δὲ τοῦτο λέγουσα Γραφή ἐστι· «τὰ γὰρ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια». Τὰ δ' ἐν ἑτέροις ὑπάρχοντά εἰσιν, οἷον ἁγιασμός, ἀθανασία, εὐζωία· ταῦτα γὰρ ἐν νοηταῖς καὶ νοεραῖς οὐσίαις τοιαῦτά εἰσι, κατ' ἐπίνοιαν δὲ λέγονται ἐν τοῖς νοητοῖς καὶ ἡμῖν, ὡς θεοὶ καὶ κύριοι καὶ δυνατοὶ ἰσχύϊ ἄγγελοι κατὰ μέθεξιν καὶ ἄνθρωποι.

τῶν πάντων εἶναι ὁ Θεός· γιατὶ ἀρχὴ εἶναι κάθε τι ποὺ ὑπάρχει πρὶν ἀπὸ αὐτὸ ποὺ ἔγινε, καὶ μαζὶ μ' αὐτὸ εἶναι καὶ τάξη ἐκείνων ποὺ εἶναι κατὰ κάποιο τρόπο τακτοποιημένα. Καὶ τάξη εἶναι, ἐπίτευξη ὁμοιότητας μεταξύ τους ὅλων τῶν ὄντων καὶ συμμετρία ποὺ γίνεται αἰτία κοινωνίας ὅλων τῶν ἐπὶ μέρους ὅλου τοῦ ὄντος· ἀλλὰ ὁ Θεὸς εἶναι καὶ κάθε στάση καὶ κάθε κίνηση τῶν ὄντων. Βέβαια αὐτὲς πρέπει νὰ τὶς ἐννοήσομε διαφορετικά. Στὰ νοητὰ δηλαδὴ καὶ νοερὰ ἡ φύση, ἐπειδὴ εἶναι ἀρχὴ κινήσης καὶ στάσης, ἤτοι ἠρεμίας, ποὺ εἶναι τὸ ἴδιο, γιατὶ δηλώνει ἐνέργεια· γιατὶ καὶ ἡ κίνηση τῶν κατωτέρων γιὰ θεῖες διακονίες καὶ διδασκαλίες εἶναι ἐνέργεια ζωτική, καὶ ἡ ἠρεμία καὶ ἡ στάση, ποὺ εἶναι αἰώνια καὶ ἀμετάτρεπτη, δηλώνει τοὺς νόες ποὺ ἐκτελοῦν τὴ λειτουργία τους καὶ εἶναι ἐμφορημένοι ἀπὸ τὰ θεῖα. Στὰ αἰσθητὰ ὅμως ἡ φύση, ἐπειδὴ εἶναι ἀρχὴ τῆς κίνησης καὶ τῆς στάσης, δηλαδὴ τῆς ἠρεμίας, δηλώνει ὅτι ἡ κίνηση εἶναι 'πρόοδος στὸ εἶναι', ἐνῶ ἡ στάση, δηλαδὴ ἡ ἠρεμία, δηλώνει ἢ παύση ἢ μεταβολὴ μέσω τῆς φθορᾶς τοῦ εἶναι. Καὶ λέγεται ὅτι αὐτὰ εἶναι ὁ Θεός, ἐπειδὴ αὐτὸς εἶναι αἴτιος μὲ τρόπο ὑπερούσιο. Κίνηση λοιπὸν σχετικὰ μὲ τὸν Θεὸ εἶναι ἡ πρόοδος τῆς πρόνοιάς του ἀπὸ ἀγαθότητα μέσω τοῦ ἴδιου σὲ ὅσα δημιούργησε, ἐνῶ στάση εἶναι τὸ νὰ εἶναι πάντοτε ὁ ἴδιος καὶ νὰ ἔχει ἀποκτήσει μόνιμη στὸν ἑαυτό του τὴν ἀνεπίγνωστη ἠρεμία καὶ τὴν ἀδιατάρακτη γαλήνη. Νὰ σημειωθεῖ, ὅτι κάλεσε αἰώνιες τὶς νοητὲς δυνάμεις, ἐπειδὴ μετέχουν τὸν αἰώνα. Ὁ λόγος τῆς Γραφῆς ποὺ τὸ λέει εἶναι· «ὅσα βλέπομε εἶναι πρόσκαιρα, ὅσα δὲν βλέπομε αἰώνια»[10]. Ὅσα ὅμως ὑπάρχουν σὲ ἄλλους εἶναι ἁγιασμοί, ἀθανασίες, εὐζωία· αὐτὰ δηλαδὴ ὑπάρχουν στὶς νοητὲς καὶ νοερὲς οὐσίες. Τέτοια εἶναι αὐτὰ σὲ νοητὲς καὶ νοερὲς οὐσίες καὶ λέμε μὲ τὴ λογικὴ ὅτι ὑπάρχουν στὰ νοητὰ καὶ σ' ἐμᾶς, ἐπειδὴ εἴμαστε θεοὶ καὶ κύριοι καὶ δυνατοὶ καὶ ἰσχυροί, ἄγγελοι κατὰ μέθεξη καὶ ταυτόχρονα ἄνθρωποι.

---

10. Β' Κορ. 4,18.

Πᾶς ὅρος καὶ τὰ ἄλλα: Ὅσα τῷ εἶναι ὄντα εἰσί, ταῦτά φησιν ἐν ἑτέροις θεωρούμενα ὑπάρχειν, καὶ οὐ καθ' ἑαυτά· αἱ γὰρ οὐσίαι (ταῦτα γὰρ ἐκάλεσεν ὄντα), τῶν καθ' ἑαυτά εἰσι, ἅστινας χαρακτηρίζουσιν ἀθανασία, σοφία, τάξις, ἁρμονία, καὶ τὰ σὺν αὐτοῖς, ἅπερ ἐν ἑτέροις ὑπάρχειν λέγονται· ὥσπερ καὶ τὰ κατ' αἴσθησιν περὶ τὰ σώματα ὁρώμενα, οἷον χρῶμα, σχῆμα, πηλικότης, καὶ τὰ ὅμοια, ἅπερ σωμάτων ἐκτὸς συνίστασθαι ἀδύνατον. Διεῖλε δὲ αὐτὰ ὁ πατὴρ τῶν κατ' ἐπίνοιαν· ταῦτα δὲ εἶναί φαμεν τὰ τῇ νοήσει καταλαμβανόμενα, οἷον νόημα, λόγον, αἴσθησιν, καὶ τὰ τοιαῦτα, ἅτινα τῇ ἐπινοίᾳ μόνῃ οἱονεὶ τῇ ἐπενθυμήσει γνωρίζομεν, ἢ καὶ κατ' ἐπίνοιαν λέγει τὰ νοητά, καὶ αἰσθήσει ὑποπίπτοντα μηδαμῶς.

§ 8. Αἱ νοηταὶ καὶ νοεραί: Σημείωσαι δέ, ὅτι τὸ 'νοηταὶ' ὡς πρὸς ἡμᾶς, τὸ δὲ 'νοεραὶ' ὡς πρὸς τὸν Θεὸν νοεῖται.

Καὶ τὸ εἶναι: Καὶ τὸ θεοειδῶς εἶναι.

Καὶ τὰ ἄλλα πάντα: Ὅτι αὐτὸς αἴτιος τοῦ εἶναι τὰ πάντα, καὶ πρὸ τοῦ εἶναι, ἅτε καὶ ἰδέα, ἤτοι παράδειγμα, ὢν τοῦ εἶναι, ὡς ἐντεῦθεν δηλοῦται· τὸ γὰρ αὐτὸ εἶναι, οὐκ αὐτό ἐστιν ὁ Θεός, διὰ τὸ εἶναι τὸν Θεόν, ἀλλὰ διὰ τὸν Θεόν, καὶ τὸ εἶναί ἐστι καὶ λέγεται· διὸ ἐν τῷ Θεῷ ἐστι τὸ εἶναι ὡς ἰδέα, οὐ μὴν ὁ Θεὸς ἐν τῷ εἶναί ἐστι· πρὸ γὰρ τοῦ εἶναι ἦν· ὅμως διὰ τὸ πάντων αἴτιος εἶναι, καὶ παραγωγεὺς δείκνυται, καὶ ἔξω πάντων ἐστίν, ὡς αἴτιος πάντων, καὶ τοῖς τῶν πάντων γνωρίσμασι προσαγορεύεται, ὡς τὰ πάντα παραγαγών.

Καὶ αὐτοῦ ἐστι τὸ εἶναι: Αὐτοῦ μέν, ὡς ἐξ αὐτοῦ ἐστι τὸ εἶναι, ἐν αὐτῷ δέ, τῷ συντηρεῖσθαι παρ' αὐτοῦ· οὐκ αὐτὸς δὲ τοῦ εἶναι, οὐδὲ ἐν τῷ εἶναι συνεχόμενος· ὑπὲρ γὰρ τὸ εἶναι ὁ ὑπερούσιος.

Πᾶς ὅρος καὶ τὰ ἄλλα: Ὅσα εἶναι ὄντα μὲ τὸ ἁπλὸ εἶναι, αὐτὰ λέει ὅτι ὑπάρχουν νοούμενα μέσα σὲ ἄλλα καὶ ὄχι καθ' ἑαυτά. Γιατὶ οἱ οὐσίες (αὐτὰ κάλεσε ὄντα) εἶναι ἀπὸ τὰ καθ' ἑαυτά, ποὺ τὶς χαρακτηρίζουν ὡς ἀθανασία, σοφία, τάξη, ἁρμονία, καὶ τὰ σχετικά τους, ποὺ λέγεται ὅτι ὑπάρχουν σὲ ἄλλα, ὅπως καὶ ὅσα βλέπομε μὲ τὴν αἴσθηση γύρω ἀπὸ τὰ σώματα, γιὰ παράδειγμα τὸ χρῶμα, τὸ σχῆμα, τὸ μέγεθος, καὶ τὰ ὅμοια, ποὺ εἶναι ἀδύνατη ἡ σύστασή τους ἔξω ἀπὸ τὰ σώματα. Αὐτὰ τὰ διαχώρισε ὁ πατέρας αὐτὸς ἀπὸ τὰ θεωρητικά, ποὺ εἶναι ὅσα συλλαμβάνομε μὲ τὴ νόησή μας, ὅπως εἶναι τὸ νόημα, ὁ λόγος, ἡ αἴσθηση, καὶ τὰ παρόμοια, ποὺ τὰ γνωρίζομε μόνο μὲ τὴ σκέψη, σὰ νὰ λέμε μὲ τὴ μνήμη, ἢ λέει ὅτι ὑπάρχουν τὰ νοητὰ μόνο στὴ σκέψη, καὶ δὲν ὑποπίπτουν μὲ κανένα τρόπο στὴν αἴσθηση.

§ 8. Αἱ νοηταὶ καὶ νοεραί: Σημείωσε, ὅτι τὸ 'νοηταὶ' λέγεται σὲ σχέση μ' ἐμᾶς, ἐνῶ τὸ 'νοεραὶ' νοεῖται σὲ σχέση μὲ τὸν Θεό.

Καὶ τὸ εἶναι: Ἔχουν δηλαδὴ καὶ τὴ θεόμορφη ὕπαρξη.

Καὶ τὰ ἄλλα πάντα: Αὐτὸς εἶναι ὁ αἴτιος τῆς ὕπαρξης τῶν πάντων καὶ πρὶν ἀπὸ τὴν ὕπαρξή τους, ἐπειδὴ εἶναι ἰδέα, δηλαδὴ ἐπειδὴ εἶναι παράδειγμα τοῦ εἶναι, ὅπως δηλώνεται ἐδῶ. Γιατὶ τὸ ἴδιο τὸ εἶναι δὲν εἶναι αὐτὸ τὸ ἴδιο ὁ Θεός, ἐπειδὴ ὁ Θεὸς ὑπάρχει, ἀλλὰ γιὰ τὸν Θεὸ καὶ ὑπάρχει καὶ λέγαται τὸ εἶναι. Γι' αὐτὸ τὸ εἶναι ὑπάρχει μέσα στὸν Θεὸ ὡς ἰδέα, ὄχι ὅμως ὁ Θεὸς μέσα στὸ εἶναι. Γιατὶ ὑπῆρχε πρὶν ἀπὸ τὸ εἶναι. Ἐπειδὴ ὅμως εἶναι αἴτιος τῶν πάντων, ἀναδεικνύεται καὶ παραγωγός, καὶ εἶναι ἔξω ἀπὸ ὅλα, ὡς αἴτιος ὅλων, καὶ δέχεται ὡς προσωνυμίες του τὰ γνωρίσματα ὅλων, ἐπειδὴ ἔχει δημιουργήσει τὰ πάντα.

Καὶ αὐτοῦ ἔστι τὸ εἶναι: Τοῦ Θεοῦ εἶναι τὸ εἶναι, ἐπειδὴ προέρχεται ἀπὸ αὐτόν, καὶ εἶναι μέσα σ' αὐτὸν μὲ τὸ νὰ συντηρεῖται ἀπὸ αὐτόν. Δὲν εἶναι αὐτὸς τοῦ εἶναι, οὔτε περιέχεται μέσα στὸ εἶναι· γιατὶ ὁ ὑπερούσιος εἶναι πάνω ἀπὸ τὸ εἶναι.

Καὶ οὐκ αὐτὸς ἐν τῷ εἶναι: Προσυπακουστέον ἐν ἀμφοτέροις τὸ αἴτιον, τουτέστι τὸ εἶναι αὐτὸν ἔχει αἴτιον, καὶ οὐχὶ αὐτὸς ὡς ἐκ προηγουμένης αἰτίας ἔχει τὸ εἶναι.

Κατὰ πᾶσαν τῶν ὄντων ἐπίνοιαν: Ἡ τῶν ὄντων θεωρία, ἣν ἐνταῦθα ἐπίνοιαν ἐκάλεσε, πολλή τις οὖσα καὶ ποικίλη πάσῃ ἐπιβολῇ τοῦ νοῦ, προϋπαντῶσαν εὑρίσκει τοῦ αἰτίου τὴν ἔννοιαν, ἤγουν τοῦ δημιουργοῦ· τὸ οὖν πολλαπλασιάζεσθαι δηλοῖ, τὸ ἐν τοῖς πολλοῖς τὸν αὐτὸν αἴτιον θεωρεῖσθαι.

Καὶ τὸ ἐστὶ καὶ τὸ ἔσται: Ἅπερ ἐν τῷ πρὸ αὐτοῦ ἀπέφησε, νῦν ἐπειπὼν τῷ Θεῷ ἀναγκαίως ἑαυτὸν ἑρμηνεύων κατὰ τὴν τοῦ αἰτίου ἔννοιαν ταῦτα νοεῖν ὑποβάλλει. Τὸ μὲν οὖν ἐγένετο καὶ γίνεται καὶ γενήσεται ἐπὶ μὲν τῶν κτισμάτων κυρίως κατηγορεῖται· τὰ μὲν γὰρ ἅπαξ ἐγένετο, οἷον οὐρανός, ἄγγελοι, ἥλιος καὶ τὰ τοιαῦτα, ἐφ' ὧν χώραν οὐκ ἔχει τὸ γίνεται, γενήσεται, τὸ δὲ παρὰ τοῦ Δαυὶδ λεχθέν, «ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα», ἢ κατὰ τὸ συντηρεῖσθαι ληπτέον, καθὰ εἴρηται, «ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται», ἢ κατὰ τὴν συνήθειαν τῆς Γραφῆς, ἐνηλλαγμένως τὴν σημασίαν τὴν χρονικὴν πολλάκις προαγούσης, καὶ ἀντὶ παρῳχηκότος μέλλοντι κεχρημένης, καὶ τὸ ἔμπαλιν. Ἐπὶ τούτων μὲν οὖν κυρίως τὸ ἐγένετο· γίνεται δὲ καὶ τὰ ἐν γενέσει καὶ φθορᾷ πάντα καὶ ὅσα κατὰ ἀντιπεριχώρησιν, οἷον ἡ νύξ, ἡ ἡμέρα, θέρος, καὶ ἔαρ, καὶ τὰ τοιαῦτα, γενήσεται δὲ μόνον, ἅτινα οὔπω γεγόνασιν ὅλως, προσδοκῶνται δέ, οἷον ἡ τοῦ παντὸς μεταστοιχείωσις καὶ τὰ σὺν αὐτῇ. Ὡς τούτων οὖν ἁπάντων αἴτιος ὁ Θεὸς ὑμνεῖται· οὐ γὰρ εἶπε, 'ταῦτα ἐπ' αὐτοῦ κατηγορεῖται', ἀλλὰ «κυρίως ὑμνεῖται». Τὸ δὲ ἦν καὶ τὰ σὺν αὐτῷ κατὰ πᾶσαν ἐπίνοιαν οὐκ ἄλλῳ τινὶ ἢ τῷ Θεῷ ἁρμόσει, διὰ τὸ

Καὶ οὐκ αὐτὸς ἐν τῷ εἶναι: Ἐξυπακούεται καὶ στὰ δύο τὸ αἴτιο· δηλαδὴ τὸ εἶναι ἔχει ὡς αἴτιό του αὐτὸν καὶ ὄχι αὐτὸς τὸ εἶναι, σὰ νὰ ἔχει τὸ εἶναι του ἀπὸ προηγούμενη αἰτία.

Κατὰ πᾶσαν τῶν ὄντων ἐπίνοιαν: Ἡ θεωρία τῶν ὄντων, ποὺ ἐδῶ τὴν εἶπε ἐπίνοια, ἐπειδὴ εἶναι πολλὴ καὶ διάφορη σὲ κάθε ἔφοδο τοῦ νοῦ, βρίσκει τὴν ἔννοια τοῦ αἰτίου νὰ τὸν προσυναντᾶ, δηλαδὴ τὸν δημιουργό. Τὸ 'πολλαπλασιάζεσθαι' σημαίνει τὸ νὰ παρατηρεῖται ὁ ἴδιος ὡς αἴτιο μέσα στὰ πολλά.

Καὶ τὸ 'ἐστὶ' καὶ τὸ 'ἔσται': Αὐτὰ ποὺ ἀρνήθηκε προηγουμένως, τώρα, ἀποδίδοντάς τα στὸν Θεὸ καὶ ἑρμηνεύοντας ἀναγκαστικὰ τὸν ἑαυτό του, μᾶς ὑποβάλλει νὰ τὰ σκεφθοῦμε μὲ τὴν ἔννοια τοῦ αἰτίου. Τὸ 'ἔγινε' λοιπὸν 'καὶ γίνεται' καὶ 'θὰ γίνει' ἀποδίδεται κυρίως στὰ κτίσματα, γιατὶ ἄλλα ἔγιναν μιὰ φορά, ὅπως ὁ οὐρανός, οἱ ἄγγελοι, ὁ ἥλιος καὶ τὰ ὅμοια, πάνω στὰ ὁποῖα δὲν ἔχει θέση τὸ 'γίνεται' καὶ τὸ 'θὰ γίνει'. Ὁ λόγος τώρα τοῦ Δαβίδ, «Αὐτὸς ποὺ κάνει τοὺς ἀγγέλους πνεύματα»[11], ἢ πρέπει νὰ ἐννοηθεῖ μὲ τὴν ἔννοια τοῦ 'συντηροῦνται', σύμφωνα μὲ αὐτὸ ποὺ εἰπώθηκε, «ὁ Πατέρας μου ἐργάζεται ὣς τώρα»[12], ἢ νὰ τὸ ἐννοήσομε σύμφωνα μὲ τὴ συνήθεια τῆς Γραφῆς ποὺ συχνὰ κατ' ἐναλλαγὴ προβάλλει τὴ χρονικὴ σημασία καὶ ἀντὶ παρωχημένο χρόνο χρησιμοποιεῖ μέλλοντα καὶ τὸ ἀντίθετο. Σ' αὐτὰ λοιπὸν κυρίως ἁρμόζει τὸ 'ἔγιναν', ἐνῶ γίνονται ὅλα ὅσα ὑπάρχουν μέσα στὴ γένεση καὶ τὴ φθορὰ καὶ ὅσα ἐναλλάσσονται, ὅπως ἡ νύχτα, ἡ ἡμέρα, τὸ θέρος, ἡ ἄνοιξη, καὶ τὰ ὅμοια, καὶ θὰ γίνουν μόνο ὅσα δὲν ἔχουν γίνει ἀκόμα καθόλου, ἀλλὰ τὰ περιμένομε, ὅπως ἡ μεταστοιχείωση τοῦ παντὸς καὶ ὅσα τὴ συνοδεύουν. Ὡς αἴτιος λοιπὸν ὅλων αὐτῶν ὑμνεῖται ὁ Θεός. Γιατὶ δὲν εἶπε (ὁ Διονύσιος) ὅτι αὐτὰ ἀποδίδονται σ' αὐτόν, ἀλλὰ 'κυρίως ὑμνεῖται'. Τὸ 'ἦταν' πάλι καὶ ὅσα τὸ συνοδεύουν, ὅπως καὶ νὰ τὸ σκεφθοῦμε θὰ ἁρμόσει στὸν Θεὸ καὶ σὲ

11. Ψαλμ. 103,4.
12. Ἰω. 5,17.

πάσης ἀρχῆς ἀνώτερον ἐπ' αὐτοῦ θεωρεῖσθαι τὸ ἦν. Τὸ δὲ 'ἔστι' καὶ τὸ 'ἔσται' ὡς πάντῃ τὸ ἀναλλοίωτον καὶ κατὰ πάντα ἀμετάβλητον ἔχοντος· διὸ καὶ ὑπερούσιος λέγεται. Διὸ καὶ πάντα αὐτοῦ καὶ ἅμα κατηγορεῖται. Κατὰ τὴν τοῦ αἰτίου ἔννοιαν πάντα αὐτοῦ φησι τοῦ Θεοῦ λέγεσθαι, ἢ ἐπ' αὐτοῦ νοεῖσθαι. Τὸ γὰρ κατηγορεῖσθαι κατὰ φιλοσόφους τοῦτο δηλοῖ. Αὐτὸς δὲ οὐδὲν τῶν πάντων ἐστίν, ὧν ἐστιν αἴτιος, διὰ τὸ εἶναι καὶ ὑπερεῖναι· διὸ καὶ αἱ ἀποφάσεις τοῦτο δηλοῦσιν, οἷον τὸ ἄμορφος, τὸ ἀκαλλής, καὶ τὰ ὅμοια· τὸ δὲ πάνσχημος καὶ πανείδεος τὸ παντὸς εἴδους καὶ σχήματος αἴτιον αὐτὸν ὑπάρχειν δηλοῖ. Καθὸ καὶ τὰ ἑξῆς νοητέον.

Εἰς τὸ αὐτό. Πῶς ἀνωτέρω εἰπών, οὔτε ἦν, οὔτε ἐστίν, οὔτε ἐγένετο, οὔτε γίνεται, οὔτε γενήσεται, ἐνταῦθά φησιν, ἐπ' αὐτοῦ καὶ τὸ ἐστί, καὶ τὸ ἔσται, καὶ τὸ ἐγένετο, καὶ τὸ γίνεται, καὶ γενήσεται κυρίως ὑμνεῖται; ἆρα ἐναντίως ἑαυτῷ λέγει ὁ ἅγιος Διονύσιος; Μὴ γένοιτο. Ἄνω μὲν γὰρ αὐτὸν δημιουργὸν εἶπε πάσης ὑπάρξεως, ὑποστάσεως, οὐσίας, φύσεως καὶ τοῦ χρόνου· εἰκότως οὖν ἐπὶ αὐτοῦ τὸ 'ἦν' ἔταξε καὶ τὰ ἕτερα, ἵνα νοήσῃς, ὅτι οὔτε ἀπὸ χρόνου, οὔτε ἐν χρόνῳ, οὔτε μετὰ χρόνον ἤρξατο ὁ Θεός, ἀλλ' ὅτι καὶ αὐτοῦ τοῦ εἶναι ἀνώτερός ἐστι. Ἐν αὐτῷ, γὰρ εἶπε, τὸ εἶναι· ἐνταῦθα δέ, ἐπειδὴ κατὰ πᾶσαν ἐπίνοιαν εἶπεν αὐτὸν πολλαπλασιάζεσθαι, δικαίως εἶπεν, ἐπ' αὐτοῦ καὶ τὸ ἦν, καὶ τὸ ἔσται, καὶ τὰ ἑξῆς, ἵνα, οἷον καιρὸν ἢ χρόνον ἐπινοήσῃς, ἐκεῖ τὸν Θεὸν εὑρήσεις, καὶ ὑπὲρ τὰ ὄντα καὶ προόντα, καὶ αὐτῶν καὶ τῶν ὄντων αἴτιον καὶ δημιουργόν, καὶ οὐδὲν ἐξ αὐτῶν ὄντα, ὥσπερ λέγομεν, ὅτι οὐδὲν τῶν ὄντων ἐστί, καὶ ἐν τοῖς πᾶσίν ἐστιν.

Καὶ οὐδέν ἐστι τῶν πάντων: Πρὸς τὸ 'πάνσχημος' τὸ

κανένα ἄλλον, ἐπειδὴ τὸ 'ἦταν' νοεῖται σχετικὰ μ' αὐτὸν ἀνώτερο ἀπὸ κάθε ἀρχή. Τὸ 'εἶναι' καὶ τὸ 'θὰ εἶναι' ἁρμόζουν σ' αὐτὸν ἐπειδὴ ἔχει τὸ τελείως ἀναλλοίωτο καὶ ἀμετάβλητο, καὶ γι' αὐτὸ λέγεται καὶ ὑπερούσιος. Γιὰ τὸ λόγο αὐτὸν καὶ ὅλα, καὶ ταυτόχρονα ἀποδίδονται σ' αὐτὸν ὡς κατηγορούμενα. Σύμφωνα μὲ τὴν ἔννοια τοῦ αἰτίου λέει ὅτι ὅλα τὰ κατηγορούμενα ἀποδίδονται σ' αὐτὸν ἢ νοοοῦνται σχετικὰ μ' αὐτόν. Γιατὶ αὐτὸ σημαίνει σύμφωνα μὲ τοὺς φιλοσόφους τὸ 'δέχεται κάτι ἕνα κατηγορούμενο'. Αὐτὸς ὅμως δὲν εἶναι κανένα ἀπὸ ὅλα ἐκεῖνα ποὺ εἶναι αἴτιός τους ἐξαιτίας τοῦ ὅτι εἶναι καὶ ὑπερεῖναι. Γι' αὐτὸ καὶ τὰ ἀρνητικὰ αὐτὸ δηλώνουν, ὅπως τὸ 'δίχως μορφή', 'δίχως κάλλος', καὶ τὰ ὅμοια, ἐνῶ τὰ 'πάνσχημος' καὶ 'πανείδεος' δηλώνουν ὅτι εἶναι αἴτιος κάθε σχήματος καὶ κάθε εἴδους. Ἔτσι πρέπει νὰ ἐννοήσομε καὶ τὰ ἀκόλουθα.

Γιὰ τὸ ἴδιο χωρίο. Πῶς, ἐνῶ πιὸ πάνω εἶπε 'οὔτε ἦταν, οὔτε εἶναι, οὔτε ἔγινε, οὔτε γίνεται, οὔτε θὰ γίνει', ἐδῶ λέει ὅτι γι' αὐτὸν καὶ τὸ εἶναι, καὶ τὸ θὰ εἶναι, καὶ τὸ γίνεται, καὶ τὸ θὰ γίνει 'ὑμνεῖται κυρίως'; Ἆρα ὁ θεῖος Διονύσιος ἀντιφάσκει στὸν ἑαυτό του; Μὴ γένοιτο. Γιατὶ πιὸ πάνω τὸν εἶπε δημιουργὸ κάθε ὕπαρξης, ὑπόστασης, οὐσίας, φύσης, καὶ τοῦ χρόνου. Εὔλογα λοιπὸν χρησιμοποίησε γι' αὐτὸν τὸ ἦταν καὶ τὰ ἄλλα, γιὰ ν' ἀντιληφθεῖς, ὅτι ὁ Θεὸς δὲν ἄρχισε οὔτε ἀπὸ κάποια χρονικὴ στιγμή, οὔτε μέσα στὸ χρόνο, οὔτε μετὰ ἀπὸ τὸ χρόνο, ἀλλ' εἶναι ἀνώτερος κι ἀπὸ τὸ ἴδιο τὸ εἶναι. Γιατὶ εἶπε, 'μέσα σ' αὐτὸν βρίσκεται τὸ εἶναι'. Ἐδῶ ὅμως, ἐπειδὴ εἶπε, ὅτι αὐτὸς πολλαπλασιάζεται ἀνάλογα μὲ ὅσα σκεφτόμαστε, δίκαια ἀπέδωσε σ' αὐτὸν καὶ τὸ 'ἦταν' καὶ τὸ 'θὰ εἶναι' καὶ τὰ ἑξῆς, ὥστε ὁποιον καιρὸ ἢ χρόνο φέρεις στὸ νοῦ σου, ἐκεῖ θὰ βρεῖς τὸν Θεό, καὶ πάνω ἀπὸ τὰ ὄντα, καὶ νὰ προϋπάρχει, καὶ νὰ εἶναι τῶν ὄντων αἴτιος καὶ δημιουργός, ἀλλὰ καὶ τίποτε ἀπὸ αὐτὰ νὰ μὴν εἶναι, ὅπως λέμε, ὅτι 'κανένα ἀπὸ τὰ ὄντα δὲν εἶναι, καὶ μέσα στὰ πάντα εἶναι'.

Καὶ οὐδέν ἐστι τῶν πάντων; Στὸ 'πάνσχημος' ἀντιπαρα-

'ἄμορφος', διὰ τὸ ὑπὲρ ἀσωματίαν καὶ ὑπὲρ ἀϋλίαν εἶναι, οὐ μεμορφωμένον πρός τι τῶν ὄντων, πρὸς δὲ τὸ 'πανείδεος' τὸ 'ἀκαλλής'. Ἀκαλλῆ δὲ λέγει, ὡς καὶ τοῦ κάλλους ἐξ αὐτοῦ γεγονότος, αὐτοῦ δὲ καὶ ὑπὲρ κάλλους ὄντος. Αἱ δὲ χρήσεις, «καὶ εἴδομε αὐτόν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος», καὶ τὰ ἑξῆς.

Εἰ γὰρ ὁ καθ' ἡμᾶς ἥλιος: Κάτω ἐν τῷ τέλει τοῦ ἑξῆς λόγου, ἤτοι τοῦ ἕκτου κεφαλαίου, ὅπου τὸ σημεῖον δείκνυσιν, ὅτι οὐδὲν ἀφ' ἑαυτοῦ ποιεῖ ὁ ἥλιος, ἀλλ' ἐκ τῆς πάντων αἰτίας καὶ ἀρχῆς, ἥτις ἐστὶν ὁ Θεός. Καλῶς δὲ ἀπέδειξεν ἐκ τοῦ ἡλίου τὸ περὶ Θεοῦ νοούμενον· ὥσπερ γὰρ αὐτὸς εἷς ὢν ὁ ἥλιος, πάντα τὰ αἰσθητὰ ζωογονεῖ καὶ τρέφει καὶ αὔξει καὶ ἐναλλάττει, τουτέστιν ἀπὸ μικρῶν μεγάλα ποιεῖ, ἢ καὶ ἀπὸ σπόρου τὸ ἐξ αὐτοῦ φυόμενον βλαστὸν ἢ δένδρον, καὶ ἐν πᾶσι τοῖς ὁρωμένοις ἐστί, μηδὲν ἐξ αὐτῶν ὑπάρχων, οὕτω καὶ ὁ Θεὸς καὶ αὐτοῦ τοῦ ἡλίου καὶ πάντων τῶν αἰσθητῶν καὶ τῶν νοητῶν καὶ τῶν νοερῶν ὢν αἴτιος, οὐδὲν ἐκ τῶν ὄντων ἐστί, καὶ ἐν τοῖς πᾶσίν ἐστι· αὐτοῦ γὰρ τὰ πάντα μετέχει· διὸ καὶ ἡ Γραφὴ «δικαιοσύνης Ἥλιον» αὐτὸν ὀνομάζει.

Παραδείγματα: Τὰ παραδείγματα, ἅτινα καὶ ἰδέας καλοῦσιν, ἤδη μὲν καὶ ἀνωτέρω ἐδηλώσαμεν, ὅπως ὁρίζονται, ὅτι ποίησιν αὐτοτελῆ ἀΐδιον τοῦ ἀϊδίου Θεοῦ τὴν ἰδέαν, ἤτοι τὸ παράδειγμα, φησί· καὶ ἐνταῦθα μέντοι σαφηνίζει ὁ μέγας Διονύσιος τὴν Γραφήν, προορισμοὺς καλῶν τὰς ἰδέας, αἰνιττόμενος τὸν θεῖον Παῦλον, ὃς ἐν τῇ πρὸς Ρωμαίους φησίν· «οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε»· καὶ ἑτέρωθι· «προορίσας ἡμᾶς ἐν τῷ θελήματι αὐτοῦ»· θέλημα γὰρ καὶ προορισμὸν τὰ παραδείγματα καὶ τὰς ἰδέας λέγει. Παράγει μέντοι καὶ τὸν μακάριον Κλήμεντα, τὸν Ρώμης ἐπίσκοπον, οὗ μέμνηται ὁ Ἀπόστολος,

---

13. Ἠσ. 33,2. 14. Μαλαχ. 4,2.

βάλλεται τὸ 'ἄμορφος', ἐπειδὴ εἶναι πάνω ἀπὸ τὴν ἀνυπαρξία σώματος καὶ ὕλης, χωρὶς νὰ ἔχει πάρει τὴ μορφὴ κάποιου ὄντος, ἐνῶ στὸ 'πανείδεος' τὸ 'ἀκαλλής'. Ἀκαλλῆ λέει, ἐπειδὴ καὶ τὸ κάλλος ἔχει γίνει ἀπὸ αὐτόν, ἐνῶ αὐτὸς εἶναι κι ἀπὸ τὸ κάλλος πιὸ πάνω. Ἀπὸ αὐτὰ προέρχονται οἱ ἐκφράσεις, «τὸν εἴδαμε, καὶ δὲν εἶχε εἶδος οὔτε κάλλος»[13] καὶ τὰ ἑξῆς.

Εἰ γὰρ ὁ καθ' ἡμᾶς ἥλιος: Στὸ τέλος τοῦ ἑπομένου λόγου, δηλαδὴ τοῦ ἕκτου κεφαλαίου, ὅπου δείχνει ὅτι ὁ ἥλιος δὲν κάνει τίποτε ἀπὸ τὸν ἑαυτό του, ἀλλὰ ἀπὸ τὴν αἰτία καὶ τὴν ἀρχὴ τῶν πάντων, ποὺ εἶναι ὁ Θεός. Καὶ ἀπέδειξε ὡραῖα ἀπὸ τὸν ἥλιο τί ἐννοεῖ περὶ Θεοῦ. Ὅπως δηλαδὴ ὁ ἥλιος, ἐνῶ εἶναι ἕνας, ζωογονεῖ ὅλα τὰ αἰσθητά, τὰ τρέφει καὶ τὰ πληθαίνει καὶ τὰ μεταβάλλει, τὰ κάνει δηλαδὴ μεγάλα ἀπὸ μικρά, ἢ καὶ ἀπὸ τὸ σπόρο δείχνει τὸ φυτὸ ποὺ βγαίνει ἀπὸ αὐτὸν βλαστὸ καὶ δένδρο, καὶ παρουσιάζεται ἀνάμεσα σὲ ὅσα βλέπομε, χωρὶς νὰ εἶναι κανένα ἀπὸ αὐτά, ἔτσι καὶ ὁ Θεός, ἐνῶ εἶναι αἴτιος καὶ τοῦ ἴδιου τοῦ ἥλιου καὶ ὅλων τῶν αἰσθητῶν καὶ νοητῶν, δὲν εἶναι κανένα ἀπὸ τὰ ὄντα, ἀλλὰ εἶναι μέσα σὲ ὅλα. Γιατὶ τὰ πάντα τὸν μετέχουν. Γι' αὐτὸ καὶ ἡ Γραφὴ τὸν ὀνομάζει «Ἥλιο τῆς δικαιοσύνης»[14].

Παραδείγματα: Τὰ παραδείγματα, ποὺ τὰ καλοῦν καὶ ἰδέες, ἤδη δηλώσαμε καὶ πιὸ πάνω πῶς ὁρίζονται· ὅτι δηλαδὴ λέει τὴν ἰδέα, ἤτοι τὸ παράδειγμα, ἀίδια αὐτοτελῆ δημιουργία τοῦ ἀίδιου Θεοῦ. Καὶ ἐδῶ ὅμως διασαφηνίζει τὴ Γραφὴ ὁ μέγας Διονύσιος, καλώντας τὶς ἰδέες 'προορισμούς', ὑπονοώντας τὸν θεῖο Παῦλο, ποὺ γράφει στὴν ἐπιστολή του πρὸς Ρωμαίους· «ὅποιους προόρισε, αὐτοὺς καὶ ἐκάλεσε»[15]· καὶ ἀλλοῦ· «μᾶς προόρισε σύμφωνα μὲ τὸ θέλημά του»[16]. Θέλημα καὶ προορισμὸ λέει τὶς ἰδέες. Μᾶς παρουσιάζει καὶ τὸν μακάριο Κλήμεντα (τὸν ἐπίσκοπο Ρώμης), τὸν ὁποῖο θυμᾶται ὁ Ἀπόστολος, καὶ

15. Ρωμ. 8,30.
16. Ἐφ. 1,5.

εἰπόντα, ‘ἐν τοῖς οὖσιν εἶναι παραδείγματα ἀρχηγικώτερα, οἷον τῶν πρός τι’. Σαφέστερον δὲ οὕτως ἔσται τὸ λεγόμενον· ἔστι τις δόξα γραμμῇ ἀπεικάζουσα τὰ πάντα, καὶ τῆς γραμμῆς τὸ μὲν ἄνω μέρος τοῖς νοητοῖς ἀποδιδοῦσα, τὸ δὲ κάτω τοῖς αἰσθητοῖς. Καὶ τούτων, τοῖς μὲν ἀρχηγικωτέροις, ἅπερ εἰσὶ τὰ ἰδίως νοητά, τὸ πρῶτον καὶ ἀνώτερον μέρος, τοῖς δὲ ἐκ τῶν νοητῶν, τὸ μετ’ ἐκεῖνο· εἶθ’ οὕτω καθ’ ὑπόβασιν τῆς γραμμῆς, τὰ ἄλλα· δεῖξαι γὰρ θέλει ἡ τοιαύτη δόξα, μὴ τῆς ἀξίας τῆς αὐτῆς εἶναι τὰ πάντα, ἀλλ’ ἐξ ἀλλήλων ἔνια γενόμενα, οἷον τὰ ὑφειμένα εἴδη, τῶν καθολικῶν ἐν δημιουργίᾳ καὶ ἀρχῶν, ἃς καθολικὰς ἀρχὰς ἀρχηγικώτερά φησι. Τὸν οὖν ἱερὸν Κλήμεντά φησι λέγειν, εἶναι καὶ ἐν τοῖς ποιήμασι παραδείγματα γενικώτερα, ἤτοι ἰδέας τῶν πρός τι, ἀντὶ τοῦ τῶν ὑποβεβηκότων εἰδῶν τῶν πρός τι τῶν ὑπερβεβηκότων ὑπόδειγμα ὑποστάντων, οἷον τὸ ἔνυλον πῦρ πρὸς τὸ αἰθέριον· ἀλλ’ οὐ ταῦτα κυρίως ἰδέας φησὶν ὁ μέγας Διονύσιος, ἀλλὰ τὰς νοήσεις τοῦ Θεοῦ· κἂν γὰρ λέγηται παραδείγματα ἐν κτίσει, ἀλλ’ οὐ προσκυτητά, ὥς φησι Μωϋσῆς. Ποῦ δὲ ταῦτα εἶπεν ὁ ἅγιος Κλήμης, οὐκ ἐδήλωσε.

Παραδείγματα δέ φαμεν εἶναι: Πλάτων μὲν τὰς ἰδέας καὶ τὰ παραδείγματα ταπεινῶς καὶ ἀναξίως Θεοῦ ἐξείληφεν, ὁ δὲ πατὴρ τῇ μὲν λέξει ἐχρήσατο, τὴν δὲ ἔννοιαν εὐσεβῶς ἐξηγήσατο. Ἀφοριστικὰ δὲ ἔφη τὰ θεῖα θελήματα καὶ ποιητικά, τὸ μέν, ὅτι μόνῳ τῷ βούλεσθαι τὰ πάντα ὑφίστησι καὶ ποιεῖ· τὸ δέ, καὶ διὰ τὸ ἑτεροειδῆ καὶ διάφορα τὰ ὄντα γενέσθαι. Σημείωσαι οὖν, ὅτι παραδείγματα καλεῖ τοὺς ἐν τῷ Θεῷ τῶν ὄντων οὐσιοποιοὺς καὶ ἑνιαίως προϋφεστῶτας λόγους, ἤτοι προορισμούς.

§ 9. Πρόεισι μέν, οὐ διὰ κυρίων: Μᾶλλον ὁ μακάριος

ποὺ εἶπε, ὅτι ὑπάρχουν μέσα στὰ ὄντα παραδείγματα πιὸ πρωταρχικά, ὅπως ἐκείνων ποὺ ἀναφέρονται σὲ κάτι. Αὐτὸ ποὺ λέγω θὰ γίνει σαφέστερο μὲ τὰ ἑξῆς· Ὑπάρχει μιὰ γνώμη ποὺ ἀπεικονίζει τὰ πάντα μὲ μιὰ γραμμή. Τὸ ἐπάνω μέρος τῆς γραμμῆς τὸ ἀποδίδει στὰ νοητά, ἐνῶ τὸ κάτω στὰ αἰσθητά. Κι ἀπὸ τὰ νοητά, στὰ πρωταρχικότερα, ποὺ εἶναι τὰ ἰδίως νοητά, ἀποδίδει τὸ πρῶτο καὶ ἀνώτερο μέρος. Ὅσα πάλι εἶναι ἀπὸ τὰ νοητά, τὸ ἀκόλουθο μέρος. Ἔπειτα κατεβαίνοντας ἔτσι τὴ γραμμή, ἀποδίδει τὰ ἄλλα. Ἡ γνώμη αὐτὴ θέλει νὰ δείξει, ὅτι δὲν ἔχουν ὅλα τὴν ἴδια ἀξία, ἀλλὰ μερικά, ἐνῶ γίνονται τὸ ἕνα ἀπὸ τὸ ἄλλο, ὅπως τὰ κατώτερα εἴδη εἶναι πρωταρχικότερα ἀπὸ τὰ καθόλου στὴ δημιουργία κι ἀπὸ τὶς ἀρχές, ποὺ τὶς καλεῖ καθολικὲς ἀρχές. Λέει λοιπόν, ὅτι ὁ ἱερὸς Κλήμης διατυπώνει τὴ γνώμη, ὅτι ὑπάρχουν καὶ στὰ δημιουργήματα παραδείγματα γενικότερα, δηλαδὴ ἰδέες ἀπὸ τὶς ἀναφερόμενες σὲ κάτι (= τῶν πρός τι) ἀντὶ τῶν κατωτέρων εἰδῶν ποὺ ἔγιναν ὑπόδειγμα τῶν ἀνωτέρων ἀπὸ τὰ πρός τι, ὅπως τὸ ὑλικὸ πῦρ σὲ σχέση μὲ τὸ αἰθέριο. Δὲν λέει ὅμως αὐτὰ ὁ μέγας Διονύσιος κυρίως ἰδέες, ἀλλὰ τὶς νοήσεις τοῦ Θεοῦ. Γιατί, κι ἂν ἀκόμα λέγονται παραδείγματα μέσα στὴ δημιουργία, δὲν εἶναι ὅμως ἄξια γιὰ προσκύνηση, ὅπως λέει ὁ Μωυσῆς· ποῦ διατύπωσε ὅμως τὴ γνώμη αὐτὴ ὁ ἅγιος Κλήμης, δὲν τὸ εἶπε ὁ Διονύσιος.

Παραδείγματα δέ φαμεν εἶναι: Ὁ Πλάτων βέβαια ἐξέλαβε τὶς ἰδέες καὶ τὰ παραδείγματα ταπεινὰ κι ἀνάξια τοῦ Θεοῦ, ἐνῶ ὁ πατέρας αὐτὸς (ὁ Διονύσιος) χρησιμοποίησε βέβαια τὴ λέξη, ἐξήγησε ὅμως τὸ νόημά της μ' εὐσέβεια. Ὀνόμασε λοιπὸν τὰ θεῖα θελήματα ἀφοριστικὰ καὶ ποιητικά, ἀπὸ τὴ μιὰ ἐπειδὴ μὲ τὸ θέλημά του μόνο δίνει ὑπόσταση στὰ πάντα καὶ τὰ δημιουργεῖ, κι ἀπὸ τὴν ἄλλη ἐπειδὴ τὰ ὄντα ἔγιναν μὲ ἄλλη καὶ διάφορη μορφὴ τὸ καθένα. Σημείωσε λοιπόν, ὅτι παραδείγματα καλεῖ τοὺς λόγους τῶν ὄντων ποὺ δίνουν σ' αὐτὰ τὴν ὕπαρξή τους καὶ προϋπάρχουν ἑνιαῖα μέσα στὸ Θεό, δηλαδὴ τοὺς προορισμούς.

§ 9. Πρόεισι μέν, οὐ διὰ κυρίων: Ὁ μακάριος Κλήμης ἀκο-

Κλήμης δόξῃ τινὶ κατηκολούθησε λεγούσῃ, καὶ ἐν τῇ γενέσει τῶν ὄντων αἰσθητῶν εἶναι ἀρχικάς τινας αἰτίας, οἷον τὰ τῶν νοητῶν, ἤτοι ἀσωμάτων ἀγγέλων ἐνεργείας, ἤτοι εἰς οὐσίαν παραγωγούς, αἰτίας ἀρχικὰς ἔχειν τὰς ἰδέας, ἤτοι νοήσεις, τοῦ Θεοῦ· περὶ ἃς ἰδέας παραδειγματικὰς οὔσας, τὰ νοητὰ εἶναι ὡς ἐνεργείας ἀρχικὰς καὶ εὐδαιμονικὰς καὶ ἡγεμονικάς· ἐπὶ δὲ τῶν αἰσθητῶν, αἴτιον ἀρχικὸν καὶ εὐδαιμονικὸν καὶ δημιουργικὸν τὸ εἶδος, τὸ ἐπὶ τῇ ὕλῃ ἡ εἰρημένη φησὶ δόξα· τὸν γὰρ λόγον τῆς ἐν γενέσει φύσεως, καθ' ἣν εἰδοποιήθη τὰ αἰσθητά, τοιοῦτον εἶδός φησιν ἀρκτικόν. Ἔοικεν οὖν τάχα τοῦτο εἰρηκέναι ὁ μακάριος Κλήμης· οὐκ ἔστι δὲ κυρίως ταῦτα εἰπεῖν παραδείγματα, ἤτοι ἰδέας ἀρκτικάς, ἤγουν ἀρχικὰ αἴτια· οὐ γὰρ ἐξ αὐτῶν ταῦτα, ἀλλ' ἐκ τῶν Θεοῦ νοήσεων, ὃς μόνος προσκυνητός.

Προόδου καὶ ἀγαθότητος: Πρόοδόν φησι τὸ μὴ μόνον αὐτὴν περὶ τὴν αὐτῆς ἀσχολεῖσθαι θεωρίαν, ἀλλὰ χυθῆναι καὶ ὁδεῦσαι καὶ τὰ ὄντα ὑποστήσασθαι.

Πάντα μὲν ἐν ἑαυτῇ: Ὅτι ἐπὶ πᾶσι τοῖς οὖσιν ἀγάλλεσθαί φησι τὸν Θεόν, κατὰ τὸ ψαλμικόν· «εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ», καὶ ἐν Παροιμίαις· «Ἐγὼ ἤμην ᾗ προσέχαιρε». Τὸ δὲ προέχει ἐνταῦθα ἀντὶ τοῦ προώρισε καὶ προείληφε κεῖται.

Πᾶσαν διπλόην: Ἐπειδή τινες τὰς ἰδέας καὶ τὰ παραδείγματα ἐνυπόστατα ἔφησαν, τούτους ἐπιρραπίζει νῦν Ἕλληνας ὄντας, καί φησιν· Εἰ γὰρ μὴ ἁπλῶς καὶ ἑνιαίως εἶεν αἱ ἰδέαι, νοήσεις ὑπερηπλωμέναι οὖσαι τοῦ ὑπερηπλωμένου καὶ ὑπερηνωμένου Θεοῦ, σύνθετος ἂν εἴη ὁ Θεὸς ἐκ παραδείγματος καὶ

λούθησε μᾶλλον κάποια γνώμη ποὺ λέει, ὅτι καὶ στὴ γένεση τῶν αἰσθητῶν ὄντων ὑπάρχουν ἀρχικὲς αἰτίες, ἀνάλογα μὲ τῶν νοητῶν, δηλαδὴ τῶν ἀσωμάτων ἀγγέλων τὶς ἐνέργειες, ἤτοι ποὺ ὁδηγοῦν στὴν οὐσία, καὶ ὅτι ἔχουν ὡς ἀρχικὲς αἰτίες τὶς ἰδέες, δηλαδὴ τὶς νοήσεις τοῦ Θεοῦ. Γύρω ἀπὸ τὶς ἰδέες, ποὺ εἶναι παραδειγματικές, ὑπάρχουν τὰ νοητὰ ὡς ἐνέργειες ἀρχικὲς καὶ εὐδαιμονικὲς καὶ ἡγεμονικές. Στὰ αἰσθητὰ ὅμως αἴτιο ἀρχικὸ καὶ εὐδαιμονικὸ καὶ δημιουργικὸ λέει ἡ γνώμη ποὺ ἀναφέραμε, ὅτι εἶναι τὸ εἶδος τῆς ὕλης. Γιατὶ ὁ λόγος τῆς φύσης στὴ γένεση, σύμφωνα μὲ τὴν ὁποία ἔλαβαν εἶδος τὰ αἰσθητά, τέτοιο εἶδος λέει ὡς ἀρχικό. Φαίνεται λοιπὸν ὅτι ἴσως αὐτὸ εἶπε ὁ μακάριος Κλήμης. Αὐτὰ βέβαια δὲν εἶναι δυνατὸ νὰ τὰ ποῦμε κυρίως παραδείγματα, ἤτοι ἰδέες ἀρνητικές, δηλαδὴ ἀρχικὰ αἴτια, γιατὶ δὲν προέρχονται αὐτὰ ἀπὸ αὐτές, ἀλλὰ ἀπὸ τὶς νοήσεις τοῦ Θεοῦ, ὁ ὁποῖος εἶναι ὁ μόνος ἄξιος νὰ προσκυνεῖται.

Προόδου καὶ ἀγαθότητος: Πρόοδο ὀνομάζει τὸ νὰ μὴν ἀσχολεῖται αὐτὴ μόνο μὲ τὴ θεωρία γιὰ τὸν ἑαυτό της, ἀλλὰ τὸ νὰ διαχυθεῖ καὶ νὰ προχωρήσει καὶ νὰ δώσει ὑπόσταση στὰ ὄντα.

Πάντα μὲν ἐν ἑαυτῇ: Γιὰ ὅλα τὰ ὄντα ἀγάλλεται, λέει, ὁ Θεὸς σύμφωνα μὲ τὸ ψαλμικό, «θὰ εὐφρανθεῖ ὁ Κύριος γιὰ τὰ ἔργα του»[17]. Καὶ στὶς Παροιμίες λέγεται· «Ἐγὼ ἤμουν ἐκείνη ποὺ ἔδινα μόνιμη χαρά»[18]. Τὸ 'προέχει' χρησιμοποιεῖται ἐδῶ ἀντὶ τοῦ 'προώρισε' καὶ 'ἔκρινε ἀπὸ πρίν'.

Πᾶσαν διπλόην: Ἐπειδὴ μερικοὶ εἶπαν τὶς ἰδέες καὶ τὰ παραδείγματα πραγματικὰ (ἐνυπόστατα), αὐτοὺς τώρα, ποὺ εἶναι Ἕλληνες, τοὺς ἐπιπλήττει καὶ λέει· Ἂν οἱ ἰδέες δὲν ἦταν ἁπλὰ καὶ ἑνιαῖα πράγματα, ὄντας ὑπέρτατα ἁπλὲς τοῦ ὑπέρτατα ἁπλοῦ καὶ πέρα ἀπὸ ἕνωση Θεοῦ, θὰ ἦταν ὁ Θεὸς σύνθετος ἀπὸ παρά-

17. Ψαλμ. 103,31.
18. Παροιμ. 8,30.

ἑαυτοῦ, ὅπερ διπλόην ὠνόμασε. Τὸ δὲ ἀγαλλομένη συμφωνεῖ τῷ Δαβίδ· «εὐφρανθήσεται Κύριος», καὶ τὰ ἑξῆς.

Καθάπερ καὶ φωνὴ μία: Σημείωσαι τὸ τῆς φωνῆς, ὅτι ἀσώματος καὶ μία οὖσα ὑπὸ πολλῶν ὁμοίως ἀκούεται, καὶ οὔτε δαπανᾶται ἐκ τοῦ πλήθους. Οὕτω καὶ ὁ Θεὸς ὑπὸ πάντων ἐπίσης μετέχεται· τοῦτο γάρ ἐστι τὸ 'ἑνικῶς'. Κατὰ ἀναλογίαν δὲ τῆς πίστεως, καὶ οὔτε μεριζόμενος δαπανᾶται.

§ 10. Ὡς τοῦ ἕνεκα: Ἄνω ἐν τῷ πρὸ τούτου κεφαλαίῳ εἴπομεν, τελείως ὁρίσαντες τελικὸν αἴτιον εἶναι τὸ οὗ ἕνεκα τὸ γινόμενον.

Καὶ πέρας πάντων: Τῷ πέρατι πάντως ἡ ἀπειρία ἀντεπινοεῖται, ὁ δὲ Θεὸς πέρας πάντων· οὐδὲν γὰρ ἐκβαίνει τὴν αὐτοῦ πρόνοιαν καὶ δυναστείαν· καὶ ἀπειρία δέ, ἐπεὶ κατὰ τὴν θείαν Γραφήν· «καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός»· καὶ πάλιν· «καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται πέρας». Ὡς οὖν ἀπερίληπτος καὶ ἄπειρος· ταῦτα γὰρ ὑπερεξόχως ἔχει ὁ Θεὸς καὶ πάντα ὑπερβεβηκὼς καὶ πέρας παντὸς πέρατος ὤν· εἰς αὐτὸν γὰρ τὰ πάντα περατοῦνται, καὶ ἀπειρία ἐστὶ πάσης ἀπειρίας. Κἂν οὖν ἀπειρία λέγηται καὶ ἡ ὕλη, ὡς ἀεὶ μετασχηματιζομένη καὶ ἄλλοτε εἰς ἄλλα εἴδη μεταβάλλουσα, ἀλλ' οὖν πεπέρασται ἐν τῷ Θεῷ, εἰ καὶ ἄστατός ἐστι καὶ ἀόριστος ὑπὸ Θεοῦ μεταγομένη εἰς εἰδοποιίας. Καὶ εἰκότως ὁ Θεὸς πέρας ἐστὶ τῆς τοιαύτης ἀπειρίας καὶ ἄπειρος τοῖς πέρασι τῶν ὄντων, ὡς καὶ τὴν ὕλην ἐξ οὐκ ὄντων παραγαγών· φησὶ γὰρ ἡ Γραφή· «ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα».

---

19. Ψαλμ. 103,31. 20. Ψαλμ. 146,5.

δειγμα καὶ τὸν ἑαυτό του, πράγμα ποὺ τὸ ὀνόμασε διπλόη (διχασμό). Ἡ μετοχὴ 'ἀγαλλομένη' συμφωνεῖ μὲ τὸν Δαβίδ· «θὰ εὐφρανθεῖ ὁ Κύριος»[19], καὶ τὰ ἑπόμενα.

Καθάπερ καὶ φωνὴ μία: Σημείωσε τὸ γνώρισμα τῆς φωνῆς, ὅτι δηλαδή, ἐνῶ εἶναι ἀσώματη καὶ μία, ἀκούγεται ἀπὸ πολλοὺς ὅμοια, καὶ οὔτε ἐξαντλεῖται ἀπὸ τὸ πλῆθος (ποὺ τὴν ἀκούει). Ἔτσι καὶ ὁ Θεὸς μετέχεται ἐξίσου ἀπὸ ὅλους· γιατὶ αὐτὸ σημαίνει τὸ 'ἑνικῶς'. Οὔτε ἐπίσης ἐξαντλεῖται ὅταν μοιράζεται σύμφωνα μὲ τὴν ἀναλογία τῆς πίστεως.

§ 10. Ὡς τοῦ ἕνεκα: Πιὸ πάνω, στὸ κεφάλαιο πρὶν ἀπὸ αὐτό, εἴπαμε ὁρίζοντας ρητά, ὅτι τελικὸ αἴτιο εἶναι αὐτὸ ποὺ γιὰ χάρη του γίνεται κάτι.

Καὶ πέρας πάντων: Στὸ πέρας ἀντιπαραβάλλεται ὁπωσδήποτε μὲ τὸ νοῦ ἡ ἀπειρία. Ὁ Θεὸς εἶναι τὸ πέρας ὅλων· γιατὶ τίποτε δὲν ξεπερνᾶ τὴν πρόνοια καὶ τὴ δύναμή του. Εἶναι καὶ ἀπειρία, ἐπειδη, σύμφωνα μὲ τὴ θεία Γραφή, «δὲν ὑπάρχει ἀριθμημένο μέτρο τῆς σύνεσής του»[20], καὶ ἐπίσης, «καὶ δὲν ὑπάρχει πέρας τῆς βασιλεῖας του»[21]. Ὁ Θεὸς λοιπὸν εἶναι ἀπερίληπτος καὶ ἄπειρος, καὶ αὐτὰ τὰ ἔχει ὁ Θεὸς μὲ ἐξαιρετικὴ ὑπεροχή, ὑπερβαίνοντας τὰ πάντα καὶ ὄντας τὸ πέρας κάθε πέρατος, γιατὶ σ' αὐτὸν ἔχουν τὰ πάντα τὸ πέρας τους, καὶ εἶναι ἡ ἀπειρία κάθε ἀπειρίας. Καὶ μολονότι ἀπειρία λέγεται καὶ ἡ ὕλη, ἐπειδὴ πάντοτε μετασχηματίζεται καὶ μεταβάλλεται κάθε τόσο σὲ ἄλλα εἴδη, ὡστόσο περατώνεται μέσα στὸν Θεό, ἂν καὶ εἶναι ἄστατη καὶ ἀόριστη καὶ ὁ Θεὸς τὴ μεταφέρει καὶ τῆς δίνει διάφορα εἴδη. Καὶ εἶναι εὔλογα ὁ Θεὸς πέρας αὐτῆς τῆς ἀπειρίας καὶ ἄπειρος σὲ σχέση μὲ τὰ ὅρια τῶν ὄντων, ἀφοῦ καὶ τὴν ὕλη τὴ δημιούργησε ἀπὸ μὴ ὄντα· γιατὶ λέει ἡ Γραφή· «ἀπὸ αὐτὸν ἔγιναν τὰ πάντα, μέσω αὐτοῦ καὶ γιὰ νὰ καταλήξουν σ' αὐτόν»[22].

---

21. Λουκᾶ 1,33.
22. Ρωμ. 11,36.

Ἐν ἑνὶ γάρ, ὡς πολλάκις: Ἀντίκειται τὸ πέρας τῇ ἀπειρίᾳ κατὰ ἀπόφασιν καὶ κατάφησιν, ὡς τὸ θνητὸν καὶ τὸ ἀθάνατον. Καλῶς δὲ τὸ 'ὡς ἀντικειμένων'· οὐ γὰρ κυρίως ταῦτα ἀλλήλοις ἀντίκειται, οἱονεὶ κατὰ τὴν ἕξιν ἢ στέρησιν, ἀλλ', ὡς εἴρηται, κατὰ ἀπόφασιν καὶ κατάφασιν.

Παρὼν τοῖς πᾶσι: Πανταχοῦ γὰρ παρών, καὶ τοῖς καθ' ἓν ἕκαστον καὶ τοῖς πᾶσιν ὁμοῦ πάρεστι καὶ ὁμοίως. Καὶ ἑστὼς δὲ λέγεται ὁ Θεός, τῷ κατὰ μηδὲν ὅλως ἐν αὐτῷ μεταβολὴν θεωρεῖσθαι, κινούμενος δέ, τῷ συνέχειν τὰ ὄντα καὶ συντηρεῖν· καὶ ταῦτα δὲ ὑπὲρ πᾶσαν ἐπίνοιαν· διὸ καὶ ἐπήγαγε τὸ 'οὔτε ἑστώς', 'οὔτε κινούμενος'.

Καὶ ἑστὼς καὶ κινούμενος: Δοκεῖ πῶς ἐναντίον εἶναι τὸ εἰρημένον, τὸ 'ἑστὼς' καὶ 'κινούμενος', καί, 'οὔτε ἑστώς', 'οὔτε κινούμενος'· πῶς γὰρ τὸ αὐτὸ πρᾶγμα καὶ ἵσταται καὶ κινεῖται, ἢ οὔτε ἵσταται οὔτε κινεῖται; Πρῶτον μὲν οὐ δεῖ ἐκ τῶν αἰσθητῶν κατανοεῖν τὰ θεῖα, ἢ τὰς εἰκόνας ἐντεῦθεν λαμβάνειν· ἵνα δὲ μὴ δόξαιμεν λύσεως ἀπορεῖν, στάσιν εἴπομεν ἐν τοῖς ἔμπροσθεν τὴν γένεσιν, κίνησιν δὲ τὴν ἀλλοίωσιν, ἤτοι μεταβολήν. Ἔστιν οὖν ὁ Θεὸς πάντων γένεσις· ἀεὶ γὰρ ταῦτα εἰς τὸ εἶναι παράγει· ὥστε ἕστηκεν ὁ Θεός· κινεῖται δὲ πάλιν, διότι πάντα μετασχηματίζει καὶ ἀλλοιοῖ πρὸς τὸ κρεῖττον· δι' αὐτοῦ γὰρ καλλίους γινόμεθα· ὅθεν καὶ περὶ αὐτοῦ πρὸ μικροῦ φησιν ὁ θεῖος Διονύσιος, 'πάντων ἀρχὴ καὶ τελευτὴ τῶν ὄντων'· τὸ γὰρ 'οὔτε ἑστώς', 'οὔτε κινούμενος', τὸ πρὸς αὐτοῦ ἐξηγεῖται τὸ μένων ἐφ' ἑαυτοῦ, καὶ ἐπὶ πάντα προϊών· μεταδίδωσι γὰρ πᾶσι τοῖς οὖσι τῆς οἰκείας ὁλότητος, καὶ ἄτρεπτος καὶ ἀναλλοίωτος αὐτός ἐστι κατὰ τὸ εἰρημένον, «Σὺ δὲ ὁ αὐτὸς εἶ». Οὐκοῦν καὶ πρόεισι καὶ ἐφ' ἑαυτοῦ μένει ὁ Θεός.

Οὔτε ἔν τινι τῶν ὄντων: Οὐκ ἔν τινι εἶπεν· ἐν πᾶσι γάρ, καὶ

23. ψαλμ. 101,28.

Ἐν ἑνὶ γὰρ ὡς πολλάκις: Εἶναι ἀντίθετο τὸ πέρας στὴν ἀπειρία ἀποφατικὰ καὶ καταφατικά, ὅπως τὸ θνητὸ καὶ τὸ ἀθάνατο. Καὶ σωστὰ εἶπε, 'σὰ νὰ εἶναι ἀντίθετα' (ὡς ἀντικειμένων). Γιατὶ δὲν εἶναι κύρια ἡ ἀντίθεση μεταξύ τους, δὲν δηλώνεται δηλαδὴ ἕξη ἢ στέρηση, ἀλλά, ὅπως εἰπώθηκε, εἶναι ἀντίθετα ἀποφατικὰ καὶ καταφατικά.

Παρὼν τοῖς πᾶσι: Εἶναι παρὼν σὲ ὅλα, καὶ σὲ καθένα χωριστὰ καὶ σ' ὅλα μαζὶ εἶναι παρὼν μὲ ὅμοιο τρόπο. Λέγεται ἐπίσης ὅτι ὁ Θεὸς εἶναι ἀκίνητος, ἐπειδὴ δὲν παρατηρεῖται καμμιὰ ἀπολύτως μεταβολὴ σ' αὐτόν. Λέγεται καὶ κινούμενος, ἐπειδὴ συγκρατεῖ καὶ συντηρεῖ τὰ ὄντα. Κι αὐτὰ βέβαια εἶναι πάνω ἀπὸ κάθε ἔννοια. Γι' αὐτὸ πρόσθεσε καὶ εἶπε, 'οὔτε ἀκίνητος οὔτε κινούμενος'.

Καὶ ἑστὼς καὶ κινούμενος: Φαίνεται κατὰ κάποιο τρόπο ἀντιφατικὸς ὁ λόγος 'ἑστὼς καὶ κινούμενος, καὶ οὔτε ἑστὼς οὔτε κινούμενος'. Πῶς δηλαδὴ τὸ ἴδιο πράγμα καὶ στέκεται καὶ κινεῖται, ἢ οὔτε στέκεται οὔτε κινεῖται; Κατὰ πρῶτον βέβαια δὲν πρέπει νὰ κατανοοῦμε τὰ θεῖα ἀπὸ τὰ αἰσθητά, ἢ νὰ τὰ εἰκονίζομε ἀπὸ αὐτά. Γιὰ νὰ μὴ φανοῦμε ὅμως ὅτι δὲν διαθέτομε λύση, εἴπαμε πιὸ μπροστά, ὅτι στάση εἶναι ἡ γένεση, καὶ κίνηση ἡ ἀλλοίωση, δηλαδὴ ἡ μεταβολή. Εἶναι λοιπὸν ὁ Θεὸς ἡ γένεση ὅλων· γιατὶ φέρνει τὰ πάντα πάντοτε στὸ εἶναι. Ὥστε ὁ Θεὸς μένει ἀκίνητος. Ἐπίσης ὅμως κινεῖται, γιατὶ μετασχηματίζει καὶ μεταβάλλει τὰ πάντα πρὸς τὸ καλύτερο· γιατὶ μ' αὐτὸν γινόμαστε καλύτεροι, καὶ γι' αὐτὸ πρὶν ἀπὸ λίγο ὁ θεῖος Διονύσιος λέει γι' αὐτὸν ὅτι εἶναι 'ὅλων τῶν ὄντων ἀρχὴ καὶ τέλος'. Γιατὶ τὸ λεγόμενο, 'οὔτε ἑστὼς οὔτε κινούμενος', ἐξηγεῖ τὸ ὅτι μένει στὸν ἑαυτό του ἀπὸ μόνος του καὶ προχωρεῖ σὲ ὅλα· γιατὶ μεταδίδει σὲ ὅλα τὰ ὄντα τὴν ὁλότητά του καὶ ὁ ἴδιος μένει χωρὶς τροπὴ καὶ ἀλλοίωση, σύμφωνα μὲ τὸ λόγο· «Σὺ ὅμως εἶσαι ὁ ἴδιος»[23]. Ἐπομένως ὁ Θεὸς καὶ προχωρεῖ καὶ στὸν ἑαυτό του μένει.

Οὔτε ἔν τινι τῶν ὄντων: Δὲν εἶπε σὲ κάποιο, ἐπειδὴ εἶναι

διὰ τὸ ἐν πᾶσιν ἄσχετον· αἰωνίως γὰρ ὄντα, τὰς ὑπερκοσμίους φησὶν οὐσίας, διὰ τὸ πρὸ τῆς τοῦ χρόνου φύσεως γενέσθαι αὐτάς· χρόνος γὰρ ἀπὸ τῆς τοῦ οὐρανοῦ καὶ γῆς ποιήσεως ἀριθμεῖται.

Ἢ τῶν χρονικῶς: Εἴρηται καὶ ἀνωτέρω, αἰώνιον λέγεσθαι κυρίως οὐκ αὐτὸν τὸν αἰῶνα, ἀλλὰ τὸ αἰῶνος μετέχον. Τὸ δὲ 'προσήκει τι' νόησον κατ' οὐσίαν. Σημείωσαι δέ, ὅτι εἰσί τινα τῶν ὄντων αἰώνια, οἷον ἄγγελοι, καὶ ὅτι οὐ τὸ αἰώνιον, ἤδη καὶ ἄναρχον. Ἐν δὲ τῷ ἐφεξῆς κεφαλαίῳ εὐθὺς ἐν ἀρχῇ, τῇ τοῦ αἰωνίου φωνῇ καὶ ἐπὶ τοῦ Θεοῦ κέχρηται.

Καὶ τὰ τῶν ὄντων μέτρα: Μέτρα τῶν ὄντων εἰσὶν οἱ αἰῶνες τῶν νοητῶν καὶ ὁ χρόνος τῶν αἰσθητῶν· τὰ γὰρ νοητά, ὡς ὑπὸ μέτρου μετρεῖται τοῦ αἰῶνος, εἰ καὶ ὁμωνύμως τῷ μετροῦντι αἰῶνι καὶ τὰ μετρούμενα λέγονται· αἰῶνες γὰρ λέγονται καὶ οἱ ἄγγελοι· οὕτω καὶ ἐπὶ τῶν αἰσθητῶν· τὰ γὰρ μετρούμενα τῷ χρόνῳ ὁμωνύμως χρόνοι λέγονται, ὡς καὶ ἡ κίνησις τῶν ἄστρων, καὶ τοῦ ἡλίου, καὶ οἱ βίοι· μετρούμενοι γὰρ ὑπὸ χρόνου, χρόνοι λέγονται.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ ΣΤ'

§ 1. Καὶ συνοχικῆς αἰτίας: Συνοχικὴν ὠνόμασεν, ὡς τὴν ζωὴν τῶν ἐν τοῖς οὖσιν οὐ μόνον δημιουργήσασαν, ἀλλὰ καὶ εἰς τὸ διαμένειν συνέχουσαν.

Ἐξ αὐτῆς καὶ αἱ ψυχαί: Μετὰ τὴν τῶν ἀγγέλων ζωὴν ἀκολούθως τάττει τὴν τῶν ἡμετέρων ψυχῶν, ἅτε καὶ λογικῶν οὐσῶν ἀθανασίαν· μετὰ δὲ τὰς λογικὰς ψυχάς, ἐπάγει λοιπὸν τὴν ζωὴν τῆς αἰσθητικῆς ψυχῆς καὶ τῆς θρεπτικῆς, ἤτοι φυτικῆς, ἤτοι τῶν ἀλόγων, καὶ τῶν φυτῶν, ἃς καὶ κατ' ἔσχατον ἀπήχημά φησιν, ὅπερ ἄνω πολλάκις ἡρμηνεύσαμεν. Αἱ δὲ ζωαὶ τῶν

σὲ ὅλα, καὶ ἐπειδὴ εἶναι καὶ ἄσχετος ἀπὸ ὅλα. Αἰώνια ὄντα καλεῖ τὶς ὑπερκόσμιες οὐσίες, ἐπειδὴ ἔγιναν πρὶν ἀπὸ τὴ φύση τοῦ χρόνου. Γιατὶ ὁ χρόνος ἀρχίζει μὲ τὴ δημιουργία τοῦ οὐρανοῦ καὶ τῆς γῆς.

Ἢ τῶν χρονικῶς: Λέχθηκε καὶ παραπάνω, ὅτι αἰώνιο κυριολεκτικὰ λέγεται ὄχι ὁ ἴδιος ὁ αἰώνας, ἀλλὰ ἐκεῖνο ποὺ μετέχει τὸν αἰώνα. Τὸ 'ἁρμόζει κάτι' νὰ τὸ ἐννοήσεις σύμφωνα μὲ τὴν οὐσία. Καὶ σημείωσε, ὅτι ὑπάρχουν μερικὰ ἀπὸ τὰ ὄντα ποὺ εἶναι αἰώνια, ὅπως οἱ ἄγγελοι, καὶ ὅτι τὸ αἰώνιο δὲν εἶναι μαζὶ καὶ ἄναρχο. Στὸ ἑπόμενο κεφάλαιο ἀμέσως στὴν ἀρχὴ χρησιμοποιεῖ τὸν χαρακτηρισμὸ τοῦ αἰώνιου καὶ γιὰ τὸν Θεό.

Καὶ τὰ τῶν ὄντων μέτρα: Μέτρα τῶν ὄντων εἶναι οἱ αἰῶνες τῶν νοητῶν καὶ ὁ χρόνος τῶν αἰσθητῶν. Τὰ νοητὰ δηλαδὴ ἔχουν σὰν μέτρο τους τὸν αἰώνα καὶ μὲ τὸ ἴδιο ὄνομα τοῦ αἰώνα ποὺ τὰ μετρᾶ λέγονται καὶ αὐτὰ ποὺ μετριοῦνται. Γιατὶ αἰῶνες λέγονται καὶ οἱ ἄγγελοι. Ἔτσι καὶ στὰ αἰσθητά· ὅσα μετριοῦνται μὲ τὸ χρόνο λέγονται μὲ τὸ ἴδιο ὄνομα χρόνοι, ὅπως καὶ οἱ κινήσεις τῶν ἄστρων καὶ τοῦ ἥλιου καὶ οἱ βίοι· ἐπειδὴ δηλαδὴ μετριοῦνται μὲ τὸ χρόνο λέγονται χρόνοι.

ΣΤΟ ΚΕΦΑΛΑΙΟ 6

§ 1. Καὶ συνοχικῆς αἰτίας: Τὴν ὀνόμασε αἰτία συνοχικὴ (συγκρατητική), ἐπειδὴ ὄχι μόνο δημιούργησε τὴ ζωὴ τῶν ὄντων, ἀλλὰ καὶ τὴ συγκρατεῖ (συνέχει) γιὰ νὰ διατηρεῖται.

Ἐξ αὐτῆς καὶ αἱ ψυχαί: Ἔπειτα ἀπὸ τὴ ζωὴ τῶν ἀγγέλων, βάζει στὴ συνέχεια τὴν ἀθανασία τῶν δικῶν μας ψυχῶν, ἐπειδὴ εἶναι λογικές. Μετὰ τὶς λογικὲς ψυχές, βάζει τὴ ζωὴ τῆς αἰσθητικῆς ψυχῆς καὶ τῆς θρεπτικῆς, ἤτοι τῆς φυτικῆς, δηλαδὴ τῆς ψυχῆς τῶν ἀλόγων καὶ τῶν φυτῶν, ποὺ τὶς χαρακτηρίζει καὶ ψυχὲς κατὰ ἔσχατο ἀπήχημα, πράγμα ποὺ ἑρμηνεύσαμε πολλὲς φορὲς πιὸ πάνω. Οἱ ζωὲς βέβαια τῶν ἀλόγων ζώων καὶ τῶν φυ-

ἀλόγων καὶ τῶν φυτῶν οὔκ εἰσι θεῖαι, ἀλλὰ τοῦ ἐνύλου πυρός τε καὶ πνεύματος. Περὶ τούτων οὖν μόνων τῶν ἐσχάτων, ὡς εἴρηται, ζωῶν φησι τὸ τοῦ Δαβὶδ εἰρῆσθαι· «ἀντανελεῖς τὸ πνεῦμά σου καὶ ἐκλείψουσι καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ πνεῦμά σου καὶ κτισθήσονται καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς»· ἐπὶ γὰρ αἰσθητικῆς μόνης ψυχῆς καὶ τῆς φυτικῆς ζωῆς ταῦτα δέχεται τὰ θεῖα λόγια ὁ μέγας Διονύσιος· περὶ γὰρ τῆς τῶν νοητῶν ζωῆς ἢ τῆς καθ' ἡμᾶς οὐ νοεῖ ταῦτα· τὴν γὰρ ζωὴν ταύτην οὐσιωδῶς δημιουργήσας εἰς ἀθανασίαν ὁ Θεός, τοῖς νοητοῖς καὶ ταῖς ψυχαῖς ἡμῶν οὐκ ἂν ἀφέλοι αὐτῶν τὸ ζῆν· ἐπεὶ οὐσίαι ἔσονται, ἀλλὰ καὶ περὶ ζώων ἀπὸ γῆς ἀνανεουμένων φησὶν ὁ Δαβίδ, οὐ μὴν περὶ τούτων· καὶ περὶ τῆς ζωῆς δὲ τῶν ἑκουσίως ἀποβάντων δαιμόνων, ἐπάγει, ὅτι καὶ αὐτὴ διαμένει ἀνώλεθρος, τοῦ κτίσαντος αὐτοὺς Θεοῦ τοῦτο βουλομένου, κἂν αὐτοὶ ἀπέστησαν τοῦ Θεοῦ· «ἀμεταμέλητα γὰρ τὰ χαρίσματα τοῦ Θεοῦ», τοῦ ἐξ ἀρχῆς ποιήσαντος αὐτοὺς ἀθανάτους· ἔσχατον δὲ ἀπήχημα λέγει τὴν ἀμυδροτέραν μετοχὴν τῆς ζωῆς, καὶ οἷον εἰπεῖν, ὀλίγως μετέχουσαν ζωτικῆς δυνάμεως.

Ἧς ἀνταναιρουμένης: Τὸ μὲν ψαλμικὸν ῥητὸν περὶ ἀνθρώπων, καὶ τῆς τελευταίας καὶ κοινῆς ἀναστάσεως λέγει, ἣν μικρῷ πρόσθεν τρανότερον τίθησιν ὁ πατήρ· ἐνταῦθα δὲ τὸ ῥητὸν παρήγαγε, τὸν λόγον ποιούμενος περὶ πάντων τῶν ὁπωσοῦν ζῆν ἐχόντων, δεικνὺς μὴ ἄλλως ταῦτα ἢ ἐκ Θεοῦ τὸ ζῆν θεωρεῖσθαι ἐν αὐτοῖς. Τὸ δὲ «ἀνταναιρεῖσθαι» ἀντὶ τοῦ 'κεχωρίσθαι' τέθεικεν, ὥσπερ καὶ τὸ «ἐπιστρεφόμενα» ἀντὶ τοῦ 'μετέχοντα'. Ἀσθενεῖν δὲ ταῦτα πρὸς τὸ μετέχειν τῆς ζωῆς ταύτης φησί, διὰ τὸ μὴ οἴκοθεν καὶ παρ' ἑαυτῶν ἔχειν τὴν ζωήν, ἀλλ'

τῶν δὲν εἶναι θεῖες, ἀλλ' ἀποτελοῦνται ἀπὸ ἔνυλη φωτιὰ καὶ πνοή. Γι' αὐτὲς μονάχα τὶς ζωὲς τὶς ἔσχατες, ὅπως εἴπαμε, λέει ὅτι ἔχει πεῖ ὁ Δαβίδ· «θὰ πάρεις ἀπὸ αὐτὰ τὸ πνεῦμα σου καὶ θὰ ἐξαφανιστοῦν καὶ θὰ ἐπιστρέψουν στὴ γῆ τους. Θὰ τοὺς ἐξαποστείλεις τὸ πνεῦμα σου καὶ θὰ δημιουργηθοῦν καὶ θὰ ἀνανεώσεις τὸ πρόσωπο τῆς γῆς»[1]. Ὁ θεῖος Διονύσιος δέχεται αὐτὰ τὰ θεῖα λόγια μόνο γιὰ τὴν αἰσθητικὴ ψυχὴ καὶ τὴ φυτικὴ ζωή, καὶ δὲν τὰ ἐννοεῖ γιὰ τὴ ζωὴ τῶν νοητῶν καὶ τὴ δική μας. Γιατὶ αὐτὴ τὴ ζωή, ἐπειδὴ ὁ Θεὸς τὴ δημιούργησε γιὰ νὰ μείνει ἀθάνατη κατὰ τὴν οὐσία, δὲ θ' ἀφαιρέσει ἀπὸ τὰ νοητὰ καὶ τὶς ψυχές μας τὴ ζωή τους. Γιατὶ δὲ θὰ εἶναι οὔτε οὐσίες, ἐνῶ ὁ Δαβὶδ μιλάει γιὰ ζῶα ποὺ ἀνανεώνονται ἀπὸ τὴ γῆ, κι ὄχι βέβαια γι' αὐτές. Καὶ γιὰ τὴ ζωὴ ἐκείνων ποὺ κατέληξαν μὲ τὴ θέλησή τους δαίμονες προσθέτει, ὅτι κι αὐτὴ παραμένει ἀνώλεθρη, ἐπειδὴ αὐτὸ εἶναι τὸ θέλημα τοῦ Θεοῦ ποὺ τὶς δημιούργησε, ἂν καὶ βέβαια αὐτοὶ ἀποστάτησαν ἀπὸ τὸν Θεό. Γιατὶ «εἶναι ἀμεταμέλητα τὰ χαρίσματα τοῦ Θεοῦ»[2], ποὺ τοὺς ἔκανε ἀθάνατους ἀπὸ τὴν ἀρχή. 'Ἔσχατο ἀπήχημα' λέει τὴν ἀμυδρότερη μετοχὴ τῆς ζωῆς, αὐτὴν πού, ὅπως θὰ μπορούσαμε νὰ ποῦμε, μετέχει λίγη ζωτικὴ δύναμη.

Ἧς ἀνταναιρουμένης: Τὸ ψαλμικὸ βέβαια ρητὸ μιλάει γιὰ τοὺς ἀνθρώπους καὶ γιὰ τὴν τελευταία καὶ κοινὴ ἀνάσταση, ποὺ λίγο πιὸ πρὶν τὴν ἀναφέρει ἐντονότερα ὁ πατέρας αὐτός, ἐδῶ ὅμως ἀνέφερε τὸ ρητὸ κάνοντας λόγο γιὰ ὅλους ἐκείνους ποὺ ἔχουν κατὰ κάποιο τρόπο ζωή, δείχνοντας ὅτι δὲν νοεῖται νὰ ἔχουν ἀπὸ ἀλλοῦ τὴ ζωή, παρὰ μόνο ἀπὸ τὸν Θεό. Τὸ 'ἀνταναιρεῖσθαι', τὸ ἔθεσε ἀντὶ τοῦ 'κεχωρίσθαι' (ὅταν χωρισθεῖ), ὅπως καὶ τὸ 'ἐπιστρεφόμενα' ἀντὶ τοῦ 'μετέχοντα'. Καὶ μᾶς λέει ὅτι δὲν ἔχουν τὴ δύναμη νὰ μετέχουν αὐτὴ τὴ ζωή, ἐπειδὴ δὲν ἔχουν τὴ ζωὴ ἀπὸ μόνοι τους ἀπὸ τὸν ἑαυτό τους, ἀλλὰ παρα-

1. Ψαλμ. 103,29,30.
2. Ρωμ. 11,29.

ἐπακτὴν ἐκ Θεοῦ· τὰ γὰρ ὅσον ἐφ' ἑαυτῶν, οὐκ ἐν τῷ ζῆν θεωρούμενα, τῇ δὲ πρὸς τὸν Θεὸν ἀναθέσει τοῦτο ἔχοντα, τρόπον τινὰ ἀναζῇ, καὶ ὡς αὐτός φησι, πάλιν ζῶα γίνεται.

§ 2. Τὴν ὡς συμμίκτοις: Θαυμασίως πάντα τὰ δόγματα μετὰ ὀρθότητος διδάσκει. Τὸν γὰρ περὶ τῆς ἀναστάσεως τρόπον νῦν παραδιδούς, θνητοὺς μὲν ἡμᾶς ἀποφαίνει, ἅτε ἐξ ἀθανάτου ψυχῆς καὶ θνητοῦ σώματος ὄντας θνητούς, τὴν δὲ ζωὴν οὐσιώδη τῆς ψυχῆς ἐλάττονά φησι τῶν ἀγγελικῶν οὐσιῶν, παρ' ὅσον αὐτὴν καὶ ἀγγελοειδῆ ζωήν, οὐ μὴν ἀγγελικὴν ὀνομάζει, οὐχ ὡς αὐτοαγγελικήν, ἀλλὰ παρεμφερῆ· καὶ ἡμᾶς μὲν μερικῶς φησιν εἶναι τὰς λογικὰς ψυχάς, ὅλους δὲ ἡμᾶς τοὺς ἐκ ψυχῆς καὶ σώματος ὄντας· ἀπαθανατίζεσθαι δέ φησι τὰ σώματα ἡμῶν ἐν τῇ ἀναστάσει, φάσκων τὸ περὶ ἀναστάσεως δόγμα ἄπιστον δοκεῖν τῇ παλαιότητι, ἀντὶ τοῦ 'τῇ ἀνοήτῳ δόξῃ τῶν Ἑλλήνων', διὰ τὸ παρὰ φύσιν εἶναι τῆς ὕλης τὸ ἀπαθανατίζεσθαι. Παλαιότης δὲ λέγεται ἡ ἀνοησία· εἰ δὲ καὶ ὑπὲρ φύσιν τὸ πρᾶγμα τῆς ἀναστάσεως, οἷον πρὸς τὸν παρόντα βίον τὸν διὰ τροφῆς καὶ ἐκκρίσεως καὶ νόσων διεξαγόμενον, ἀλλὰ πρὸς τὸν Θεόν, οὐδὲν παρὰ φύσιν οὐδὲ ὑπὲρ φύσιν, ἐπειδὴ αὐτός ἐστιν ὁ πάσης ζωῆς αἴτιος.

Φημὶ καὶ τὰ συζυγῆ σώματα: Ὅτι καὶ τὰ σώματα ἡμῶν ἀθανασίας μετέχειν ὁ θεῖος βούλεται λόγος, κατὰ τὸν Ἀπόστολον· «δεῖ γὰρ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν».

Ὑπὲρ φύσιν: Τοῦτό φησι διὰ τὸ μόνῳ Θεῷ κατὰ φύσιν εἶναι τὸ ζωοῦν.

Σίμωνος ἀντιρρητικοὶ λόγοι: Σίμωνός φησιν ἀντιρρητικοὺς εἶναι λόγους κατὰ τοῦ δόγματος ἡμῶν τοῦ λέγοντος, 'τὸ σῶμα

χωρημένη ἀπὸ τὸν Θεό. Γιατί, ἐφόσον αὐτὰ δὲν θεωροῦνται ὅτι ἔχουν τὴ ζωὴ ἀπὸ τὸν ἑαυτό τους, ἀλλὰ τὴν ἔχουν δοσμένη ἀπὸ τὸν Θεό, ἀναζοῦν κατὰ κάποιο τρόπο, καί, ὅπως λέει ὁ ἴδιος γίνονται πάλι ζῶα (ἔνζωα).

§ 2. Τὴν ὡς συμμίκτοις: Μὲ θαυμάσια ὀρθότητα διδάσκει ὅλα τὰ δόγματα. Παραδίδοντάς μας δηλαδὴ τὸν τρόπο τῆς ἀνάστασης μᾶς παρουσιάζει θνητούς, ἐπειδὴ εἴμαστε σύνθετοι ἀπὸ ἀθάνατη ψυχὴ καὶ θνητὸ σῶμα, ἐνῶ ἡ ζωὴ τῆς ψυχῆς ποὺ ὡς πρὸς τὴν οὐσία εἶναι κατώτερη ἀπὸ τὴν ἀγγελικὴ ὕπαρξη, καθόσον αὐτὴ τὴν ὀνομάζει ἀγγελόμορφη ζωὴ καὶ ὄχι ἀγγελική, γιατὶ δὲν εἶναι ἀγγελικὴ ἀπὸ τὸν ἑαυτό της, ἀλλὰ παρόμοια μὲ τὴν ἀγγελική, καὶ ἐμεῖς μερικῶς, λέει, πὼς εἴμαστε ψυχὲς λογικές, συνολικὰ ὅμως λέει πὼς εἴμαστε ἀπὸ ψυχὴ καὶ σῶμα, ἀλλὰ τὰ σώματά μας, λέει, ἀποθανατίζονται κατὰ τὴν ἀνάσταση, διδάσκοντας ὅτι τὸ δόγμα τῆς ἀνάστασης φαινόταν ἀπίστευτο στὴν ἀρχαιότητα, ἀντὶ νὰ πεῖ στὴν ἀνόητη δοξασία τῶν Ἑλλήνων, ἐπειδὴ εἶναι ἀντίθετο μὲ τὴ φύση ν' ἀπαθανατίζεται ἡ ὕλη. Παλαιότητα λέγεται ἡ ἀνοησία. Ἂν τώρα τὸ γεγονὸς τῆς ἀνάστασης ξεπερνᾶ τὴ φύση σχετικὰ μὲ τὴν παροῦσα ζωὴ ποὺ τὴν περνοῦμε μὲ τροφὲς κι ἐκκρίσεις κι ἀσθένειες, ἀλλὰ σχετικὰ μὲ τὸν Θεὸ δὲν εἶναι καθόλου οὔτε ἀντίθετη οὔτε πάνω ἀπὸ τὴ φύση, ἐπειδὴ ὁ Θεὸς εἶναι ὁ αἴτιος κάθε ζωῆς.

Φημὶ καὶ τὰ συζυγῆ σώματα: Ὅτι δηλαδὴ θεῖος λόγος θέλει καὶ τὰ σώματά μας νὰ μετέχουν τὴν ἀθανασία, σύμφωνα μὲ τὸν Ἀπόστολο, ποὺ λέει· «εἶναι ἀνάγκη κι αὐτὸ τὸ θνητὸ σῶμα νὰ ντυθεῖ ἀθανασία»[3].

Ὑπὲρ φύσιν: Αὐτὸ τὸ λέει, ἐπειδὴ μόνον ὁ Θεὸς ἔχει στὴ φύση του νὰ παρέχει ζωή.

Σίμωνος ἀντιρρητικοὶ λόγοι: Τοῦ Σίμωνα, λέει, οἱ λόγοι εἶναι ἀντιρρητικοὶ κατὰ τῆς διδασκαλίας μας, ποὺ κηρύττει ὅτι τὸ

3. Α' Κορ. 15,53.

ἡμῶν ἀνίστασθαι καὶ ἀθανατίζεσθαι', ὡς παρὰ φύσιν ὄντος τοῦ πράγματος. Οἱ δὲ εἰρηκότες κατὰ Σίμωνος καὶ περὶ τούτων αὐτὸν ἐλέγχουσιν Εἰρηναῖος καὶ Ὠριγένης καὶ Ἱππόλυτος καὶ Ἐπιφάνιος. Ὁ δὲ μέγας Διονύσιος θείως ἐκλύει τὸ λεγόμενον παρὰ Σίμωνος, παρὰ φύσιν εἶναι τὴν ἀνάστασιν τῶν σωμάτων· τῷ γὰρ Θεῷ οὐδενὸς ὄντος ἐναντίου, πῶς ἔσται τι παρὰ φύσιν; Τὸ δὲ οἴεσθαί τινα ἐκ φανερῶν καὶ αἰσθητῶν τούτων τὰς ἀποδείξεις πορίζεσθαι κατὰ τῆς ἀκαταλήπτου καὶ πᾶσαν ἀφανοῦς αἰτίας τῶν πάντων, τουτέστι κατὰ τοῦ Θεοῦ, τοῦτό ἐστι ἀληθῶς παρὰ φύσιν· τὰ γὰρ δοξαστὰ καὶ νοητὰ πῶς ἀνατρέψει τὸ ὑπὲρ πᾶσαν αἴσθησιν καὶ νόησιν;

Τῷ προφανεῖ τῆς αἰσθήσεως: Οὐ χρή, φησί, διὰ τὰ τῇ αἰσθήσει ληπτὰ ἀπιστεῖν τοῖς περὶ Θεοῦ λόγοις, ὅς ἐστιν ἡ πάντων ἀφανὴς αἰτία. Κυρίως γὰρ τοῦτό ἐστι παρὰ φύσιν εἰπεῖν, τὸ ἀθετεῖν τὰ ὑπὲρ αἴσθησιν, διὰ τὸ τῶν αἰσθητῶν προφανές.

§ 3. Εἴτε λογικήν, εἴτε αἰσθητικήν, εἴτε θρεπτικήν: Σημείωσαι, πῶς διαιρεῖ τὰ περὶ ζωῆς μεθεκτῆς· ζωῆς γὰρ ἀρχήν φησιν, οἷον τὴν ἡμετέραν ψυχὴν καὶ τὴν αἰσθητικὴν δέ· αὗται γὰρ ἀρχαί εἰσι ζωῆς τοῖς δι' αὐτῶν ἀρχομένοις εἰς ζωὴν κινεῖσθαι σώμασι· ζωῆς δὲ οὐσίαι αἱ νοηταὶ δυνάμεις καὶ αἱ ἡμέτεραι ψυχαί· τὴν γὰρ οὐσίαν ζωὴν οὖσαν ἔχουσιν, οἷον ὕλην τινὰ καὶ ὑποκείμενον καὶ αὐτοεῖδος, ὅ ἐστι ζωῆς ὑπάρχουσαν· διὸ καὶ ζωοῦσι τὰ σώματα, ὡς ἔφην, αἱ ψυχαί. Ὁ οὖν Θεός, ὡς αἴτιος καὶ συμπληρωτικὸς τῆς ζωῆς ἡμῶν, ὡς συνοχεὺς καὶ διαιρετικός, ὡς τὰς διαφορὰς πάσης ζωῆς διατάξας, νοητῶν, λογικῶν, αἰσθητικῶν, αὐξητικῶν, ἀρχὴ πάντων ἐστίν· ὥστε, ἐπειδὴ ἄνω εἶπε καὶ τὸν ἥλιον ζωὴν διδόναι καὶ τρέφειν πάντα, μὴ νοήσης, ὅτι ἀφ' ἑαυτοῦ τοῦτο ἔχει, ἀλλ' ἐκ τῆς πάντων ἀρχῆς καὶ αἰτίας.

σῶμα ἀνασταίνεται καὶ ἀθανατίζεται, γιατὶ τάχα τὸ πράγμα εἶναι ἀντίθετο μὲ τὴ φύση. Αὐτοὶ ποὺ μίλησαν ἐναντίον τοῦ Σίμωνα καὶ τὸν ἐλέγχουν γι' αὐτὰ εἶναι ὁ Εἰρηναῖος, ὁ Ὠριγένης, ὁ Ἱππόλυτος καὶ ὁ Ἐπιφάνιος. Ἐνῶ ὁ μέγας Διονύσιος ἀντικρούει τὴ γνώμη τοῦ Σίμωνα ὅτι ἡ ἀνάσταση τῶν σωμάτων εἶναι παραφύση. Ἀφοῦ τίποτε δὲν εἶναι ἀντίθετο στὸν Θεό, πῶς θὰ εἶναι κάτι παρὰ φύση; Τὸ νὰ νομίζει ὅμως κάποιος, ὅτι ἀπὸ φανερὰ καὶ αἰσθητὰ πράγματα πορίζεται τὶς ἀποδείξεις κατὰ τῆς ἀκατάληπτης καὶ ἀφανοῦς σὲ ὅλους αἰτίας τῶν πάντων, δηλαδὴ κατὰ τοῦ Θεοῦ, αὐτὸ εἶναι τὸ πραγματικὸ παρὰ φύση. Γιατὶ πῶς, ὅσα νομίζομε καὶ σκεπτόμαστε, θ' ἀνατρέψουν αὐτὸ ποὺ ξεπερνᾶ κάθε αἴσθηση καὶ νόηση;

Τῷ προφανεῖ τῆς αἰσθήσεως: Δὲν πρέπει, λέει, ἐξαιτίας ἐκείνων ποὺ συλλαμβάνονται ἀπὸ τὴν αἴσθηση ν' ἀπιστοῦμε στοὺς λόγους περὶ Θεοῦ, ποὺ εἶναι ἡ ἀφανὴς αἰτία ὅλων. Γιατὶ τὸ παρὰ φύση εἶναι κυριολεκτικὰ τοῦτο, ν' ἀθετεῖ κανεὶς τὰ ὑπερφυσικὰ ἐξαιτίας τοῦ ὁλοφάνερου τῶν αἰσθητῶν.

§ 3. Εἴτε λογικήν, εἴτε αἰσθητικήν, εἴτε θρεπτικήν: Σημείωσε πῶς διαιρεῖ τὴ ζωὴ ποὺ μετέχεται. Ἀρχὴ τῆς ζωῆς λέει, γιὰ παράδειγμα τὴν ψυχὴ σ' ἐμᾶς καὶ τὴ ζωὴ τῶν αἰσθητῶν. Γιατὶ αὐτὲς εἶναι οἱ ἀρχὲς τῆς ζωῆς γιὰ τὰ σώματα ποὺ μὲ αὐτὲς ἀρχίζουν νὰ κινοῦνται πρὸς τὴ ζωή. Οὐσίες πάλι τῆς ζωῆς εἶναι οἱ νοητὲς δυνάμεις καὶ οἱ δικές μας ψυχές, γιατὶ ἔχουν τὴν οὐσία ποὺ εἶναι ζωή, ποὺ εἶναι σὰν μιὰ ὕλη κι ἕνα ὑποκείμενο καὶ αὐτοεῖδος τῆς ζωῆς. Γι' αὐτὸ καὶ οἱ ψυχὲς ζωοποιοῦν τὰ σώματα, ὅπως εἶπα. Ὁ Θεὸς λοιπὸν ὡς αἴτιος καὶ συμπληρωτὴς τῆς ζῆς μας, ποὺ τὴ συνέχει καὶ τὴ διαιρεῖ, ἐπειδὴ καθόρισε τὶς διαφορὲς κάθε ζωῆς, εἶναι ἡ ἀρχὴ ὅλων, τῶν νοητῶν, τῶν λογικῶν, τῶν αἰσθητῶν, τῶν αὐξητικῶν. Ὥστε, ἐπειδὴ καὶ πιὸ πάνω εἶπε, ὅτι ὁ ἥλιος δίνει ζωὴ καὶ τρέφει τὰ πάντα, μὴ σκεφθεῖς ὅτι αὐτὸ τὸ ἔχει ἀπὸ τὸν ἑαυτό του, ἀλλὰ τὸ ἔχει ἀπὸ τὴν ἀρχὴ καὶ αἰτία τῶν ὅλων.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ Ζ΄

§ 1. Ὑπὲρ πᾶσαν σοφίαν: Εἰσί τινες τῶν ἀκαίρων φιλοσόφων λέγοντες, ὅτι, Ἐὰν βούλησθε τὸν Θεὸν λέγειν ὑπὲρ πᾶσαν σοφίαν καὶ σύνεσιν, ποιεῖτε αὐτὸν ἄσοφον καὶ ἀσύνετον. Πρὸς οὓς λεκτέον· Ὁ Θεὸς ἡμῶν ὑπὲρ πάντα τὰ νοούμενα καὶ ὄντα ἐστίν. Εἴτε οὖν σοφία, εἴτε σύνεσις, εἴτε ζωή, εἴτε ὑπόστασις, εἴτε ὕπαρξις, εἴτε οὐσία νοεῖται παρ' ἡμῶν, ὑπὲρ ταῦτα πάντα ἐστίν, οὐχ ὡς μὴ μετέχων αὐτῶν (τοῦτο γὰρ ἀνόητον· ὁ γὰρ αἴτιος τῶν γινομένων πῶς οὐ μετέχει τῶν ἐξ αὐτοῦ;), ἀλλ' ὡς τῶν πάντων ἐξ αὐτοῦ προελθόντων καὶ τῆς αὐτοῦ μετεχόντων ὁλότητος· πᾶν γὰρ τὸ μετεχόμενον ἀρχαιότερόν ἐστι τῶν ἐξ αὐτοῦ. Διὸ καὶ ὤν, καὶ αἰὼν κυρίως, καὶ χρόνος ὀνομάζεται, ὡς καὶ τοὺς αἰῶνας καὶ τοὺς χρόνους ποιήσας· οὕτως οὖν καὶ ἐπὶ τῆς σοφίας καὶ τῆς ζωῆς λεκτέον, ὅτι καὶ αὐτῶν ἐστι δημιουργός· εἰ γὰρ ταῦτα ἄλλως ἔχειν εἴπωμεν, εὑρίσκεται ὁ Θεὸς ὕστερον σοφισθεὶς ἢ συνετισθείς, ὅπερ τῆς αὐτῶν ἐστι τόλμης, οὐχ ἡμέτερον· μὴ γένοιτο!

Καὶ τοῦ καθηγεμόνος ἥλιος: Σημείωσαι, ὅτι ἥλιον ἑαυτοῦ καὶ τοῦ ἁγίου Ἱεροθέου τὸν ἀπόστολον Παῦλόν φησι. Σημείωσαι δέ, πῶς ἔλαβεν ὁ πατὴρ τὸ ῥητὸν τοῦ Ἀποστόλου· ὁ γὰρ Χρυσόστομος καὶ οἱ λοιποὶ τῶν Πατέρων περὶ τοῦ σταυροῦ αὐτὸ ἔλαβον.

Καὶ σύνηθές ἐστι τοῖς θεολόγοις: Τὸ εἰρημένον ἔθος εἶναι τοῖς θεολόγοις ἀντιπαθῶς ἐπὶ Θεοῦ τὰς στερήσεις ἐκφέρειν, οὕτως ἂν νοήσαιμεν· βουλόμενοι γὰρ ἐκεῖνοι τὸ φῶς τὸ θεῖον ὅσον οἷόν τε παριστᾶν, ὅτι ἀπροσπέλαστον καὶ ἀκατόπτευτον, ᾧ μὴ δύναται προσβαλεῖν μηδέν, μήτε ἄϋλον, μήτε αἰσθητόν, σκότος ὠνόμασαν, ὡς τό· «ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ»,

ΣΤΟ ΚΕΦΑΛΑΙΟ 7

§ 1. Ὑπὲρ πᾶσαν σοφίαν: Ὑπάρχουν κάποιοι φιλόσοφοι παράκαιροι ποὺ λένε, Ἂν θέλετε νὰ λέτε τὸν Θεὸ πάνω ἀπὸ κάθε σοφία καὶ σύνεση, κάνετέ τον ἄσοφο κι ἀσύνετο. Σ' αὐτοὺς πρέπει νὰ ποῦμε· Ὁ Θεός μας εἶναι πάνω ἀπὸ ὅλα ὅσα νοοῦνται καὶ ὑπάρχουν. Εἴτε λοιπον τὸν νοοῦμε ὡς σοφία, εἴτε ὡς σύνεση, εἴτε ζωή, εἴτε ὑπόσταση, εἴτε ὕπαρξη, εἴτε οὐσία, εἶναι πάνω ἀπὸ ὅλα αὐτά, ὄχι γιατὶ δὲν μετέχει σ' αὐτὰ (γιατὶ αὐτὸ εἶναι ἀνοησία· πῶς δηλαδὴ δὲν μετέχει στὰ δημιουργήματα αὐτὸς ποὺ τὰ δημιούργησε;), ἀλλὰ γιατὶ ὅλα προῆλθαν ἀπὸ αὐτὸν καὶ μετέχουν τὴν ὁλότητά του· γιατὶ κάθετι ποὺ μετέχεται, εἶναι ἀρχαιότερο ἀπὸ ὅσα τὸ μετέχουν. Γι' αὐτὸ κι ὀνομάζεται κύρια καὶ ὢν καὶ αἰώνας καὶ χρόνος, ἐπειδὴ δημιούργησε καὶ τοὺς αἰῶνες καὶ τοὺς χρόνους. Τὰ ἴδια πρέπει νὰ ποῦμε καὶ γιὰ τὰ ὀνόματα τῆς σοφίας καὶ τῆς ζωῆς, ἐπειδὴ εἶναι δημιουργὸς κι αὐτῶν. Ἂν δηλαδὴ ποῦμε γι' αὐτὰ ὅτι εἶναι διαφορετικά, βρίσκεται ὁ Θεὸς ὅτι ἔχει γίνει σοφὸς καὶ συνετὸς ἀργότερα, πράγμα ποὺ εἶναι δική τους θρασύτητα ὄχι δική μας. Μὴ γένοιτο!

Καὶ τοῦ καθηγεμόνος ἥλιος: Σημείωσε, ὅτι ἥλιο δικό του καὶ τοῦ ἁγίου Ἱεροθέου δηλώνει τὸν ἀπόστολο Παῦλο. Σημείωσε ἐπίσης πῶς ἐννόησε τὸ ρητὸ τοῦ Ἀποστόλου ὁ θεῖος αὐτὸς πατέρας. Ὁ Χρυσόστομος δηλαδὴ καὶ οἱ λοιποὶ Πατέρες ἐξέλαβαν αὐτὸ ὅτι λέγεται γιὰ τὸ σταυρό.

Καὶ σύνηθές ἐστι τοῖς θεολόγοις: Τὸ λόγο ὅτι εἶναι συνήθεια τῶν θεολόγων νὰ διατυπώνουν τὶς στερήσεις προκειμένου γιὰ τὸν Θεὸ κατὰ ἐναντιότητα, πρέπει νὰ τὸν ἐννοήσομε ὡς ἑξῆς· Θέλοντας δηλαδὴ ἐκεῖνοι νὰ παραστήσουν ὅσο τὸ δυνατὸν καλύτερα τὸ θεῖο φῶς πὼς εἶναι ἀπροσπέλαστο κι ἀδύνατο νὰ κατοπτευθεῖ, τὸ ὁποῖο δὲν μπορεῖ νὰ προσεγγίσει κανένα ὄν, οὔτε ἄυλο, οὔτε αἰσθητό, τὸ ὀνόμασαν σκότος, ὅπως ὁ λόγος ποὺ λέει, «ἔκανε τὸ σκότος τόπο γιὰ νὰ κρυφτεῖ»[1], ποὺ ὁ θεῖος

1. Ψαλμ. 17,12.

ὅπερ ὁ θεῖος Ἀπόστολός φησι, «Φῶς οἰκῶν ἀπρόσιτον»· ᾧ γὰρ μηδὲν πρόσεισιν, ὅμοιόν ἐστι τῷ μὴ ὁρῶντι ὑπεροχικῶς σκότῳ. Πάλιν εἴρηται· «ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, λίαν ἐκραταιώθη, οὐ δύνωμαι πρὸς αὐτήν». Ὥσπερ οὖν ἡ ἀκατάληπτος καὶ ἀπερινόητος ἀκράτως τοῦ Θεοῦ γνῶσις ἀγνωσίᾳ παρεικάζεται τῇ ὑπερούσῃ πᾶσαν ἐν κτιστοῖς γνῶσιν (ἡ γὰρ περὶ Θεὸν ἀγνωσία τῶν περὶ τὰ θεῖα σοφῶν οὐκ ἔστιν ἀμαθία, ἀλλὰ γνῶσις, σιγῇ γινώσκουσα, ὅτι ἐστὶν ἄγνωστος ὁ Θεός), οὕτως οὖν καὶ κένωσιν καλοῦσι τοῦ Θεοῦ Λόγου τὴν ἐνανθρώπησιν, καίτοι πλήρη τυγχάνουσαν, μᾶλλον δὲ ὑπερπλήρη σοφίας καὶ δυνάμεως καὶ σωτηρίας· ἀλλὰ καὶ ἀσθένειαν Θεοῦ τὸ διὰ σταυροῦ τρόπαιον ὀνομάζουσιν, οἷον ἐπειδὴ θανάτῳ αἱ πονηραὶ καὶ ἀόρατοι δυνάμεις τοῦ διαβόλου κατελύθησαν, καὶ ἀντὶ θανάτου ἀνάστασις νεκρῶν καὶ βασιλεία οὐρανῶν ἀντεισήχθη· τοῦτον οὖν τὸν τρόπον καὶ μωρία Θεοῦ, ἡ πᾶσαν σοφίαν καὶ ἐπιστήμην ὑπεραίρουσα τῶν ἀνθρώπων σύνεσις τοῦ Θεοῦ. Νοῆσαι δὲ ἄν τις τὸ λεγόμενον, ἐννοῶν τοὺς ἀπὸ τῶν αἱρέσεων, μεθ' ὧν καὶ τοὺς Ἕλληνας, οἳ συλλογισμοῖς αἰσθητοῖς ἀποδεικνύναι φαντάζονται Θεοῦ σάρκωσιν ἀδύνατον εἶναι μέχρι θανάτου οἰκονομηθεῖσαν. Πρὸς οὓς ἐννοῶν ὁ θειότατος Παῦλος ἰλιγγιάσας ἀνέκραγεν· «ὦ βάθος πλούτου καὶ σοφίας Θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ». Τὸ οὖν ὑπεραῖρον πάσης κτιστῆς σοφίας μέθοδον ἴσον ἂν εἴη τοῖς οὐ θεοδιδάκτοις μωρίας λόγοις. Λόγοις γὰρ οὐκ ἂν ἐξομαλισθείη, ἢ δι' αἰσθητῶν ἀποδείξεων τὸ μυστήριον, πίστεως οὐ προηγουμένης.

Ἀντιπεπονθότως ἐπὶ Θεοῦ: Ἀντιπεπονθότως, τουτέστιν

---

2. Α' Τιμ. 6,16.

Ἀπόστολος τὸ εἶπε, «κατοικώντας τὸ ἀπρόσιτο φῶς»[2]. Γιατὶ αὐτὸ ποὺ τίποτε δὲν τὸ πλησιάζει, εἶναι ὅμοιο κατὰ ὑπεροχὴ μὲ τὸ ἀθάνατο σκοτάδι. Καὶ ἀλλοῦ λέει· «προκάλεσε τὸ θαυμασμό μου ἡ γνώση σου, ἡ δύναμή της ἰσχυρότατη, καὶ στέκομαι ἀνήμπορος μπροστά της»[3]. Ὅπως λοιπὸν ἡ ἀκατάληπτη καὶ τελείως ἀπερινόητη γνώση τοῦ Θεοῦ παρομοιάζεται μὲ τὴν ἀγνωσία ποὺ εἶναι πάνω ἀπὸ ὅλη τὴ μέσα στὰ κτίσματα γνώση, γιατὶ ἡ σχετικὴ μὲ τὸν Θεὸ ἀγνωσία τῶν σοφῶν στὰ θεῖα δὲν εἶναι ἀμάθεια, ἀλλὰ γνώση, ποὺ γνωρίζει σιωπηλά, ὅτι ὁ Θεὸς εἶναι ἄγωστος, ἔτσι καὶ τὴν ἐνανθρώπηση τοῦ Θεοῦ Λόγου τὴν καλοῦν κένωση, ἂν καὶ βέβαια εἶναι γεμάτη καὶ μᾶλλον ὑπερπλήρης ἀπὸ σοφία, δύναμη καὶ σωτηρία. Ἀλλὰ καὶ τὸ τρόπαιο τοῦ σταυροῦ τὸ ὀνομάζουν ἀσθένεια τοῦ Θεοῦ, ἐπειδὴ κατατροπώθηκαν μὲ θάνατο οἱ πονηρὲς καὶ ἀόρατες δυνάμεις τοῦ διαβόλου, καὶ τὴ θέση τοῦ θανάτου τὴν πῆρε ἡ ἀνάσταση τῶν νεκρῶν καὶ ἡ βασιλεία τῶν οὐρανῶν. Μὲ τὸν ἴδιο τρόπο ὀνομάσθηκε καὶ 'μωρία Θεοῦ' ἡ σύνεση τοῦ Θεοῦ, ποὺ ὑπερβαίνει κάθε σοφία καὶ ἐπιστήμη τῶν ἀνθρώπων. Θὰ κατανοήσει κανεὶς αὐτὸ ποὺ λέγω, ἔχοντας ὑπόψει ὅσους προέρχονται ἀπὸ τὶς αἱρέσεις, καὶ μαζί τους καὶ τοὺς Ἕλληνες, ποὺ μὲ συλλογισμοὺς ἀπὸ τὶς αἰσθήσεις φαντάζονται ὅτι ἀποδεικνύουν πὼς ἡ σάρκωση τοῦ Θεοῦ εἶναι ἀδύνατον νὰ ἔχει οἰκονομηθεῖ ὡς τὸ θάνατο. Σκεπτόμενος ἀντίθετα μ' αὐτοὺς ὁ θεϊκότατος Παῦλος καὶ νιώθοντας ἴλιγγο φώναξε· «πὼ πὼ βάθος πλούτου καὶ σοφίας Θεοῦ, πόσο ἀνεξερεύνητες εἶναι οἱ ἀποφάσεις του»[4]. Ὅ,τι ξεπερνᾶ τὴ μέθοδο κάθε κτιστῆς σοφίας θὰ ἦταν ἴσο μὲ τοὺς λόγους τῆς μωρίας ποὺ δὲν δίδαξε ὁ Θεός. Γιατὶ δὲ θὰ λυθεῖ μὲ λόγους ἢ μὲ αἰσθητὲς ἀποδείξεις τὸ μυστήριο, ἐὰν δὲν προηγεῖται ἡ πίστη.

Ἀντιπεπονθότως ἐπὶ Θεοῦ: Ἀντιπεπονθότως, δηλαδὴ κατ'

---

3. Ψαλμ. 138,6.
4. Ρωμ. 11,33.

ἀντιπεριτροπὴν τοῦ Λόγου πάσχοντος· διὰ τῶν τὰς στερήσεις δηλουσῶν ἀποφάσεων, ἡ περὶ Θεοῦ ὑπεροχὴ δηλοῦται, ὅπερ ἐν ἑτέρῳ 'δύναμιν ὑπεροχικῆς ἀποφάσεως' εἴρηκε.

Τὸ φαινόμενον ἐν αὐτῇ παράλογον: Καὶ γὰρ τὸ κατὰ τὸν σταυρὸν πάθος, καὶ τὸ λέγειν Θεὸν παθόντα σαρκί, καὶ παράλογον δοκεῖ καὶ ἄτοπον, ὅπερ τὴν ὄντως ἐδήλου ἀλήθειαν. Σημείωσαι, πῶς νοεῖ ὁ πατὴρ τὸ τοῦ Ἀποστόλου ῥητόν· ὁ γὰρ Χρυσόστομος καὶ οἱ λοιποὶ τῶν Πατέρων περὶ τοῦ σταυροῦ τοῦτο ἐξέλαβον.

Ἐνειλούμενοι. Ἐν ἄλλοις ἐνιλλόμενοι, τουτέστιν ἐπιστρεφόμενοι, ἐγκαλινδούμενοι. Δείκνυσι δὲ διὰ τούτων, ὅτι οὐ δεῖ τὰ θεῖα τοῖς ἀνθρωπίνοις παραβάλλειν.

Τὴν μὲν ἔχει δύναμιν: Καὶ ἀνωτέρω εἴπομεν, ὅτι, ὁ νοῦς νοεῖν βουλόμενος, κάτεισιν ἑαυτοῦ εἰς τὰς νοήσεις καταβαίνων· αἱ γὰρ νοήσεις κατώτεραί εἰσι τοῦ νοοῦντος, ὡς νοούμεναι καὶ καταλαμβανόμεναι, καὶ σκεδασμὸς εἰκότως καὶ μερισμὸς τῆς ἑνότητος τοῦ νοῦ αὐτοῦ· ὁ μὲν γὰρ νοῦς ἁπλοῦς καὶ ἀμερής, αἱ δὲ νοήσεις παμπληθεῖς καὶ σκεδασταί, καὶ οἷον εἴδη τοῦ νοῦ· διὰ τοῦτο τὰ νοερά, τουτέστι τὰ νοοῦντα, ἐλάττονά εἰσι τῶν νοητῶν, ἀντὶ τοῦ, τῶν νοουμένων. Ἕνωσιν δέ φησι τοῦ νοῦ, καθὼς ἐν τοῖς ἑξῆς σαφέστερον λέγει, δι' ἧς πρὸς τὰ ἐπέκεινα ἑαυτοῦ ἀνατείνεται, ἤγουν τῇ περὶ Θεοῦ προσβάλλει θεωρίᾳ, τῷ πάντων ἐκστῆναι τῶν αἰσθητῶν καὶ τῶν νοητῶν, ἔτι δὲ καὶ τῆς οἰκείας κινήσεως, εἶθ' οὕτω τῆς θείας γνώσεως δέξασθαι τὴν ἀκτῖνα.

Ταύτην οὖν τὴν ἄλογον: Ἐνταῦθα μάλιστα τρανοῖ, πῶς μωρία τοῦ Θεοῦ, τὸ ὑπέρσοφον τῆς περὶ Θεοῦ ἀκαταληψίας μέγεθος· φησὶ γὰρ ὅτι τῷ αἰσθητῷ περικεκλεισμένοι, τὸ περὶ ἀϋλίας καὶ ὑπερουσιότητος φέρε εἰπεῖν τοῦ Θεοῦ κατεξετάζον-

ἀμοιβαιότητα, κατὰ τρόπο ἀντιθετικό, δηλαδὴ μὲ ἀντίθετη σημασία, ἐνῶ παθαίνει ὁ Λόγος. Μὲ τὶς ἀρνήσεις δηλαδὴ ποὺ δηλώνουν τὶς στερήσεις δηλώνεται ἡ ὑπεροχὴ τοῦ Θεοῦ, πράγμα ποὺ σὲ ἄλλο σημεῖο τὸ ἔχει χαρακτηρίσει 'δύναμη ἄρνησης ὑποροχικῆς'.

Τὸ φαινόμενον ἐν αὐτῇ παράλογον: Τὸ σταυρικὸ δηλαδὴ πάθος καὶ ἡ παραδοχὴ ὅτι ἔπαθε κατὰ σάρκα ὁ Θεός, καὶ παράλογο φαίνεται, καὶ ἀντιφατικό, πράγμα ποὺ δήλωνε τὴν πραγματικὴ ἀλήθεια. Σημείωσε πῶς ὁ πατέρας ἐννοεῖ τὴ ρήση τοῦ Ἀποστόλου. Γιατὶ ὁ Χρυσόστομος καὶ οἱ ἄλλοι Πατέρες θεώρησαν ὅτι αὐτὸ λέγεται γιὰ τὸ σταυρό.

Ἐνειλούμενοι. Ἄλλα χειρόγραφα ἔχουν ἐνιλλόμενοι, δηλαδὴ περιστρεφόμενοι. Μὲ αὐτὰ δείχνει ὅτι δὲν πρέπει νὰ συγκρίνονται τὰ θεῖα μὲ τ' ἀνθρώπινα.

Τὴν μὲν ἔχειν δύναμιν: Καὶ πιὸ πάνω εἴπαμε, ὅτι ὁ νοῦς, θέλοντας νὰ νοήσει, κατεβαίνει ἀπὸ τὸν ἑαυτό του στὶς νοητικὲς λειτουργίες, (νοήσεις) σκέψεις. Γιατὶ οἱ νοήσεις (σκέψεις) εἶναι κατώτερες ἀπὸ αὐτὸν ποὺ νοεῖ, ἐπειδὴ νοοῦνται καὶ κατανοοῦνται, καὶ γίνεται εὔλογα ἕνας διασκορπισμὸς τοῦ νοῦ τοῦ ἴδιου. Ὁ νοῦς δηλαδὴ εἶναι ἁπλὸς καὶ δίχως μέρη, ἐνῶ οἱ νοήσεις (σκέψεις) εἶναι πλῆθος ἄπειρο καὶ διασκορπίζονται καὶ κατὰ κάποιο τρόπο εἶναι εἴδη τοῦ νοῦ. Γι' αὐτὸ τὰ νοερά, δηλαδὴ αὐτὰ ποὺ νοοῦν, εἶναι λιγότερα ἀπὸ τὰ νοητά, δηλαδὴ ἀπὸ τὰ νοούμενα. Ἕνωση ὅμως τοῦ νοῦ, ὅπως διευκρινίζει στὰ παρακάτω, ἐννοεῖ αὐτὴν μὲ τὴν ὁποία ἀνατείνει πρὸς τὰ πέρα ἀπὸ τὸν ἑαυτό του, δηλαδὴ προσεγγίζει τὴ θεωρία τοῦ Θεοῦ, ἀφοῦ ἀπομακρυνθεῖ ἀπὸ ὅλα τὰ αἰσθητὰ καὶ τὰ νοητά, κι ἀκόμα κι ἀπὸ τὴν ἴδια τὴ λειτουργία του, ὥστε ἔτσι νὰ δεχθεῖ στὴ συνέχεια τὴν ἀκτίνα τῆς θείας γνώσης.

Ταύτην οὖν τὴν ἄλογον: Ἐδῶ διασαφηνίζει περίλαμπρα πῶς εἶναι μωρία τοῦ Θεοῦ τὸ πάνω ἀπὸ κάθε σοφία μέγεθος τῆς ἀκαταληψίας τοῦ Θεοῦ. Γιατὶ λέει ὅτι, ὄντας ἐγκλωβισμένοι μέσα στὸ αἰσθητό, ὅταν ἐξετάζομε τὴ διδασκαλία λόγου χάρη

τες δόγμα, πλανώμεθα, ἐκ τῶν αἰσθητῶν ἐκεῖνα σταθμώμενοι· οἷον τὸ περὶ Τριάδος τῆς μόνης προσκυνητῆς διεξιόντες κήρυγμα, καὶ τρισυπόστατον ἀμέριστον καὶ ἀδιαίρετον ἀκούοντές τινες θεολογίαν, εὐθὺς ἰλιγγιῶσιν, εἰς τὰ σώματα προσέχοντες, καὶ τόπου δεόμενα καὶ διαστημάτων, λέγοντες, Πῶς οἷόν τε τρεῖς ὑποστάσεις ὑφ' ἑαυτῶν εἶναι, καὶ ἀδιαιρέτους εἶναι; Καὶ γὰρ ἀγνοοῦσι μωραίνειν ἐν τοῖς αἰσθητοῖς, ἵνα τὰ θεῖα σοφισθῶσι, καὶ τοιαῦτα ἕτερα μυρία, πρὸς οὓς ὁ Κύριος ἀποτείνεται· «εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν καὶ οὐ πιστεύετε, πῶς, ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια πιστεύσετε;»· καὶ ὁ θεῖος Παῦλος λέγει, ὅτι «ὁ ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος· μωρία γὰρ αὐτῷ ἐστιν». Ὥστε οὖν ἡ παρὰ ἀνθρώποις μωρία τοῦ Θεοῦ τὰ πνευματικά εἰσιν, ἅτινα μεταδιωκτέον· μωρὰν γὰρ σοφίαν εἶπε, τῷ μηδεμίαν αὐτῇ δύνασθαι προσβάλλειν σοφίαν· ὥσπερ οὖν καὶ ἄλογον καὶ ἄνουν, ὡς μὴ ἔχουσαν λόγον ἢ νοῦν ἑρμηνευτικόν, ἤγουν καταληπτικὸν αὐτῆς.

§ 2. Ἐξ αὐτῆς αἱ νοηταί: Σημείωσαι, ὡς καὶ ἐν ἄλλοις νοηταί εἰσι καὶ νοεραὶ δυνάμεις· καὶ εἰκότως ἐν αὐτοῖς εἰσιν οἱ αὐτοὶ καὶ νοητοὶ καὶ νοεραί, ὥσπερ αἱ ἄνω τάξεις· νοηταὶ μὲν καθ' ὃ ἐκ τῶν ὑποβεβηκότων νοοῦνται, νοεραὶ δέ, καθ' ὃ καὶ ἀνώταταί εἰσι, καὶ τὸν ὑπὲρ πάντα Θεὸν νοεῖν, ὅσον ἐφικτόν, ἀνατείνονται, ἄνωθεν μὲν τρεφόμεναι τῇ νοήσει, τρέφουσαι δὲ τοὺς ὑφειμένως νοοῦντας. Αἱ γὰρ ἡμέτεραι ψυχαὶ νοεραὶ μόνον· νοοῦσαι γὰρ ἐπιστητῶς, ὅσον οἷόν τε, τὰ ὑπερβεβηκότα, οὐκέτι ἔχουσι νοερόν τι μετὰ ταύτας, ἵνα καὶ νοηθῶσιν· ἡ ἄλογος γὰρ καὶ ἄνους ψυχὴ μεθ' ἡμᾶς, αἱ δὲ νοήσεις τῶν θείων νοῶν οὐκ

---

5. Ἰω. 3,12. 6. Α Κορ. 2,14.

γιὰ τὴν ἀυλία καὶ ὑπερουσιότητα τοῦ Θεοῦ, κάνομε λάθος ζυγίζοντας ἐκεῖνα μὲ τὰ σταθμὰ τῶν αἰσθητῶν. Γιὰ παράδειγμα, ἐξετάζοντας τὴ διδαχὴ γιὰ τὴν Τριάδα, τὴν μόνη προσκυνητή, κι ἀκούγοντας μερικοὶ τὴ θεολογία ποὺ μιλάει γιὰ Τριάδα τρισυπόστατη, ἀμέριστη καὶ ἀδιαίρετη, καταλαμβάνονται ἀμέσως ἀπὸ ἴλιγγο, ἐπειδὴ προσέχουν στὰ σώματα, ποὺ ἔχουν ἀνάγκη ἀπὸ τόπο καὶ διαστήματα, καὶ λένε· 'Πῶς εἶναι δυνατὸν νὰ ὑπάρχουν ἀπὸ τὸν ἑαυτό τους τρεῖς ὑποστάσεις καὶ νὰ εἶναι ἀδιαίρετες; Γιατὶ δὲν ξέρουν νὰ εἶναι μωροὶ στὰ αἰσθητά, γιὰ νὰ γίνουν σοφοὶ στὰ θεῖα, κι ἄπειρα ἄλλα τέτοια. Σ' αὐτοὺς ὁ Κύριος ἀποτείνεται καὶ λέει· «ἂν σᾶς μίλησα γιὰ τὰ ἐπίγεια καὶ δὲν πιστεύετε, πῶς θὰ πιστέψετε ἂν σᾶς μιλήσω γιὰ τὰ ἐπουράνια;»[5]. Καὶ ὁ θεῖος Παῦλος λέει, ὅτι «ὁ ψυχικὸς ἄνθρωπος ἀρνεῖται τὰ πνευματικά»[6], γιατὶ τὰ θεωρεῖ μωρία. Ὥστε λοιπὸν αὐτὸ ποὺ οἱ ἄνθρωποι θεωροῦν μωρία τοῦ Θεοῦ, εἶναι τὰ πνευματικὰ ποὺ πρέπει νὰ ἐπιδιώκομε. Γιατὶ τὴν εἶπε 'μωρὴ σοφία', ἐπειδὴ καμμιὰ σοφία δὲν μπορεῖ νὰ τὴν κατανοήσει, ὅπως βέβαια τὴν εἶπε καὶ ἄλογη καὶ ἀνόητη, ἐπειδὴ δὲν ἔχει λόγο ἢ κάποιο νοῦ νὰ τὴν ἑρμηνεύει, δηλαδὴ νὰ τὴν καταλαβαίνει.

§ 2. Ἐξ αὐτῆς αἱ νοηταί: Σημείωσε ὅτι καὶ σὲ ἄλλους[7] ὑπάρχουν νοητὲς καὶ νοερὲς δυνάμεις καὶ εὔλογα εἶναι ἀνάμεσά τους οἱ ἴδιοι καὶ νοητοὶ καὶ νοεροί, ὅπως οἱ ἄνω τάξεις[8]. Αὐτὲς εἶναι νοητὲς ἐπειδὴ τὶς νοοῦν οἱ κατώτερές τους, καὶ νοερὲς ἐπειδὴ καὶ ἀνώτατες εἶναι καὶ τείνουν νὰ νοοῦν τὸν πάνω ἀπὸ ὅλα Θεό, ὅσο εἶναι δυνατόν, παίρνοντας ἀπὸ ἄνω τὴ νοερὴ τροφή τους καὶ τρέφοντας ὅσους νοοῦν βρισκόμενοι πιὸ χαμηλά. Γιατὶ οἱ ψυχές μας εἶναι μόνο νοερές. Νοώντας δηλαδὴ μὲ γνώση, ὅσο εἶναι δυνατόν, τὸ ἀνώτερά της, δὲν ἔχουν πιὰ κάτι νοερὸ ἔπειτ' ἀπὸ αὐτὲς γιὰ νὰ νοηθοῦν ἀπὸ αὐτό. Ἔπειτα ἀπὸ ἐμᾶς δηλαδὴ εἶναι ἡ ἄλογη καὶ ἀνόητη ψυχή, οἱ νοήσεις ὅμως

7. Δηλαδὴ στοὺς ἀγγέλους.
8. Δηλαδὴ οἱ ἀνώτατες τάξεις.

ἐν διανοήσεσι ταῖς καθ' ἡμᾶς, εἰς ἃς διανοήσεις κάτεισιν ἡμῶν ὁ νοῦς ἐκ τῶν μεριστῶν, τουτέστι τῶν αἰσθητῶν καὶ διεξοδικῶν λόγων, ἀντὶ τοῦ τῶν εἰδῶν καὶ τοῦ πλήθους, ὅπερ ἐστὶ τῶν ὑλικῶν συλλέγουσαι τὰς νοήσεις ἀΰλως, πάντα ἐν τῷ ἁπλῷ θεωροῦσαι.

Νοηταί: Τὸ νοηταὶ νόησον ὡς πρὸς ἡμᾶς, τὸ δὲ νοεραὶ ὡς πρὸς τὸν Θεόν.

Ἢ ἀπὸ μεριστῶν: Ἡμεῖς ἐν μεριστοῖς τοῖς αἰσθητηρίοις· ἄλλο γὰρ ἀκοή, καὶ ἕτερον ὄψις, καὶ τὰ ἄλλα ὁμοίως· καὶ ἀπὸ μεριστῶν τῶν κατὰ ταῦτα αἰσθητῶν τὴν τῶν ὄντων γνῶσιν ἀναλαμβάνομεν, ἢ ἐν μεριστοῖς μὲν τοῖς κατὰ μέρος νοήμασι, ἀπὸ μεριστῶν δὲ τῶν μαθήσεων, ἤτοι τῶν νοουμένων· ἔσθ' ὅτε δὲ καὶ διὰ λόγων τῶν διεξοδικῶν, τουτέστι σαφῆ καὶ διηπλωμένην τὴν ἐξήγησιν ποιουμένων. Αἱ δὲ νοεραὶ φύσεις, ἀκοινωνήτως εἰς τὰ τοιαῦτα πάντα ἔχουσαι, ἑνιαίᾳ καὶ ἁπλῇ νοήσει τῆς ἀληθείας τὴν γνῶσιν ἐλλάμπονται.

Καὶ ἔστιν αὐταῖς: Τοῖς ἀγγέλοις νοερὰν εἶναί φησι δύναμιν καὶ ἐνέργειαν ἐκ τῆς ὑπερφυοῦς σοφίας τοῦ Θεοῦ γενομένην· ἐξ αὐτου γὰρ οἱ θεῖοι ἄγγελοι κατὰ μετοχὴν τὴν δύναμιν τῆς νοερᾶς ἐνεργείας ἔχουσι, καθ' ἣν νοοῦσιν ἑαυτοὺς καὶ τὰ ὄντα, καὶ τὰς ἰδέας ἐποπτικῶς νοοῦντες, ἃς νοήσεις ὠνόμασε τοῦ Θεοῦ εἶναι. Ἐπείσακτον οὖν ἔχουσιν ἐξ αἰτίου τοῦ Θεοῦ τὴν νοερὰν ταύτην ἐνέργειαν, καὶ νοοῦσι τὰ ὄντα λίαν ὑπεραναβεβηκότως τῶν ψυχῶν, εἴ γε αἱ μὲν ψυχαὶ ἐκ τῶν ὄντων αὐτῶν νοοῦσι τὰ ὄντα καὶ τοῖς εἴδεσιν ἐπιβάλλουσιν, ὅπερ διεξοδικώτερόν ἐστι νοεῖν, καὶ κύκλῳ περιεῖναι τὰ πάντα. Οἵ γε μὴν ἄγγελοι κατὰ τὴν ἑνοῦσαν αὐτοῖς θεοείδειαν, ἑνιαίως τὰ πλήθη τῆς κτίσεως νοοῦσι, καὶ οὐ μερίζονται εἰς τὸν σκεδασμὸν τῆς ποικιλίας τῶν ὄντων, ἤτοι εἰς τὰ αἰσθητά, ὡς αἱ λογικαὶ ψυχαί· ἐκείνου δὲ πο-σῶς ἀξιοῦνται αἱ ψυχαί, εἰς μίμησιν ἀγγέλων, ὅτε, τὴν νόησιν

τῶν θείων νόων δὲν γίνονται μὲ δικά μας διανοήματα, στὰ ὁποῖα διανοήματα κατέρχεται ἀπὸ τὰ μεριστὰ ὁ νοῦς μας, δηλαδὴ ἀπὸ τοὺς αἰσθητοὺς καὶ διεξοδικοὺς συλλογισμούς, ἀντὶ ἀπὸ τὰ εἴδη καὶ τὸ πλῆθος, ποὺ εἶναι πλῆθος τῶν ὑλικῶν συλλέγοντας τὶς σκέψεις, θεωρώντας τὰ πάντα μέσα στὴν ἁπλότητα.

Νοηταί: Τὸ 'νοηταὶ' (ποὺ νοοῦνται) νὰ τὸ ἐννοήσεις σὲ σχέση μὲ ἐμᾶς, ἐνῶ τὸ 'νοεραὶ' (ποὺ νοοῦν) σὲ σχέση μὲ τὸν Θεό.

Ἢ ἀπὸ μεριστῶν: Ἐμεῖς χρησιμοποιοῦμε χωριστὰ αἰσθητήρια· γιατὶ ἄλλο εἶναι ἡ ἀκοὴ καὶ ἄλλο ἡ ὅραση, ὅμοια καὶ τὰ ἄλλα. Κι ἀπὸ τὰ ἰδιαίτερα αἰσθητὰ τῶν αἰσθητηρίων συλλέγομε τὴ γνώση τῶν ὄντων ἢ σὲ ἰδιαίτερα ἐπὶ μέρους νοήματα ἀπὸ χωριστὲς μαθήσεις, δηλαδὴ νοούμενα, καὶ κάποτε καὶ μὲ σειρὰ συλλογισμῶν, ποὺ κάνουν σαφὴ καὶ διεξοδικὴ τὴν ἐξήγηση. Οἱ νοερὲς ὅμως φύσεις δὲν ἔχουν καμμιὰ σχέση μὲ ὅλα αὐτά, ἀλλὰ δέχονται τὸ φωτισμὸ τῆς γνώσης μὲ ἑνιαία καὶ ἁπλὴ νόηση τῆς ἀλήθειας.

Καὶ ἔστιν αὐταῖς: Οἱ ἄγγελοι, λέει, ἔχουν νοερὴ δύναμη κι ἐνέργεια ποὺ τὴν ἔλαβαν ἀπὸ τὴν ὑπερφυσικὴ σοφία τοῦ Θεοῦ. Γιατὶ οἱ θεῖοι ἄγγελοι ἔχουν ἀπὸ αὐτὸν κατὰ μετοχὴ τὴ δύναμη τῆς νοερῆς ἐνέργειας, μὲ τὴν ὁποία νοοῦν τὸν ἑαυτό τους καὶ τὰ ὄντα καὶ νοοῦν ἐποπτικὰ καὶ τὶς ἰδέες, ποὺ εἶπε πὼς εἶναι νοήσεις τοῦ Θεοῦ. Ἔχουν λοιπὸν ἐπείσακτη τὴ νοερὰ αὐτὴ ἐνέργεια μὲ αἴτιο τὸν Θεὸ καὶ νοοῦν τὰ ὄντα πολὺ πιὸ πάνω ἀπὸ τις ψυχές, ἀφοῦ οἱ ψυχὲς νοοῦν τὰ ὄντα ἀπὸ τὰ ἴδια τὰ ὄντα, καὶ προσεγγίζουν καὶ τὰ εἴδη, ποὺ σημαίνει κάνουν διεξοδικότερους συλλογισμοὺς καὶ περικυκλώνουν λογικὰ τὰ πάντα. Καὶ βέβαια οἱ ἄγγελοι σύμφωνα μὲ τὴ θεομορφία ποὺ ὑπάρχει σ' αὐτούς, νοοῦν ἑνιαῖα τὰ πλήθη τῆς κτίσης καὶ δὲν διαχωρίζονται μέσα στὸ διαχωρισμὸ τῆς ποικιλίας τῶν ὄντων, δηλαδὴ μέσα στὰ αἰσθητά, ὅπως οἱ λογικὲς ψυχές. Οἱ ψυχὲς ὅμως δὲν ἀξιώνονται καθόλου αὐτὸ τὸ πράγμα κατὰ μίμηση τῶν ἀγγέλων, ὅταν, συγκεντρώνοντας τὴ νόηση τῶν πολλῶν σὲ ἕνα, ἔχουν

τῶν πολλῶν εἰς ἓν συνελίττουσαι, ἔχουσιν ὁμοῦ πάντα ἐν αὐταῖς ἀσυγχύτως διακεκριμένα· καὶ ἔξωθεν μέντοι αἱ ψυχαὶ ἐπείσακτον ἔχουσι τὸ νοεῖν, τῶν ἀγγέλων ἐξ ἑαυτῶν καὶ ἐν ἑαυτοῖς νοούντων, ἅτε καὶ θεοειδῶν ὄντων. Καὶ ταῦτα μὲν περὶ τῶν νοητῶν· περὶ δὲ Θεοῦ ὅπως νοεῖ, ἔχεις καὶ ὧδε καὶ ἄνω ἐν πέμπτῳ κεφαλαίῳ ἐγγὺς τοῦ τέλους· ὃ δὲ εἴπομεν περὶ ψυχῶν, ὅτι ἀγγελοειδῶς εἰς ἓν τὰ πολλὰ συνελίξασαι νοοῦσι, μάλιστα ἐν τῇ ἀναστάσει τελείως ἕξουσιν, ὅτε αὖθις ἐν τοῖς ἑαυτῶν σώμασι γενόμεναι, τὴν τῶν ὄντων γνῶσιν τελείαν ἀπολήψονται. Ταῦτα δὲ ἡ τῶν δικαίων ἀνάστασις τελείως ἕξει, κατὰ τὸ εἰρημένον· «καὶ οὕτως πάντοτε σὺν Κυρίῳ ἐσόμεθα»· καὶ πάλιν· «νῦν ὡς ἐν κατόπτρῳ καὶ αἰνίγματι βλέπομεν, τότε δὲ πρόσωπον πρὸς πρόσωπον», τὴν τῶν ὄντων γνῶσιν δηλονότι παιδευθησόμεθα.

Διεξοδικῶς δὲ καὶ κύκλῳ: Εἴρηται τί τὸ διεξοδικῶς νοεῖται. Διεξοδικῶς τοίνυν καὶ κύκλῳ, τουτέστιν οὐκ ἀθρόᾳ τοῦ νοῦ ἐπιβολῇ ἡ ἀνθρωπίνη ψυχὴ τὴν θείαν κατακαλύπτεται γνῶσιν, ἀλλὰ τὴν ἀληθῆ τῶν ὄντων κατανόησιν ἐκ τοῦ κατὰ μέρος δεχομένη, καθ᾿ ὃ καὶ τῆς ἀγγελικῆς ἀπολείπεται θεοπτίας, περὶ τὸ ἓν αἴτιον τὴν τῶν ποικίλως θεωρουμένων συνάγει ἔννοιαν καὶ τῶν ἰσαγγέλων ἀξιοῦται νοήσεων.

Τυχεῖν οὖν ἐφίεται: Ἐφίεται μὲν ἐξ ἀλογίας τὸ ἰσόθεον ὁ δαιμόνιος νοῦς, οὐκ οἶδε δ᾿ ὅπως τούτου τυχεῖν ἔνεστιν, οὐ φύσει παθὼν τὴν ἄγνοιαν, ἀλλ᾿ ἑκουσίως τὸ παρὰ φύσιν αἱρούμενος. Σημείωσαι δέ, ὅτι οἱ δαίμονες, καθ᾿ ὃ νοῦν ἔχουσιν, ἐκ τοῦ ἀγαθοῦ τοῦτον κέκτηνται· ἀλογίσαντες δὲ καὶ μὴ βουληθέντες μεῖναι ὅπερ ἦσαν, ἔκπτωσιν σοφίας ὑπέμειναν.

ὅλα μαζὶ τὰ πάντα μέσα τους ἀσύγχυτα χωρισμένα. Καὶ οἱ ψυχὲς βέβαια ἔχουν τὶς νοητικὲς δυνάμεις ἐπείσακτες ἀπέξω, ἐνῶ οἱ ἄγγελοι ἀπὸ τὸν ἑαυτό τους καὶ ἀπὸ μέσα τους νοοῦν, ἐπειδὴ εἶναι ὅμοιοι μὲ τὸν Θεό. Καὶ αὐτὰ βέβαια γιὰ τὰ νοητά. Πῶς τώρα νοεῖ γιὰ τὸν Θεό, τὸ ἔχεις κι ἐδῶ καὶ πιὸ πάνω στὸ πέμπτο κεφάλαιο πρὸς τὸ τέλος. Κι αὐτὸ ποὺ εἴπαμε γιὰ τὶς ψυχές, ὅτι νοοῦν κατὰ τὸν τρόπο τῶν ἀγγέλων, ἀφοῦ συγκεντρώσουν τὰ πολλὰ σὲ ἕνα, κυρίως βέβαια στὴν ἀνάσταση θ' ἀποκτήσουν τὴν τελειότητα, ὅταν θὰ εἰσέλθουν ξανὰ στὰ σώματά τους καὶ θὰ λάβουν τέλεια τὴ γνώση τῶν ὄντων. Αὐτὰ θὰ τὰ ἔχει σὲ τελειότητα ἡ ἀνάσταση τῶν δικαίων, σύμφωνα μὲ τὸ λόγο· «καὶ ἔτσι θὰ εἴμαστε πάντοτε μαζὶ μὲ τὸν Κύριο»[9], καὶ ἀλλοῦ· «τώρα βλέπομε σὰν μέσα σὲ καθρέφτη καὶ αἰνιγματικά, ἐνῶ τότε πρόσωπο μὲ πρόσωπο»[10], ἐννοεῖται θὰ διδαχθοῦμε τὴ γνώση τῶν ὄντων.

Διεξοδικῶς δὲ καὶ κύκλῳ: Εἴπαμε πῶς ἐννοεῖται τὸ διεξοδικῶς. Διεξοδικὰ λοιπὸν καὶ κυκλικά, δηλαδὴ δὲν περιβάλλεται ἡ ἀνθρώπινη ψυχὴ μὲ ἑνιαία ἔφοδο τοῦ νοῦ τὴ θεία γνώση, ἀλλά, δεχόμενη τὴν ἀληθινὴ κατανόηση τῶν ὄντων ἀπὸ τὸ ἐπιμέρους, ὡς πρὸς τὸ ὁποῖο ὑπολείπεται καὶ ἀπὸ τὴ θεοπτία τῶν ἀγγέλων, συγκεντρώνει γύρω ἀπὸ τὸ ἕνα αἴτιο τὴν ἔννοια ὅσων θεωροῦται σὲ ποικιλία καὶ γίνεται ἄξια γιὰ νοήσεις ἴσες μὲ τῶν ἀγγέλων.

Τυχεῖν οὗ ἐφίεται: Ἀπὸ ἀπουσία λόγου ἐπιθυμεῖ ὁ νοῦς τῶν δαιμόνων τὴν ἰσότητα μὲ τὸ Θεῖο, δὲν γνωρίζει ὅμως πῶς εἶναι δυνατὸ νὰ τὸ ἐπιτύχει· καὶ δὲν ἔχει πάθει αὐτὴ τὴν ἄγνοια ἀπὸ τὴ φύση του, ἀλλ' ἐπειδὴ προτιμᾶ μὲ τὴ θέλησή του τὸ παραφύση. Καὶ σημείωσε, ὅτι οἱ δαίμονες ὅσο νοῦ ἔχουν, τὸν ἔχουν ἀπὸ τὸν ἀγαθό. Ἐπειδὴ ὅμως παραλογίσθηκαν καὶ δὲ θέλησαν νὰ μείνουν αὐτὸ ποὺ ἦταν, ἔπαθαν ἔκπτωση ἀπὸ τὴ σοφία.

---

9. Α΄ Θεσσ. 4,16.
10. Α΄ Κορ. 13,12.

Καθ' ὑπεροχήν: Περὶ τοῦ, ὅτι τὰ κατὰ στέρησιν λεγόμενα ἐπὶ τοῦ Θεοῦ καὶ τὰ ἐναντία, ὑπεροχικῶς νοοῦνται.

Καὶ πάντα τἄλλα ἔνδοθεν: Μηδεὶς ἐκ τούτων πρὸς ἀτόπους ἀπαγέσθω ἐννοίας, ὥστε λέγειν καὶ τῶν κακῶν ἐν ἑαυτῷ κατ' αἰτίαν προέχειν τὸν Θεόν, ἤγουν αἴτιον αὐτῶν ἐκ τούτου εἶναι συνάγεσθαι· οὐ γὰρ περὶ τούτων ἐστὶν ὁ λόγος τῷ πατρί· ἤδη γὰρ ἔδειξε μήτε ὄν, μήτε ἐν τοῖς οὖσι τὸ κακόν, ἀλλὰ περὶ τῶν ἐν οὐσίᾳ ὄντων, οἷον ἀγγέλων καὶ τῶν λοιπῶν κτισμάτων, καθὼς καὶ προεῖπεν, ὧν τὴν γνῶσιν οὐκ ἐκ τοῦ μανθάνειν αὐτά, ὁποῖά τινά εἰσιν, ἔχει· τοῦτο γὰρ ἐδήλωσεν εἰπών· Οὐκ ἐκ τῶν ὄντων τὰ ὄντα μανθάνων, καὶ τό, Οὐ κατ' ἰδέαν ἑκάστοις ἐπιβάλλων, ἀλλ' ὡς ποιητὴς τούτων τὴν εἴδησιν τῶν οἰκείων ἔργων προέχει, εἰδὼς ὅπως αὐτά, καὶ ἐφ' οἷς παράξει πρὸς γένεσιν, ὧν ἡ παρατροπὴ καὶ ἔλλειψις, ἤγουν ἡ ἀποτυχία καὶ ἀδυναμία, τὸ κακὸν εἰσάγει, τῇ στερήσει τοῦ κατὰ φύσιν τὸ παρὰ φύσιν ποιοῦσα· πρὸς τοῦτο γὰρ τὸ τοῦ φωτὸς παρήγαγεν ὑπόδειγμα· τῇ γὰρ τούτου στερήσει τὸ σκότος παρυφίσταται, καὶ αἰτίαν ἔχει τὴν ἀπουσίαν τῆς τοῦ φωτὸς φύσεως, ὥσπερ καὶ τῶν στερήσεων αἱ ἕξεις ἀρχηγικώτεραι τυγχάνουσι, καὶ ὡς ἄν τις εἴποι, αἰτίαι. Ἐνταῦθα οὖν ὁ πατὴρ περὶ τῶν ὑπὸ Θεοῦ εἰς γένεσιν ἀχθέντων καὶ τῆς ἑκάστου τούτων φύσεως τὸν λόγον ποιεῖται, ἃ καὶ προϋφεστάναι ἐν τῷ Θεῷ κατὰ πρόγνωσιν καὶ τὸ προωρίσθαι εἴρηκε.

Καὶ οὐσίαν προέχει: Ὅτι ἡ γνῶσις τὴν οὐσίαν προέχει καὶ προσυνείληφεν.

Ὥσπερ καὶ τὸ φῶς: Ἄπτωτον τὸ τῆς παραβολῆς· ὥσπερ γὰρ εἴ τις ὑπόθοιτο τὸ φῶς τοῦτο τὸ ὁρατὸν ἔννουν εἶναι καὶ λογικόν, εἶτα πυθοίμεθα αὐτοῦ, εἰ γινώσκει τὸ σκότος, τὸ δὲ εἴποι, γινώσκειν καὶ πρὶν γένηται ἂν τὸ σκότος· γινώσκειν δὲ οὐ κατά τινα πεῖραν (πῶς γὰρ ἴδοι σκότος τὸ φῶς; εἰ γὰρ τὸ φῶς, οὐκ ἔσται σκότος), ἀλλὰ γινώσκειν εἴποι τὸ φῶς καθ' ὃ φῶς

Καθ' ὑπεροχήν: Ὅσα δηλαδὴ λέγονται γιὰ τὸν Θεὸ κατὰ στέρηση καθὼς καὶ τὰ ἀντίθετα, ἐννοοῦνται κατὰ ὑπεροχή.

Καὶ πάντα τἄλλα ἔνδοθεν: Ἀπὸ αὐτὰ νὰ μὴ ὁδηγεῖται κανένας σὲ ἄτοπες ἔννοιες, ὥστε νὰ λέει, ὅτι καὶ ὁ Θεὸς σύμφωνα μὲ τὴν αἰτία εἶχε ἀπὸ τὴν ἀρχὴ μέσα του τὰ κακά, ὥστε ἀπὸ αὐτὸ νὰ συνάγεται ὅτι εἶναι αἴτιος τῶν κακῶν. Γιατὶ δὲν μιλάει γι' αὐτὰ ὁ πατέρας· καθόσον ἔδειξε ἤδη ὅτι τὸ κακὸ οὔτε ὂν εἶναι οὔτε ὑπάρχει μέσα στὰ ὄντα, ἀλλὰ γιὰ ὅσα ὑπάρχουν κατὰ τὴν οὐσία, ὅπως οἱ ἄγγελοι καὶ τὰ λοιπὰ κτίσματα, ὅπως εἶπε καὶ πρίν, τῶν ὁποίων τὴ γνώση τὴν ἔχει ὄχι ἀπὸ τὸ μαθαίνοντας τί λογῆς εἶναι αὐτά. Γιατὶ αὐτὸ τὸ δήλωσε λέγοντας, Ὄχι μαθαίνοντας τὰ ὄντα ἀπὸ τὰ ὄντα, καὶ Μὴ προσεγγίζοντας τὸ καθένα κατὰ τὴν ἰδέα του, ἀλλὰ ἔχει ἀπὸ πρὶν τὴ γνώση τῶν δικῶν του ἔργων ὡς δημιουργός τους. Γνωρίζει ὅπως εἶναι αὐτά, καὶ ὅσα θὰ φέρει στὴ γένεση, ποὺ ἡ παρέκκλιση καὶ ἡ ἔλλειψή τους, δηλαδὴ ἡ ἀποτυχία καὶ ἡ ἀδυναμία, εἰσάγει τὸ κακό, πραγματοποιώντας τὸ παραφύση μὲ τὴ στέρηση τοῦ καταφύση. Γι' αὐτὸ ἔφερε τὸ παράδειγμα τοῦ φωτός· γιατὶ μὲ τὴ στέρησή του παρουσιάζεται τὸ σκότος, καὶ αἰτία του ἔχει τὴν ἀπουσία τοῦ φωτός. Ὅπως καὶ ἀπὸ τὶς στερήσεις οἱ ἕξεις εἶναι πιὸ ἀρχικὲς (περισσότερο ἀρχὴ) καί, ὅπως θὰ ἔλεγε κάποιος, αἰτίες. Ἐδῶ λοιπὸν ὁ πατέρας κάνει λόγο γιὰ ὅσα ἔφερε στὴ γένεση ὁ Θεὸς καὶ γιὰ τὴ φύση τοῦ καθενὸς ἀπὸ αὐτά, τὰ ὁποῖα ἔχει πεῖ ὅτι προϋπῆρχαν μέσα στὸν Θεὸ σύμφωνα μὲ πρόγνωση καὶ προορισμό.

Καὶ οὐσία προέχει: Ἡ γνώση ἔχει ἀπὸ πρὶν τὴν οὐσία καὶ τὴν ἔχει λάβει ἀπὸ πρίν.

Ὥσπερ καὶ τὸ φῶς: Ἡ παραβολὴ δὲ χάνει τὴ δύναμή της. Ὅπως δηλαδὴ ἂν ὑπέθετε κάποιος, ὅτι τὸ ὁρατὸ τοῦτο φῶς διαθέτει νοῦ καὶ λογική, κι ἔπειτα τὸν ρωτούσαμε, ἂν γνωρίζει τὸ σκότος, καὶ πεῖ ὅτι τὸ γνωρίζει καὶ προτοῦ γίνει τὸ σκότος, ὅμως δὲν τὸ γνωρίζει ἀπὸ κάποια ἐμπειρία (πῶς δηλαδὴ θὰ μποροῦσε νὰ γνωρίσει τὸ φῶς τὸ σκοτάδι; Γιατί, ἂν εἶναι φῶς,

ἐστι· διὸ καὶ οἶδεν, ὅτι, ἐὰν συστείλῃ τὸ οἰκεῖον φῶς, οὐδεὶς ὄψεται· οὕτω καὶ ὁ Θεὸς κατ' αἰτίαν ἐν ἑαυτῷ τὴν πάντων εἴδησιν ἔχει, οὐ τῇ πείρᾳ ταύτην ἐπικτησάμενος, ἐπεὶ οὕτως εὑρίσκεται μεταγενέστερος ὁ Θεὸς τῆς γνώσεως, ἤ κατά τινα χρόνον μὴ γινώσκων. Σημείωσαι δὲ τὸ σκότος εἶναι τὸ αἰτιατόν, ἐξ ἐλλείψεως τοῦ φωτὸς παρυφιστάμενον, ὅπερ ἐστὶ κατὰ Μανιχαίων.

Τοῦ σκότους: Ὅτι τὸ σκότος οὐχ ἑτέρωθεν, ἀλλ' ἀπὸ τοῦ φωτὸς γνωρίζεται.

Καὶ οὐκ ἐκ τῶν ὄντων: Ὅρα πῶς φησι τὸν Θεὸν εἰδέναι τὰ ὄντα, οὐκ ἐκ τῆς πάντων γνώσεως, ἀλλ' ἐκ τῆς ἰδίας, ὥσπερ τὸ φῶς οἶδε τὰ τοῦ σκότους, οὐδὲν τοῦ σκότους ἔχων ἐν ἑαυτῷ. Ταῦτα δὲ πολλαχῶς ἐν τῷ πέμπτῳ κεφαλαίῳ εἴρηται· πῶς ὁ Θεὸς ἑαυτὸν γινώσκων, ἤτοι νοῶν, νοεῖ καὶ γινώσκει τὰ ὄντα παραδειγματικῶς.

Οὐκ ἄρα ὁ Θεός: Ἐν οὐδεμίᾳ γὰρ διπλόῃ τὸ Θεῖον, πάντῃ ἁπλοῦν ὄν, καὶ ὑπὲρ πᾶν ἁπλοῦν.

Καὶ γὰρ καὶ τοὺς ἀγγέλους: Τὸ τοὺς ἀγγέλους εἰδέναι τὰ ἐπὶ γῆς οὐ δι' αἰσθήσεως προσβάλλοντας τοῖς αἰσθητοῖς, ὡς ἡμεῖς, ἀλλὰ διὰ δυνάμεως ἐπαναβεβηκυίας ἐπιβάλλων νοεῖσθαι, ἐκ διαφόρων λογίων, οἷον ὡς ἐν τῷ Τωβίᾳ, ὅπου εἴρηται, ὅτι ὁ θεῖος Ραφαὴλ ὁ ἄγγελος εἶπε τῷ υἱῷ τοῦ Τωβίου. λαβεῖν τὴν χολὴν τοῦ ἀνελθόντος ἰχθύος, ὡς ἀφαιροῦσαν λευκώματα ὀφθαλμῶν γινόμενα ἀπὸ ἀφοδευμάτων στρουθίων· οὐ γὰρ ἄν τις ὑπονοήσειεν, ὅτι παθὼν ἔμαθε τὴν ἰατρείαν. Ἀλλὰ καὶ ὁ ἐν τοῖς Κριταῖς ἄγγελος ἐπὶ τοῦ Γεδεὼν εἰς τὴν θυσίαν ἐκβαλὼν ἐκ τῆς πέτρας πῦρ, οὐκ αἰσθήσει οἶδεν, ὅτι τὸ πῦρ καυστικόν, ὡς ἡμεῖς, ἀλλ' ἀνωτέρῳ προσφόρῳ· οὕτω καὶ τὰ λοιπά. Εἰ δέ τις εἴποι, Καὶ πῶς τοῦ αἰωνίου πυρὸς αἰσθήσεται ὁ διάβολος

δὲ θὰ ὑπάρχει σκότος), ἀλλὰ πεῖ ὅτι γνωρίζει τὸ φῶς, καθόσον εἶναι φῶς, γι' αὐτὸ καὶ ξέρει πώς, ἂν μαζέψει τὸ φῶς του, κανένας δὲ θὰ δεῖ, ἔτσι καὶ ὁ Θεός· κατὰ αἰτία ἔχει μέσα στὸν ἑαυτό του τὴ γνώση τῶν πάντων, ὄχι ὡς ἐπίκτητη μέσο κάποιας ἐμπειρίας, γιατὶ ἔτσι ὁ Θεὸς θὰ βρεθεῖ μεταγενέστερος ἀπὸ τὴ γνώση, ἢ ὅτι κάποια χρονικὴ περίοδο δὲν τὴ γνώριζε. Σημείωσε, ὅτι τὸ σκότος εἶναι τὸ ἀποτέλεσμα (αἰτιατό), ποὺ ἐνυπάρχει ἀπὸ τὴν ἔλλειψη τοῦ φωτός, πράγμα ποὺ στρέφεται κατὰ τῶν Μανιχαίων.

Τοῦ σκότους: Τὸ σκότος δὲ γίνεται γνωστὸ ἀπὸ ἀλλοῦ, παρὰ ἀπὸ τὸ φῶς.

Καὶ οὐκ ἐκ τῶν ὄντων: Πρόσεχε, πῶς λέει ὅτι ὁ Θεὸς γνωρίζει τὰ ὄντα· ὄχι ἀντλώντας ἀπὸ τὴ γνώση ὅλων, ἀλλὰ ἀπὸ τὴ δική του γνώση, ὅπως τὸ φῶς γνωρίζει τὰ τοῦ σκότους, ἀλλὰ δὲν ἔχει τίποτε ἀπὸ τὸ σκοτάδι μέσα του. Αὐτὰ λέχθηκαν μὲ πολλοὺς τρόπους στὸ πέμπτο κεφάλαιο. Πῶς ὁ Θεός, γνωρίζοντας, δηλαδὴ νοώντας τὸν ἑαυτό του, νοεῖ καὶ γνωρίζει τὰ ὄντα ἀπὸ τὰ παραδείγματα.

Οὐκ ἄρα ὁ Θεός: Τὸ Θεῖο δὲν ἀποτελεῖ καμμιὰ διττότητα, ἀλλ' εἶναι τελείως ἁπλὸ ἀλλὰ καὶ πάνω ἀπὸ κάθε ἁπλό.

Καὶ γὰρ καὶ τοὺς ἀγγέλους: Ὅτι οἱ ἄγγελοι γνωρίζουν τὰ ἐπίγεια πράγματα προσεγγίζοντας τὰ αἰσθητὰ ὄχι μὲ τὴν αἴσθηση ὅπως ἐμεῖς, ἀλλὰ μὲ δύναμη ποὺ τὴν ξεπερνᾶ, νομίζω πὼς γίνεται ἀντιληπτὸ ἀπὸ διάφορα λόγια τῆς Γραφῆς, ὅπως γιὰ παράδειγμα ἀπὸ τὸν Τωβία, ὅπου λέει, ὅτι ὁ θεῖος ἄγγελος Ραφαὴλ εἶπε στὸ γιὸ τοῦ Τωβία νὰ πάρει τὴ χολὴ τοῦ ψαριοῦ ποὺ ἀνέβασε, ἐπειδὴ θεραπεύει τὰ λευκώματα τῶν ματιῶν ποὺ τὰ προκάλεσαν οἱ κουτσουλιὲς τῶν πουλιῶν. Δὲ θὰ σκεφθεῖ βέβαια κάποιος, ὅτι, ἐπειδὴ ἔπαθε, ἔμαθε τὴ θεραπεία. Ἀλλὰ καὶ στοὺς Κριτὲς ὁ ἄγγελος βγάζοντας γιὰ τὸ Γεδεὼν φωτιὰ ἀπὸ τὴν πέτρα γιὰ τὴ θυσία, δὲν γνώριζε ἀπὸ αἴσθηση, ὅπως ἐμεῖς, ὅτι ἡ φωτιὰ καίει, ἀλλὰ ἐνήργησε μὲ κάποιο ὑψηλότερο τρόπο. Ἔτσι καὶ τὰ ἄλλα. Ἂν ὅμως πεῖ κάποιος, Καὶ πῶς ὁ διάβολος

καὶ οἱ ἄγγελοι αὐτοῦ; Ἐν τῷ προσφόρῳ τόπῳ λεχθήσεται. Ἀλλὰ καὶ ἐν τῷ Δανιήλ, ἐν τῷ κεφαλαίῳ τοῦ Βαλθάσαρ, οἶδεν ὁ γράφων γράμματα μὴ μαθών. Σημείωσαι δέ, ὅτι οὐ κατ' αἴσθησιν τοῖς ἀγγέλοις ἡ γνῶσις τῶν αἰσθητῶν· οὐδὲ γὰρ τοῖς καθ' ἡμᾶς αἰσθητηρίοις κέχρηνται, ἀλλὰ νοῦ δυνάμει καὶ φύσει.

§ 3. Ἐπὶ δὲ τούτοις ζητῆσαι χρή. Συζητεῖ πῶς Θεὸν γινώσκομεν, καί φησιν ὀρθῶς, ὅτι Θεοῦ μὲν φύσις, ὅτι ποτέ ἐστιν, οὔτε τινὶ πώποτε τῶν ἐν δημιουργίᾳ ἐγνώσθη, οὔτε ἐπιστητῶς, οὔτε ἐποπτικῶς· τούτοις γὰρ ἐπιβάλλομεν τοῖς ἀσωμάτοις· ἀλλὰ γινώσκεται ὁ Θεὸς ἐκ τῆς τῶν κτισμάτων διατάξεως· εἰ γάρ, κατὰ τὸν θεῖον Ἀπόστολον, ἡ τῶν δημιουργημάτων καλλονὴ τὸν γενεσιουργόν, τουτέστι τὸν τῶν ἐν γενέσει ποιητήν, μηνύει, εἰκότως ἡ τῶν ὄντων διάταξις γνῶσίς ἐστι τοῦ διατάξαντος· τὰ γὰρ ὄντα, τουτέστι τὰ εἴδη, καὶ αἱ καθ' ἕκαστον κτίσεις, οἷον αἱ ἀγγελικαὶ τάξεις, καὶ τὰ αἰσθητὰ πάντα, εἰκόνες εἰσὶ καὶ ὁμοιώματα τῶν θείων ἰδεῶν, ἤτοι παραδείγματα τῶν ἐν νῷ, ἅτινα παραδείγματα αἱ ἀΐδιοι νοήσεις εἰσὶ τοῦ Θεοῦ, δι' ἃς καὶ καθ' ἃς ἅπαντα ἦν ἐν αὐτῷ, οὐχ ἕτερα ὄντα αὐτοῦ καὶ παραχθέντα γέγονεν, ὡς καὶ ἐν τῇ Ἀποκαλύψει ὁ θειότατος Ἰωάννης φησί τινα τῶν πρεσβυτάτων ἀγγέλων εἰπεῖν αὐτῷ, ὅτι τὰ πάντα ἦσαν καὶ γεγόνασι, τὰς ἰδέας λέγων ὅτι ἦσαν· καὶ τὰς εἰκόνας καὶ τὰ ὁμοιώματα τῶν ἰδεῶν, ἤτοι παραδειγμάτων, τὰ γεγονότα πάντα. Τῶν γὰρ νοητῶν τὰ νοερὰ εἰκόνες, καὶ τῶν ὑπερβεβηκότων τὰ ὑποβεβηκότα. Κατὰ ἀφαίρεσιν οὖν τούτων

θὰ λάβει αἴσθηση τοῦ αἰώνιου πυρὸς καθὼς καὶ οἱ ἄγγελοί του; Αὐτὸ θὰ τὸ ποῦμε στὸν κατάλληλο τόπο. Ἀλλὰ καὶ στὸν Δανιήλ, στὸ κεφάλαιο τοῦ Βαλτάσαρ, αὐτὸς ποὺ γράφει ξέρει γράμματα χωρὶς νὰ ἔχει μάθει. Σημείωσε ἐπίσης, ὅτι οἱ ἄγγελοι δὲν ἔχουν γνώση τῶν αἰσθητῶν μὲ τὴν αἴσθηση, γιατὶ δὲν χρησιμοποιοῦν τὰ δικά μας αἰσθητήρια, ἀλλὰ τὴν ἔχουν μὲ τὴ δύναμη τοῦ νοῦ καὶ τὴ φύση τους.

§ 3. Ἐπὶ δὲ τούτοις ζητεῖσαι χρή: Ἐξετάζει πῶς ἔχομε γνώση τοῦ Θεοῦ. Καὶ λέει ὀρθά, ὅτι ἡ φύση τοῦ Θεοῦ, ὅποια κι ἂν εἶναι αὐτὴ τέλος πάντων, οὐδέποτε ἔγινε γνωστὴ σὲ κάποιο δημιούργημα, οὔτε μὲ τὴ γνωστικὴ διαδικασία οὔτε μὲ ἐποπτικὸ τρόπο. Γιατὶ μ' αὐτοὺς τοὺς δυὸ τρόπους προσεγγίζομε τὰ ἀσώματα. Ὁ Θεὸς ὅμως γίνεται γνωστὸς ἀπὸ τὴ διάταξη τῶν κτισμάτων. Ἂν δηλαδή, σύμφωνα μὲ τὸν θεῖο Ἀπόστολο, ἡ ὀμορφιὰ τῶν δημιουργημάτων ἀναγγέλλει τὸν γενεσιουργό, δηλαδὴ τὸν ποιητὴ ὅσων ἔχουν γίνει[11], δικαιολογημένα ἡ διάταξη τῶν ὄντων ἀποτελει γνώση ἐκείνου ποὺ τὴ διέταξε. Γιατὶ τὰ ὄντα, δηλαδὴ τὰ εἴδη καὶ κάθε δημιούργημα χωριστά, γιὰ παράδειγμα οἱ ἀγγελικὲς τάξεις καὶ ὅλα τὰ αἰσθητά, εἶναι εἰκόνες καὶ ὁμοιώματα τῶν θείων ἰδεῶν, δηλαδὴ παραδείγματα ὅσων εἶναι μέσα στὸ νοῦ του, τὰ ὁποῖα παραδείγματα εἶναι οἱ ἀίδιες νοήσεις τοῦ Θεοῦ, ποὺ ἐξαιτίας τους καὶ σύμφωνα μ' αὐτὲς ἦταν τὰ πάντα μέσα σ' αὐτόν, δὲν ἦταν διαφορετικὰ ἀπὸ αὐτόν, καὶ ἔγιναν τέτοια βγαίοντας στὸ φῶς, ὅπως καὶ μέσα στὴν Ἀποκάλυψη λέει ὁ θεϊκότατος Ἰωάννης, ὅτι κάποιος ἀπὸ τοὺς μεγαλύτερους ἀγγέλους τοῦ εἶπε, ὅτι τὰ πάντα ἦταν καὶ ἔχουν γίνει, ἐννοώντας ὅτι ἦταν οἱ ἰδέες καὶ οἱ εἰκόνες καὶ τὰ ὁμοιώματα τῶν ἰδεῶν, δηλαδὴ τῶν παραδειγμάτων, ποὺ ὅλα αὐτὰ ἔγιναν. Γιατὶ τὰ νοερὰ εἶναι εἰκόνες τῶν νοητῶν, καὶ τῶν ὑψηλότερων τὰ κατώτερα. Μὲ ἀφαίρεση λοιπὸν ὅλων αὐτῶν (γιατὶ

11. Ρωμ. 1,20.

πάντων (ἀφήρηται γὰρ τῶν ὄντων ὁ Θεός, οὐδὲν ὢν τῶν ὑπ' αὐτοῦ κτισθέντων, ἀλλ' ἀφάτως ὑπερέχων πάντων) ὑπεροχικῶς γινώσκεται ὁ Θεός.

Ἐκ τῆς αὐτοῦ φύσεως: Σημείωσαι ἀναγκαῖον πρόχειρον εἰς εὐσεβείας ἀπολογίαν.

α. Καὶ εἰκόνας τινάς: Ἐνταῦθα 'θεῖα παραδείγματα' τοὺς προορισμοὺς ἐκληπτέον, ὧν εἰκόνες τὰ τῆς κτίσεως ἀποτελέσματα. Τοὺς δὲ προορισμοὺς προθέσεις ἐκάλεσεν ὁ Ἀπόστολος, ὡς ἐν τῇ πρὸς Ἐφεσίους εἰπών, «κατὰ πρόθεσιν τῶν αἰώνων». Ἐν πᾶσι δὲ τοῖς κτίσμασι δηλαδὴ ὁ Θεὸς γινώσκεται, ὡς ὁ τεχνίτης ἐν τοῖς τεχνητοῖς. Πάντῃ δὲ κεχώρισται τὸ κατ' οὐσίαν τῶν πάντων· κἀντεῦθεν ἄγνωστος ὢν τοῖς τεχνητοῖς, ἐκ τῆς τοιαύτης ἀγνωσίας γινώσκεται, ὥσπερ οὖν καὶ διὰ τῆς τῶν κτισμάτων ἐπιστημονικῆς κατανοήσεώς τε καὶ γνώσεως. Ταῦτα οὖν ἐπαναλαμβάνων συνῆψε τὰ ἑπόμενα εἰς τὸ αὐτό.

β. Ἐπειδὴ καὶ αἱ ἰδέαι τῶν ζώων ἐν τῷ Θεῷ καὶ πάντων τῶν κατὰ φύσιν εἰσὶ καθόλου, ἀλλ' οὐχ ὡς τῶν καθ' ἕκαστα εἴδωλα καὶ ὁμοιώματά εἰσι τῶν ἐκεῖ τὰ ἐνταῦθα· πάντα γὰρ τὰ ὧδε εἴδωλα τῶν ἐκεῖ· ἡ γὰρ ψυχὴ καὶ αὕτη εἰκὼν καὶ ὁμοίωμα τῆς ἰδέας.

γ. Καὶ διὰ γνώσεως ὁ Θεός: Πῶς διὰ τῶν ἐναντίων γινώσκεται ὁ Θεός, καὶ διὰ τῶν θέσεων καὶ τῶν ἀφαιρέσεων, δηλοῖ ἐπεξιὼν αὐτά. Εἰ γὰρ καὶ ἄνω ἐν τῷ πρώτῳ κεφαλαίῳ εἶπε, μηδὲν εἶναι τῆς οὐσίας τοῦ Θεοῦ παραστατικόν, μὴ νόησιν, μὴ ἐπαφήν, μὴ φαντασίαν, μὴ δόξαν, μηδ' ὅσα ἔφη ἐκεῖ καὶ ἐνταῦθα, ἅτινα καὶ ἡρμηνεύσαμεν ἐν ἐκείνοις· νῦν λέγει καὶ διὰ τῶν

ἔχει ἀφαιρεθεῖ ὁ Θεὸς ἀπὸ τὰ ὄντα, ἐπειδὴ δὲν εἶναι κανένα ἀπὸ τὰ δημουργήματά του, ἀλλὰ μὲ τρόπο ἄρρητο ὑπερβαίνει τὰ πάντα), γίνεται γνωστὸς ὁ Θεὸς σύμφωνα μὲ τὴν ὑπεροχή του ἔναντι αὐτῶν.

Ἐκ τῆς αὐτοῦ φύσεως: Σημείωσε τὴν ἀναγκαία εὐκολία γιὰ τὴν ὑπεράσπιση τῆς εὐσέβειας.

α. Καὶ εἰκόνας τινάς: Ἐδῶ ὡς θεῖα παραδείγματα πρέπει νὰ θεωρήσομε τοὺς προορισμούς, τῶν ὁποίων εἰκόνες εἶναι τὰ ἀποτελέσματα τῆς δημιουργίας. Τοὺς προορισμοὺς πάλι ὁ Ἀπόστολος τοὺς κάλεσε προθέσεις, ὅπως εἶπε στὴν ἐπιστολή του πρὸς τοὺς Ἐφεσίους· «σύμφωνα μὲ τὸν προορισμένο σκοπὸ πρὶν ἀπὸ αἰῶνες»[12]. Σὲ ὅλα δηλαδὴ τὰ δημιουργήματα γίνεται γνωστὸς ὁ Θεός, ὅπως ὁ τεχνίτης στὰ ἔργα τῆς τέχνης του. Ὡς πρὸς τὴν οὐσία ὅμως διακρίνεται τελείως ἀπὸ τὰ πάντα· καὶ ἐξαιτίας αὐτοῦ, ἐπειδὴ εἶναι ἄγνωστος στὰ δημιουργήματά του, γίνεται γνωστὸς ἀπὸ αὐτὴν τὴν ἀγνωσία, ὅπως ἀκριβῶς καὶ μὲ τὴν ἐπιστημονικὴ κατανόηση καὶ γνώση μέσω τῶν κτισμάτων. Ἐπαναλαμβάνοντας λοιπὸν αὐτά, ἕνωσε σ' αὐτὸ τὸ σημεῖο τὰ ἑπόμενα.

β. Ἐπειδὴ καὶ οἱ ἰδέες τῶν ζώντων εἶναι μέσα στὸν Θεὸ καὶ ὅλων γενικὰ τῶν φυσικῶν, ἀλλ' ὄχι ὅπως εἶναι τὰ ἐδῶ τῶν ἐκεῖ εἴδωλα καὶ ὁμοιώματα τοῦ καθενὸς χωριστά, γιατὶ ὅλα τὰ ἐδῶ εἶναι εἴδωλα τῶν ἐκεῖ· καὶ ἡ ψυχὴ δηλαδὴ ἀκόμα εἶναι εἰκόνα καὶ ὁμοίωμα τῆς ἰδέας.

γ. Καὶ διὰ γνώσεως ὁ Θεός: Λέγοντας αὐτά, δηλώνει πῶς ὁ Θεὸς γίνεται γνωστὸς ἀπὸ τὰ ἀντίθετα, καὶ μὲ τὶς θέσεις καὶ μὲ τὶς ἀρνήσεις. Γιατί, ἂν καὶ εἶπε καὶ πιὸ πάνω στὸ πρῶτο κεφάλαιο, ὅτι τίποτε δὲν μπορεῖ νὰ παραστήσει τὴν οὐσία τοῦ Θεοῦ, οὔτε ἡ νόηση οὔτε ἡ ἐπαφὴ οὔτε ἡ φαντασία οὔτε ἡ δοξασία οὔτε ὅσα εἶπε ἐκεῖ καὶ ἐδῶ, τὰ ὁποῖα καὶ τὰ ἑρμηνεύσαμε

12. Ἐφ. 3,11.

ἐκεῖ ἀπηγορευμένων γινώσκεσθαι τὸν Θεόν, οὐ μὴν τὴν οὐσίαν αὐτοῦ· καὶ πάλιν μηδὲν αὐτὸν ἔχειν τούτων εἰς κατάληψιν. Ὡς μὲν οὖν αἴτιος ἁπάντων, γινώσκεται ἐκ τῶν ἐξ αὐτοῦ, ὡς δὲ μηδὲν ὢν τῶν ἐξ αὐτοῦ, μένει ἀγνοούμενος ὑπὸ πάντων· πῶς δὲ καὶ διὰ τῆς ἀγνωσίας γινώσκεται, καὶ ἐνταῦθά φησι, καὶ ἀνωτέρω εἴρηται ἐν κεφαλαίῳ δευτέρῳ.

Καὶ οὔτε νοεῖται: Διὰ γὰρ τῶν δεδημιουργημένων νοοῦμεν, ἐφαπτόμεθα τῆς ἐπιστήμης, ἔχομεν ὅτι Θεὸς ἔστι. Τίς δέ, ἢ ποταπός, ἢ πηλίκος αὐτὸς ὁ Θεός, οὔτε νοοῦμεν, οὔτε ὀνομάζομεν, οὔτε νῷ ἢ αἰσθήσει καταλαμβάνομεν. Ὅμοιον γὰρ τούτῳ ἐστὶ καὶ τό· Ἐν πᾶσίν ἐστιν ὁ Θεός, καὶ ἐν οὐδενὶ τῶν πάντων ἐστί.

Κατὰ τὴν ὑπὲρ νοῦν ἕνωσιν: Σημείωσαι, ὅτι κατὰ τὰ προπαρατεθειμένα τὴν ἕνωσιν ἔλαβε τῆς ὑπὲρ νοῦν τοῦ Θεοῦ θεωρίας.

Αὕτη γάρ ἐστι κατὰ τὸ Λόγιον: Τοῦτο καὶ ἐκ τῆς Σοφίας Σολομῶντός ἐστιν, ἔνθα λέγεται τεχνῖτις ἡ σοφία τῶν πάντων· καὶ ἐκ τῶν Παροιμιῶν, ἔνθα εἴρηται ἐκ τῆς Σοφίας· «Ἐγὼ ἤμην ἁρμόζουσα παρ' αὐτῷ»· καὶ ὁ Δαβίδ· «πάντα ἐν σοφίᾳ ἐποίησας.

Λόγος δὲ ὁ Θεός: Περὶ τοῦ Θεοῦ Λόγου, καὶ διὰ τί λέγεται Λόγος, τί δηλούσης τῆς τοιαύτης ὀνομασίας, καὶ μίαν αἰτίαν ἐνταῦθά φησι, καθ' ἣν ὀνομάζεται Λόγος, διὰ τὸ τὰς τῶν ὄντων πάντων αἰτίας ἐν ἑαυτῷ ἔχειν· οἱ γὰρ λόγοι φύσεως ἁπάσης ἐν αὐτῷ εἰσιν, ὡς αἰτίῳ πάσης δημιουργίας· δι' αὐτοῦ γὰρ τὰ πάντα· αἵ τε γὰρ ἰδέαι καὶ τὰ παραδείγματα ἐν αὐτῷ, οὐχ ἕτερα ἐν

---

13. Σοφ. Σολ. 7, 21.

ἐκεῖ, τώρα μᾶς λέει ὅτι καὶ μὲ τὰ ἐκεῖ ἀπαγορευμένα γίνεται γνωστὸς ὁ Θεός. Ὄχι βέβαια ἡ οὐσία του. Καὶ ἐπίσης ὅτι αὐτὸς δὲν ἔχει τίποτε ἀπὸ αὐτὰ γιὰ νὰ γίνει κατανοητός. Ἐπειδὴ λοιπὸν εἶναι αἴτιος ὅλων, γίνεται γνωστὸς καὶ ἀπὸ τὰ δικά του, ἐπειδὴ ὅμως δὲν εἶναι κανένα ἀπὸ τὰ δημιουργήματά του, μένει σὲ ὅλα ἄγνωστος. Πῶς ὅμως γίνεται γνωστὸς καὶ μὲ τὴν ἀγνωσία, τὸ ἐκθέτει κι ἐδῶ, ἀλλὰ τὸ εἶπε καὶ πιὸ πάνω στὸ δεύτερο κεφάλαιο.

Καὶ οὔτε νοεῖται: Μέσω δηλαδὴ τῶν δημιουργημάτων νοοῦμε, πετυχαίνουμε τὴν ἐπιστήμη, γνωρίζομε ὅτι ὑπάρχει ὁ Θεός. Ποιός ὅμως εἶναι ἢ τί λογῆς ἢ πόσο μεγάλος αὐτὸς ὁ Θεός, οὔτε τὸ βάζομε στὸ νοῦ οὔτε τὸ ὀνομάζομε, οὔτε τὸ καταλαβαίνομε μὲ τὸ νοῦ καὶ τὶς αἰσθήσεις. Ὅμοιο βέβαια μ' αὐτὸ εἶναι καὶ τοῦτο· Ὁ Θεὸς βρίσκεται σὲ ὅλα, καὶ σὲ κανένα ἀπὸ ὅλα.

Κατὰ τὴν ὑπὲρ νοῦν ἕνωσιν: Σημείωσε, ὅτι ἔλαβε τὴν ἕνωση τῆς ὑπέρνοης θεωρίας τοῦ Θεοῦ σύμφωνα μὲ ὅσα προπαραθέσαμε.

Αὕτη γάρ ἐστι κατὰ τὸ Λόγιον: Τοῦτο εἶναι καὶ ἀπὸ τὴ Σοφία τοῦ Σολομώντα, ὅπου ἡ Σοφία τῶν ὅλων ὀνομάζεται «τεχνήτρα»[13] (τεχνῖτις), καὶ ἀπὸ τὶς Παροιμίες, ὅπου ἡ Σοφία λέει «Ἐγὼ ἤμουν ταιριαστὴ σ' αὐτόν»[14]. Καὶ ὁ Δαβὶδ λέει· «δημιούργησες τὰ πάντα μὲ σοφία»[15].

Λόγος δὲ ὁ Θεός: Ἐδῶ μιλάει γιὰ τὸν Θεὸ Λόγο, καὶ γιατὶ λέγεται Λόγος, τί δηλώνει ἡ ὀνομασία αὐτή, καὶ ἀναφέρει μίαν αἰτία γιὰ τὴν ὁποία ὀνομάζεται Λόγος, γιὰ τὸ λόγο ὅτι περιέχει μέσα του τὶς αἰτίες ὅλων τῶν ὄντων. Γιατὶ οἱ λόγοι σύνολης τῆς φύσης περιέχονται σ' αὐτόν, ὡς αἴτιο ὅλης τῆς δημιουγίας. Γιατὶ μέσω αὐτοῦ ἔγιναν τὰ πάντα. Τόσο δηλαδὴ οἱ ἰδέες, ὅσο καὶ τὰ παραδείγματα εἶναι μέσα του ὄχι διάφορα σὲ κάτι διάφορο,

14. Παρμ. 5,30.
15. Ψαλμ. 103,24.

ἑτέρῳ, ἀλλὰ νοήσεις ἀΐδιοι οὖσαι, καὶ λόγοι ποιοῦντες τὰ πάντα, τουτέστι φύσις· καὶ ἡ φύσις γὰρ λόγος, αἰτίαν ἔχων καὶ φύσιν, ὡς οὐκ εἰκῇ καὶ μάτην αἱ φύσεις τῶν ὄντων εἰσί. Λέγει δὲ αὐτὸν Λόγον, καὶ ὡς καὶ πάντων χωροῦντα ἀκωλύτως, καὶ πάντα περιιόντα, καὶ μέχρι τῶν ἐσχάτων, ὡς ἐν τῇ πρὸς Ἑβραίους· «ζῶν γὰρ ὁ λόγος καὶ ἐνεργής», καὶ τὰ ἑξῆς.

Οὗτος ὁ Λόγος ἐστίν: Ὅτι ὁ Θεὸς Λόγος, ἡ αὐτὸ καὶ τῷ ὄντι οὖσα ἀλήθεια, εἰκότως ἐστὶ καὶ ἁπλῆ τῶν ὄντων γνῶσις. Τί δέ ἐστι γνῶσις, εὐθὺς ἐπισυνάπτει διδάσκων.

Εἰ γὰρ ἡ γνῶσις ἑνωτική: Τὰ περὶ τῆς ἀληθοῦς γνώσεως σαφηνίζων, αὐτὸς ὁ Θεὸς Λόγος Χριστὸς Ἰησοῦς, περὶ οὗ ὁ λόγος, καὶ ὅτι ἡ γνῶσις ἀληθῶς ἑνωτική ἐστι τῶν ἐγνωκότων καὶ τῶν ἐγνωσμένων, φησί· «κἀγὼ γινώσκω τὰ ἐμὰ πρόβατα, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν· καθὼς γινώσκει με ὁ Πατήρ, κἀγὼ γινώσκω τὸν Πατέρα». Ὥσπερ γὰρ ἡ γνῶσις γνοῦσα ἐκεῖνο ὃ γνῶναι ἠθέλησεν, ἑνοῦται τῷ γνωσθέντι, οὐκέτι ἀμφιβολίαν ἔχουσα περὶ αὐτοῦ, οὐδὲ διὰ τὴν ἀμφιβολίαν σχιζομένη εἰς ἑτέρας ἐννοίας καὶ ἀστατοῦσα, καὶ ἄγνοια διὰ τοῦτο γενομένη, διὰ τὸ μὴ πεισθῆναι ὅτι ἔγνω, οὕτως οἱ πιστοὶ τῇ γνώσει ἑνωθέντες τῷ γνωσθέντι Χριστῷ, ὅς ἐστιν ὁ Θεὸς Λόγος, καὶ τὴν πίστιν εἰς αὐτὸν ἐρείσαντες, μονιμωτάτην καὶ ἀσάλευτον τῶν ἐγνωσμένων τὴν πίστιν ἔχοντες, ὅτι Θεὸν ἔγνωσαν καὶ ὑπὸ Θεοῦ ἐγνώσθησαν, ἐξεστήκασι μὲν τῆς ἀγνοίας, ἣν εἴπομεν διαιρεῖν καὶ σχίζειν καὶ διασαλεύειν εἰς ἄλλοτε ἄλλας ἀμφιβολίας, ὡς μὴ γνοῦσαν ὃ δεῖ γνῶναι, ἐφεστήκασι δὲ τῇ βεβαιότητι, τῇ πίστει πληροφορηθέντες, ὅτι ἔγνωσαν καὶ ἡνώθησαν διὰ

---

16. Ἴσως σοφίαν.

ἀλλὰ νοήσεις ποὺ εἶναι ἀίδιες, καὶ λόγοι ποὺ κάνουν τὰ πάντα, δηλαδὴ φύση. Γιατὶ καὶ ἡ φύση εἶναι λόγος ποὺ ἔχει αἰτία καὶ φύση[16], ἐπειδὴ οἱ φύσεις τῶν ὄντων δὲν ὑπάρχουν τυχαῖα καὶ ἄσκοπα. Καὶ τὸν ὀνομάζει Λόγο, κι ἐπειδὴ προχωρεῖ ἀκώλυτα διαμέσου ὅλων καὶ περιέρχεται τὰ πάντα μέχρι καὶ τὰ τελευταῖα, ὅπως λέει στὴν πρὸς Ἑβραίους ἐπιστολή· «ὁ Λόγος εἶναι ζωντανὸς καὶ ἐνεργός»[17], καὶ τὰ λοιπά.

Οὗτος ὁ Λόγος ἐστίν: Δηλαδὴ ὁ Θεὸς Λόγος, ποὺ εἶναι αὐτὴ καὶ ἡ πραγματικὴ ἀλήθεια, εὔλογα εἶναι καὶ ἁπλὴ γνώση τῶν ὄντων. Τί εἶναι γνώση τὸ ἐπισυνάπτει ἀμέσως μὲ τὴ διδασκαλία του.

Εἰ γὰρ ἡ γνώση ἑνωτική: Διασαφηνίζοντας τὰ σχετικὰ μὲ τὴ γνώση, ὁ ἴδιος ὁ Θεὸς Λόγος Ἰησοῦς Χριστός, γιὰ τὸν ὁποῖο μιλάει, καὶ ὅτι ἡ γνώση στ' ἀλήθεια ἑνώνει αὐτοὺς ποὺ γνωρίζουν μ' αὐτοὺς ποὺ γνωρίζονται, λέει· «καὶ ἐγὼ γνωρίζω τὰ πρόβατά μου, καὶ τὰ δικά μου μὲ γνωρίζουν. Ὅπως μὲ γνωρίζει ὁ Πατέρας, ἔτσι γνωρίζω κι ἐγὼ τὸν Πατέρα»[18]. Ὅπως δηλαδὴ ἡ γνώση, ὅταν γνωρίσει ἐκεῖνο ποὺ θέλησε, ἑνώνεται μὲ αὐτὸ ποὺ ἔγινε γνωστό, χωρὶς νὰ ἔχει πιὰ καμμιὰ ἀμφιβολία γι' αὐτό, οὔτε ἐξαιτίας τῆς ἀμφιβολίας νὰ μοιράζεται σὲ ἄλλες ἔννοιες καὶ νὰ ἀστατεῖ καὶ γι' αὐτὸ νὰ γίνει ἄγνοια, γιὰ τὸ ὅτι δὲν ἔχει πειστεῖ ὅτι γνώρισε, ἔτσι καὶ οἱ πιστοί, ἀφοῦ ἑνωθοῦν μέσω τῆς γνώσης μὲ τὸν Χριστὸ ποὺ ἔγινε γνωστός, ποὺ εἶναι ὁ Θεὸς Λόγος, κι ἀφοῦ στήριξαν τὴν πίστη τους σ' αὐτόν, ἔχοντας μονιμότατη καὶ ἀσάλευτη τὴν πίστη ἐκείνων ποὺ ἔγιναν γνωστὸν ὅτι γνώρισαν τὸ Θεὸ καὶ ἔγιναν γνωστοὶ ἀπὸ τὸν Θεό, βγῆκαν ἀπὸ τὴν ἄγνοιά τους ποὺ εἴπαμε ὅτι διαιρεῖ καὶ σχίζει καὶ διασαλεύει σὲ ἄλλες κάθε φορὰ ἀμφιβολίες, ἐπειδὴ δὲν γνωρίζει αὐτὸ ποὺ πρέπει νὰ γνωρίζει, κι ἐπιμένουν στὴ βεβαιότητά τους, πληροφορημένοι ἀπὸ τὴν πίστη ὅτι

17. Ἑβρ. 4,12.
18. Ἰω. 10,14-15.

τοῦτο τῷ γνωσθέντι. Ὁ μὲν οὖν ἐν τῷ σκότῳ τῆς ἀγνοίας, κατὰ τὸν Ἀπόστολον, ὤν, ὑπὸ τῆς πλάνης αὐτῆς σαλευόμενος, περιφέρεται παντὶ ἀνέμῳ τῆς κυβείας τῶν ἀνθρώπων, ὥσπερ οἱ ἐν πελάγει κλυδωνιζόμενοι (καὶ ταῦτα γάρ φησιν ὁ Ἀπόστολος), καὶ νομίζει τοὺς γνωστικοὺς μαίνεσθαι, ὡς καὶ ὁ Φῆστος ἔφη τῷ Παύλῳ κηρύττοντι τὴν θείαν γνῶσιν, «μαίνῃ, Παῦλε». Ὁ γνωστικὸς καὶ τῷ ὄντι Χριστιανός, ἅτε τῇ ἀληθείᾳ γνοὺς Χριστὸν καὶ δι' αὐτοῦ τὴν θεογνωσίαν κτησάμενος, τὴν ἑνιαίαν λέγω τῆς ἀληθείας γνῶσιν (ἑνιαία δέ ἐστιν ἡ ἁπλῆ καὶ ἀσύνθετος γνῶσις), ἐξέστηκε μὲν τοῦ κόσμου, μὴ ὢν ἐν τῇ κοσμικῇ τῶν ἀπίστων γνώμῃ καὶ πλάνῃ, ἑαυτὸν δὲ γινώσκει νήφοντα καὶ ἀπηλλαγμένον τῆς πολυπλανοῦς ἀπιστίας· διὸ καὶ καθ' ἑκάστην ἡμέραν ἀποθνήσκουσιν ὑπὲρ τῆς ἀληθείας, οὐ μόνον μέχρι θανάτου κινδυνεύοντες ἑκάστοτε διὰ τὴν ἀλήθειαν, ἀλλὰ καὶ τῇ ἀγνοίᾳ τελευτῶντες πάντοτε, τῇ δὲ γνώσει ζῶντες καὶ Χριστιανοὶ μαρτυρούμενοι.

Διαιρέσεως αἰτία: Διαίρεσιν ἐνταῦθα τὸ τῆς γνώμης ἀνίδρυτον καὶ εἰς πολλὰ μεριζόμενον ἔφη.

Ἑστίας: Μονῆς, οἰκήσεως.

Τῇ ἑνιαίᾳ τῶν Χριστιανῶν: Ἑνιαίαν τὴν καθ' ἡμᾶς πίστιν ὠνόμασεν, ὡς ἁπλῆν τε καὶ ἀπλανῆ τὴν τοῦ ὄντος ἀληθῶς ἔχουσαν γνῶσιν.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ Η'

§ 1. Καὶ ὡς δύναμιν: Κατὰ τί λέγεται δύναμις ὁ Θεός.

Καὶ τὴν κυρείαν: Ὡς τό, «Κύριος τῶν δυνάμεων αὐτός

γνώρισαν καὶ γι' αὐτὸ ἑνώθηκαν μ' αὐτὸ ποὺ ἔκαναν γνωστό τους. Ὅποιος λοιπὸν βρίσκεται στὸ σκότος τῆς ἄγνοιας, κατὰ τὸν Ἀπόστολο, σαλευόμενος ἀπὸ αὐτὴν τὴν πλάνη, πειριφέρεται ἀπὸ κάθε ἄνεμο τῆς ἀνθρώπινης ἀπάτης, ὅπως ὅσοι κλυδωνίζονται μέσα στὸ πέλαγος[19] (καὶ αὐτὰ βέβαια τὰ λέει ὁ Ἀπόστολος), καὶ νομίζει ὅτι οἱ γνωστικοὶ εἶναι τρελλοί, ὅπως καὶ ὁ Φῆστος εἶπε στὸν Παῦλο ὅταν κήρυττε τὴ θεία γνώση· «τρελλάθηκες, Παῦλε»[20]. Ὁ γνωστικὸς καὶ πραγματικὰ Χριστιανός, ἐπειδὴ γνώρισε στ' ἀλήθεια τὸν Χριστὸ καὶ μέσω αὐτοῦ ἀπέκτησε τὴ θεογνωσία, ἐννοῶ τὴν ἑνιαία γνώση τῆς ἀλήθειας (καὶ ἑνιαία γνώση εἶναι ἡ ἁπλὴ καὶ ἀσύνθετη γνώση), βγῆκε αὐτὸς ἀπὸ τὸν κόσμο, ἀφοῦ δὲν ζεῖ μέσα στὴν κοσμικὴ γνώση καὶ πλάνη τῶν ἀπίστων, καὶ γνωρίζει τὸν ἑαυτό του νὰ εἶναι νηφάλιος καὶ ἀπαλλαγμένος ἀπὸ τὴ χιλιοπλανημένη ἀπιστία. Γι' αὐτὸ καὶ κάθε μέρα πεθαίνουν γιὰ χάρη τῆς ἀλήθειας, ὄχι μονάχα κινδυνεύοντας κάθε φορὰ γιὰ τὴν ἀλήθεια μέχρι θανάτου, ἀλλὰ καὶ μὲ τὴν ἄγνοια πεθαίνοντας πάντοτε, ἐνῶ μὲ τὴ γνώση ζοῦν καὶ δίνουν τὴ μαρτυρία τους γιὰ τὸν Χριστό.

Διαιρέσεως αἰτία: Διαίρεση ἐδῶ εἶπε τὴ μὴ σταθερὴ γνώμη ποὺ μοιράζεται σὲ πολλά.

Ἑστίας: Δηλαδὴ διαμονῆς, κατοικίας.

Τῇ ἑνιαίᾳ τῶν Χριστιανῶν: Ἑνιαία ὀνόμασε τὴ δική μας πίστη, ἐπειδὴ ἔχει ἁπλὴ καὶ δίχως πλάνη τὴ γνώση αὐτοῦ ποὺ ὑπάρχει ἀληθινά.

ΣΤΟ ΚΕΦΑΛΑΙΟ 8

§ 1. Καὶ ὡς δύναμιν: Ὡς πρός τί ὁ Θεὸς λέγεται δύναμη.

Καὶ τὴν κυρείαν: Τὸ ἴδιο νόημα μὲ τὸ χωρίο, «Κύριος τῶν

19. Ἐφ. 4,14.
20. Πράξ. 26,24.

ἐστιν ὁ Βασιλεὺς τῆς δόξης»· πάλιν· «Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ.

Δυνάμεων ἀφορίζουσα: Ἀφορίζουσα, τουτέστιν ἀποδιαστέλλουσα καὶ χωρίζουσα.

§ 2. Κατὰ δύναμιν ἄκλιτον: Ἄκλιτον ἔφη, τουτέστι τῆς οἰκείας ἀκρότητος μὴ ὑποκατιοῦσαν· οὐ γὰρ κλινόμενος εἰς δύναμιν δημιουργεῖ, ἀλλ' ἀκίνητος καὶ ἄκαμπτος ὑπάρχων τῆς ἰδίας ἰσχύος παράγει τὰ ὄντα. Τάχα δὲ λεκτέον ἄκλειτον καὶ τὸ οἷον μὴ κλειόμενον· διὸ ἐπάγει καὶ ἀπεριόριστον· οὐ γὰρ κλείεται, ὡς ἀδυναμοῦσα ἔν τινι, ἀλλ' ἀεὶ ἀνέῳγεν ἐν δυνάμει τοῦ πάντα ποιεῖν ἡ τοῦ Θεοῦ δύναμις.

Καὶ τὴν ἀσθένειαν δυναμοῖ: Ἀσθένειαν καλεῖ τὰ ὑλικὰ ταῦτα καὶ περίγεια σώματα, ἅτινα καὶ ἔσχατα ἀπηχήματά φησι, καθὰ πολλάκις ἀνωτέρω ἔφημεν, διὰ τὸ ἀμυδρῶς καὶ κατὰ τὴν οἰκείαν ἐπιτηδειότητα μετέχειν τῆς δυνάμεως τοῦ Θεοῦ. Καὶ περὶ μὲν τῶν καθ' ἡμᾶς σωμάτων εἴρηται, «πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ», θεωρητέον δὲ τοῦτο καὶ ἐν τοῖς λοιποῖς ζώοις, ὡς ἐπὶ τῶν ἐμπίδων καὶ τῶν μυιῶν καὶ τῶν τοιούτων, ὁπόσον ἰσχύουσιν ἐν τοῖς οἰκείοις κέντροις, τὰ οὕτως ἀσθενῆ καὶ ἐξουθενημένα ζῶα, ἐνδυναμωθέντα παρὰ τοῦ ποιήσαντος Θεοῦ· ὅθεν καὶ ἐν Ἰωὴλ τῷ θείῳ προφήτῃ φησὶν ὁ Θεὸς περὶ ἀκρίδος καὶ βρούχου καὶ κάμπης, «ἡ δύναμίς μου ἡ μεγάλη», καὶ πῶς ἄχρι τούτων τὸ ἀπειροδύναμον τοῦ Θεοῦ φθάνει, φησὶν εἰκόνας θαυμαστὰς καὶ ἀληθεστάτας. Ἀλλὰ καὶ ἐν τοῖς ἀψύχοις τὸ αὐτὸ εὑρήσεις, ἐν πόαις καὶ βοτάναις καὶ μετάλλοις θεωρῶν δυνάμεις βλαπτικὰς καὶ ὠφελίμους· καὶ εὔ-

---

1. Ψαλμ. 23,10. 2. Ψαλμ. 45,7.

δυνάμεων, αὐτὸς εἶναι ὁ Βασιλεὺς τῆς δόξας»[1]· καὶ ἐπίσης, «ὁ Κύριος τῶν δυνάμεων εἶναι μαζί μας, βοηθός μας ὁ Θεὸς τοῦ Ἰακώβ»[2].

Δυνάμεων ἀφορίζουσα: Ἀφορίζουσα, δηλαδή, ποὺ ἀπομακρύνει, ποὺ ἀποχωρίζει.

§ 2. Κατὰ δύναμιν ἄκλιτον: Εἶπε ἄκλιτη (ποὺ δὲν κλίνει, δὲν λυγίζει), δηλαδὴ ποὺ δὲν κατεβαίνει ἀπὸ τὸ ἀκραῖο ὕψος της. Γιατὶ δὲν δημιουργεῖ κλίνοντας στὴ δύναμή του, ἀλλὰ μένοντας ἀκίνητος καὶ ἄκαμπτος ἀπὸ τὴν ἴδια του τὴν ἰσχύ, δημιουργεῖ τὰ ὄντα. Ἴσως μπορεῖ νὰ λεχθεῖ καὶ ἄ–κλειτον (α + κλείω), ὅπως αὐτὸ ποὺ δὲν κλείνει. Γι' αὐτὸ προσθέτει «καὶ ἀπεριόριστο». Δὲν κλείνει δηλαδή, ἐπειδὴ εἶναι ἀδύναμη σὲ κάτι, ἀλλὰ πάντοτε εἶναι ἀνοιχτὴ μὲ τὴ δυνατότητα νὰ κάνει τὰ πάντα ἡ δύναμη τοῦ Θεοῦ.

Καὶ τὴν ἀσθένειαν δυναμοῖ: Ἀσθένεια καλεῖ αὐτὰ τὰ ὑλικὰ καὶ γήινα σώματα, ποὺ τὰ ὀνομάζει καὶ 'ἔσχατα ἀπηχήματα', ὅπως συχνὰ εἴπαμε πιὸ πάνω, ἐπειδὴ μετέχουν ἀμυδρὰ καὶ σύμφωνα μὲ τὴν ἱκανότητά τους τῆς θείας δύναμης. Καὶ γιὰ τὰ δικά μας βέβαια σώματα ἔχει λεχθεῖ, «εἶμαι δυνατὸς γιὰ ὅλα μὲ τὴ βοήθεια τοῦ Χριστοῦ ποὺ μ' ἐνδυναμώνει»[3], πρέπει ὅμως νὰ τὸ δεχθοῦμε αὐτὸ καὶ γιὰ τὰ ὑπόλοιπὰ ζῶα, ὅπως εἶναι τὰ κουνούπια καὶ οἱ μύγες καὶ τὰ παρόμοια, ποὺ τόση δύναμη ἔχουν στὰ κεντριά τους τὰ τόσο ἀσθενικὰ αὐτὰ κι ἀσώματα ζῶα, ἔχοντας ἐνδυναμωθεῖ ἀπὸ τὸν δημιουργό τους Θεό. Γι' αὐτὸ καὶ στὸν θεῖο προφήτη Ἰωὴλ ὁ Θεὸς λέει γιὰ τὴν ἀκρίδα καὶ τὸν βροῦχο καὶ τὴν κάμπια, «ἡ μεγάλη μου δύναμη»[4], καὶ γιὰ τὸ πῶς φτάνει ὡς αὐτὰ ἡ ἄπειρη δύναμη τοῦ Θεοῦ δίνει εἰκόνες θαυμαστὲς καὶ ἀληθινότατες. Ἀλλὰ τὸ ἴδιο θὰ βρεῖς καὶ στὰ ἄψυχα, στὰ χαμόφυτα καὶ στὰ βοτάνια καὶ στὰ μέταλλα, παρατηρώντας δυνάμεις βλαβερὲς καὶ ὠφέλιμες. Καὶ βέβαια τὰ πιὸ πολλὰ εἶναι

3. Φιλ. 4,13.
4. Ἰωὴλ 1,2–4.

θρυπτα τὰ πλείω, καὶ ἄλλα ἰσχυρὰ καὶ ἀνένδοτα, ὡς τὸν ἀδάμαντα. Ἄλλως. Ἀσθένειαν δυναμουμένην ἐν τούτοις τὰ ἀσθενέστατα τῶν ζώων φησί, ταύτην ἔχοντα τοῦ ὄντως εἶναι τὴν δύναμιν, ἢ ἀσθένειαν οἰητέον τὴν ἄψυχον καὶ πάντῃ ἀκίνητον φύσιν, ἥτις τὴν οὐσιώδη, τουτέστι τὴν τοῦ ὅλως εἶναι δύναμιν, εἴληφεν ἐκ Θεοῦ.

§ 3. Καὶ αὐτὸ δέ, εἰ θέμις: Τουτέστιν, οὐκ ἦν δυνατὸν εἶναί τι ὅλως, μὴ τοῦτο τῆς θείας δυνάμεως ὑποστησαμένης.

Δύναμιν εἰς τὸ εἶναι ἔχει: Τὴν δύναμιν οὐ μόνον τὴν εἰς τὸ συνεστάναι ἰσχὺν νοεῖ, ἀλλὰ καὶ τὴν ἐπιτηδειότητα εἰς τὸ τοιῶσδε εἶναι δύναμιν σημαίνει. Διάδοσιν δὲ καλεῖ δυνάμεως τὴν εἰς τὰ ἔξω περὶ τὰ ὄντα πρόοδον τῆς προνοίας τοῦ Θεοῦ καὶ ἀγαθότητος, εἰς τὸ εἶναι τὰ ὄντα καὶ παραχθῆναι. Καὶ πρώτην μὲν δύναμίν φησι τὴν τῶν ὄντων· ταῦτα δέ εἰσι τὰ νοητὰ καὶ ἀσώματα ὄντα λεγόμενα, ὡς ἀθάνατα, τοῖς δέ γε νοητοῖς καὶ τὰ νοερὰ συγκατατακτέον, ὡς ψυχικὰς τὰς καὶ λογικὰς νῦν λεγομένας· ὁ γὰρ λόγος νοῦς ἐστι, καθ' ὃν ἡ ψυχὴ καθ' ὑπόβασιν μετὰ τοὺς ἀγγέλους νοερὰ λέγεται. Εἶτα καὶ ταύτης ὑφειμένη δύναμις ἡ αἰσθητική, ἡ τῶν ἐμψύχων ἀλόγων· εἶτα ἡ ζωτικὴ καὶ ἡ φυτική, ἡ τῶν φυτῶν ἁπάντων καὶ βοτανῶν, καθ' ἣν φυτικὴν ζωὴν ἀνθοῦσι· μετὰ δὲ πάσας ἡ οὐσιώδης δύναμις, τουτέστιν ἡ τῶν ἀψύχων, οἷον τῶν μεταλλικῶν καὶ γεωδεστέρων, ἥτις δύναμις ἡ συνιστῶσα καὶ εἰς τὸ εἶναι διαρκεῖν ποιοῦσα, καὶ τὴν τῶν ποιοτήτων δύναμιν δίδωσι θερμῶν ἢ ψυχρῶν ἢ τῶν ἑξῆς κράσεων, καὶ ἤτοι ὠφελεῖν, ἢ τοιῶσδε ὠφελεῖν. Καὶ τὰς ὀρεκτικὰς δὲ δυνάμεις, τοῦ θέλειν ἀεὶ τὰ λογικὰ δύνασθαι καὶ ἐπιθυμεῖν, ὁ χορηγῶν ἐστι Θεός, καὶ δυναμοῖ πρὸς φιλίαν τὰ ἡνωμένα καὶ πρὸς κοινωνίαν, τουτέστι τὰ σπέρματα πάντων, ἤτοι τὰ στοιχεῖα συμμέτρως πρὸς σύνοδον ὁδεύοντα

εὔθραυστα, ἀλλ' ὅμως εἶναι ἰσχυρὰ καὶ ἀνένδοτα, ὅπως τὸ διαμάντι. Ἄλλη ἑρμηνεία. Ἀσθένεια, ποὺ δυναμώνει σ' αὐτά, λέγει τὰ ἀσθενέστατα ἀπὸ τὰ ζῶα, ποὺ ἔχουν αὐτὴ τὴ δύναμη τοῦ πραγματικοῦ ὄντος, ἢ ἀσθένεια πρέπει νὰ θεωρήσομε τὴν ἄψυχη κι ἐντελῶς ἀκίνητη φύση, ἡ ὁποία ἔλαβε τὴν οὐσιώδη δύναμη, δηλαδὴ τὴ δύναμη τῆς ὕπαρξης γενικά, ἀπὸ τὸν Θεό.

§ 3. Καὶ αὐτὸ δέ, εἰ θέμις: Δηλαδή, δὲν ἦταν δυνατὸν νὰ ὑπάρχει γενικὰ κάτι, ἂν δὲ τοῦ ἔδινε τὴν ὑπόστασή του ἡ θεία δύναμη.

Δύναμιν εἰς τὸ εἶναι ἔχει: Λέγοντας 'δύναμη' δὲν ἐννοεῖ μόνο τὴν ἰσχὺ τῆς σύστασης, ἀλλὰ σημαίνει καὶ τὴν ἱκανότητα στὸ νὰ εἶναι δύναμη μὲ αὐτὸν τὸν τρόπο. 'Διάδοση δύναμης' πάλι καλεῖ τὴν πρόοδο πρὸς τὰ ἔξω σχετικὰ μὲ τὰ ὄντα τῆς πρόνοιας καὶ τῆς ἀγαθότητας τοῦ Θεοῦ γιὰ νὰ ὑπάρχουν τὰ ὄντα καὶ νὰ δημιουργηθοῦν. Καὶ πρώτη βέβαια λέει τὴ δύναμη τῶν ὄντων· κι αὐτὰ εἶναι τὰ νοητὰ καὶ λεγόμενα ἀσώματα ὄντα, ἐπειδὴ εἶναι ἀθάνατα. Μετὰ τὰ νοητὰ πρέπει νὰ κατατάξομε καὶ τὰ νοερά, ὡς δυνάμεις ψυχικές, ποὺ τώρα λέγονται καὶ λογικές. Γιατὶ ὁ λόγος εἶναι νοῦς καὶ σύμφωνα μ' αὐτὸν ἡ ψυχὴ ὡς κατώτερη καὶ μετὰ τοὺς ἀγγέλους λέγεται νοερή. Ἔπειτα καὶ ἀπὸ αὐτὴν κατώτερη δύναμη εἶναι ἡ δύναμη τῆς αἴσθησης, ἡ δύναμη τῶν ἄλογων ἔμψυχων ζώων. Ἔπειτα ἡ ζωτικὴ καὶ ἡ φυσική, ἡ δύναμη ὅλων τῶν φυτῶν καὶ τῶν χόρτων, ποὺ ἀνθοῦν μ' αὐτὴ τὴ φυτικὴ ζωή. Κι ἔπειτα ἀπὸ ὅλες, ἡ οὐσιώδης δύναμη, δηλαδὴ τῶν ἄψυχων, ὅπως εἶναι τῶν μετάλλων καὶ τῶν πιὸ γεωδῶν, ἡ ὁποία δύναμη τὰ συγκροτεῖ καὶ τὰ κάνει νὰ παραμένουν στὸ εἶναι καὶ δίνει τὴ δύναμη τῶν ποιοτήτων, τῶν θερμῶν ἢ τῶν ψυχρῶν ἢ τῶν λεπτῶν κράσεων, καὶ ἢ νὰ ὠφελοῦν γενικὰ ἢ μ' ἕνα συγκεκριμένο τρόπο. Καὶ τὶς δυνάμεις τῆς ἐπιθυμίας, τὸ νὰ θέλουν πάντοτε (τὰ λογικὰ) νὰ μποροῦν καὶ νὰ ὀρέγονται, τὶς χορηγεῖ ὁ Θεός, ὁ ὁποῖος δυναμώνει τὰ ἑνωμένα γιὰ φιλία καὶ κοινωνία, δηλαδὴ ὅλων τὰ σπέρματα, ἤτοι τὰ στοιχεῖα ποὺ τείνουν σύμμετρα σὲ σύνοδο, καὶ σμίγοντας μεταξύ τους καὶ

καὶ πρὸς ἄλληλα μιγνύμενα καὶ πλησιάζοντα πρᾴως, εἰς δύναμιν ἄγει τοῦ τὰ αἰσθητὰ ὅμοια γεννᾷν. Τῆς γοῦν ἑνώσεως ταύτης καὶ τοῦ μίγματος τῶν ἡνωμένων εἰς φιλίαν, ὡς ἔφημεν, στοιχείων τρεπομένου εἰς διαφορὰν καὶ χωρισμόν, διακρινόμενα τὰ μέρη χωρίζεται εἰς γενέσεις καὶ ζώων καὶ φυτῶν καὶ τῶν ἑξῆς, καὶ λαμβάνει θεόθεν ἡ διάκρισις αὕτη, ἤτοι ὁ χωρισμός, δύναμιν εἰς τὸ εἶναι καὶ παραγωγὴν τοῦ εἶναι τὰ κατ' εἶδος γινόμενα. Τὰς οὖν συγκρίσεις καὶ διακρίσεις, ἑνώσεις καὶ φιλίας ἔφη, καὶ ἀσύγχυτα καὶ ἀσύμφυρτα τὰ εἴδη διάκρισιν ὠνόμασε. Σημείωσαι, ὡς καὶ αὐτὴν τὴν ἔφεσιν ἐκ Θεοῦ ἔχουσιν αἱ ἀγγελικαὶ δυνάμεις.

§ 4. Καὶ τὸ εἶναι ταῦτα: Ἡ τῶν ὄντων φύσις τὸ εἶναι ἐπιζητεῖ οὐ προαιρετικῶς, ἀλλὰ τῷ ἀναγκαίῳ τε καὶ χρησίμῳ τῆς ὑπάρξεως· καὶ τοῦτο οὖν φησι τὸ οὕτως εἶναι, καὶ τὴν δύναμιν τοῦ ἐπιζητεῖσθαι, ὡς ἀναγκαῖον τὸ εἶναι παρὰ τῆς θείας καὶ ἀπειροδυνάμου οὐσίας.

§ 5. Καὶ εὐθημοσύνας: Εὐθημοσύνας φησὶ τὰς εὖ ἐχούσας θέσεις, καὶ τάξεις εὐθέτους τὰς εὐσχήμους δημιουργίας, ἀγγελικῶν δὲ ἑνάδων τῶν ἁπλοτήτων φησίν· ἢ ἑνάδας καλεῖ τὰς τῶν οὐσιῶν αὐτῶν ἁπλότητας καὶ ἀσωματίας καὶ ἀϋλίας. Σημείωσαι δέ, ὅτι τοὺς ἀστέρας διαιωνίζειν λέγει.

Καὶ τάξεις ἀναλλοιώτους: Ἀναλλοιώτους τὰς οὐρανίας οὐσίας, μὴ κατὰ τὸ ἀϊδίως εἶναι νοήσῃς (αὐτοὶ γάρ, κατὰ τὸ γεγραμμένον, λειτουργικὰ πνεύματά εἰσιν), ἀλλὰ περὶ τὴν φυλακὴν τῶν ἐξ ἀρχῆς αὐταῖς ὑπὸ Θεοῦ τεταγμένων ὅρων τὸ ἀναλλοίωτον νόησον. 'Προόδους δὲ τοῦ χρόνου' τὸ μῆκος τούτου καὶ τὴν ἐπὶ τὸ πρόσω φορὰν λέγει, 'διάκρισιν' δὲ τὴν διὰ τῆς

πλησιάζοντας ἤρεμα, τὰ ὁδηγεῖ στὴ δύναμη νὰ γεννοῦν τὰ ὅμοια αἰσθητά. Ὅταν λοιπὸν αὐτὴ ἡ ἕνωση καὶ ἡ μίξη τῶν στοιχείων, ποὺ ἔχουν ἑνωθεῖ, ὅπως εἴπαμε, σὲ φιλία, μεταβληθεῖ σὲ διαφορὰ καὶ χωρισμό, διακρίνονται τὰ μέρη τους καὶ χωρίζονται σὲ γενέσεις ζώων καὶ φυτῶν καὶ τῶν ἄλλων, καὶ ἡ διάκριση αὐτή, δηλαδὴ ὁ χωρισμός, παίρνει δύναμη ἀπὸ τὸν Θεό, γιὰ νὰ εἶναι ὕπαρξη καὶ ἱκανότητα παραγωγῆς τοῦ εἶναι σὲ διάφορα εἴδη. Τὶς συγκρίσεις λοιπὸν καὶ διακρίσεις τὶς εἶπε ἑνώσεις καὶ φιλίες, ἐνῶ τὰ εἴδη, ποὺ δὲν συγχέονται οὔτε συμφύρονται, τὰ ὀνόμασε διάκριση. Σημείωσε, ὅτι καὶ τὴν ἴδια ἀκόμα τὴν ἔφεση οἱ ἀγγελικὲς δυνάμεις τὴν ἔχουν ἀπὸ τὸν Θεό.

§ 4. Καὶ τὸ εἶναι ταῦτα: Ἡ φύση τῶν ὄντων ἐπιζητεῖ τὸ εἶναι ὄχι ἀπὸ προαίρεση, ἀλλὰ ἀπὸ ἀναγκαιότητα καὶ ὠφελιμότητα τῆς ὕπαρξης. Καὶ αὐτὸ λοιπόν, λέει, τὸ εἶναι μ' αὐτὸν τὸν τρόπο, καὶ τὴ δύναμη νὰ ἐπιζητοῦν τὰ ὄντα αὐτό, ἐπειδὴ εἶναι ἀναγκαῖο τὸ εἶναι, τὸ ἔχουν αὐτὰ ἀπὸ τὴ θεία καὶ ἀπειροδύναμη οὐσία.

§ 5. Καὶ εὐθημοσύνας: Εὐθημοσύνες (διαρρυθμίσεις) λέει τὶς καλοβαλμένες θέσεις, καλὰ τακτοποιημένες τάξεις λέει τὶς σύμμετρες δημιουργίες, ἐνῶ ἀγγελικὲς ἑνάδες τὶς ἁπλότητες· ἢ ἑνάδες ἀγγελικὲς καλεῖ τὶς ἁπλότητες τῶν οὐσιῶν αὐτῶν καὶ τὶς ἐλλείψεις σωμάτων καὶ ὕλης. Καὶ σημείωσε ὅτι λέει πὼς τὰ ἀστέρια μένουν αἰώνια.

Καὶ τάξεις ἀναλλοιώτους: Ἀναλλοίωτες μὴν θεωρήσεις τὶς οὐράνιες οὐσίες σύμφωνα μὲ τὴν ἀϊδιότητά τους, γιατὶ αὐτὲς εἶναι, σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ, λειτουργικὰ πνεύματα[5], ἀλλ' ἐννόησε τὸ ἀναλλοίωτό τους σχετικὰ μὲ τὴ φύλαξη τῶν ὁρίων ποὺ ἀπὸ τὴν ἀρχὴ τοὺς ἔταξε ὁ Θεός. 'Προόδους τοῦ χρόνου' λέει τὸ μῆκος αὐτοῦ καὶ τὴ φορά του πρὸς τὰ ἐμπρός.

5. Ἑβρ. 1,14.

ἐναλλαγῆς τῶν καιρῶν, ἤτοι ὡρῶν, σημείωσιν πρὸς τὰ αὐτὰ πάλιν ἀποκαθισταμένην· διὸ καὶ συνελίξεις ἐκάλεσε τοῦ χρόνου τὴν κίνησιν· ἢ 'προόδους χρονικάς' φησι τὰς τῶν πλανήτων ἄστρων κινήσεις, ἐπί τινα ἀριθμὸν χρόνου διερπούσας τὰ ιβ' τῶν λεγομένων οἴκων διαστήματα· 'ἀποκαταστάσεις' δὲ τὰς ἀπὸ σημείου τινὸς ἐπὶ τὸ αὐτὸ σημεῖον ἐπαναδρομάς· οἷον ὁ ἥλιος δι' ἐνιαυτοῦ περιπολεῖ τοὺς ιβ' οἴκους ἀπὸ τοῦ λεγομένου κριοῦ ἐπὶ τὸν αὐτὸν κριὸν διερχόμενος, ἡ σελήνη διὰ μηνός, καὶ οἱ ἑξῆς ε' οὕτως· ἐκ γὰρ τούτων οἱ χρόνοι μετροῦνται.

Καὶ τὰς τοῦ πυρὸς δυνάμεις: Τοῦ αἰθερίου δηλονότι. Φησὶ δὲ περὶ τῶν τεσσάρων στοιχείων, καὶ ὅτι ἡ γῆ ἐπ' οὐδενὸς τεθεμελίωται, ἡ δὲ Γραφήν φησιν, «ἐπὶ ὑδάτων ἐθεμελίωσας».

Τὰς οὐσιώδεις: Ἴσως οὐσιώδη λέγονται καὶ τὰ πάντα ἄψυχα καὶ ἀναίσθητα, δηλονότι ἀπὸ τοῦ εἶναι οὕτω λεγόμενα.

Καὶ τὴν θέωσιν: Ἐκθεοῦνται οἱ δίκαιοι καὶ οἱ ἄγγελοι, κατὰ τὸ «Ἐγὼ εἶπα· θεοί ἐστε».

Παντελῶς θέσις: Θέσιν καλεῖ τὴν εἰς τὸ εἶναι παραγωγήν, ἀντὶ τοῦ, Ὃ μὴ μετέχει δυνάμεως, οὐδὲ ἐν δημιουργίᾳ ἐστί.

§ 6. Καίτοι φησὶν Ἐλύμας ὁ μάγος: Δείκνυται ἐντεῦθεν τοῦ ἁγίου τούτου ἀνδρὸς ἡ ἀρχαιότης· ἃ γὰρ εἶπεν Ἐλύμας ὁ μάγος, ὃς καὶ ἀντέστη τῷ ἁγίῳ Παύλῳ ἐν Κύπρῳ, γινώσκει, οὗ αἱ Πράξεις τῶν ἁγίων ἀποστόλων μέμνηνται. Ὅμως πολλοὺς ὁμοίους τῷ Ἐλύμᾳ ἡ Ἀραβία ἔχει, οἵ φασι πρὸς ἡμᾶς λέγοντας, Ἰησοῦν Χριστὸν τὸν Θεὸν Λόγον σαρκὶ παθεῖν ὑπὲρ ἡμῶν, ἀλλὰ μὴ θεότητι, ὅτι, 'Εἰ μὴ δέχεσθε αὐτὸν θεότητι παθεῖν ὡς

6. Οἱ θέσεις τῶν ζωδίων στὸν ζωδιακὸ κύκλο.

'Διάκριση' λέει τὸ πέρασμα ἀπὸ τὰ σημεῖα, ποὺ μὲ τὴν ἐναλλαγὴ τῶν καιρῶν, δηλαδὴ τῶν ὡρῶν, ἀποκαθίσταται στὰ ἴδια πάλι. Γι' αὐτὸ τοῦ χρόνου τὴν κίνηση τὴν κάλεσε συνελίξεις· ἢ 'προόδους χρονικὲς' λέει τὶς κινήσεις τῶν πλανητῶν, ποὺ γιὰ ἕνα ὁρισμένο διάστημα χρόνου διαπερνοῦν τὰ δώδεκα διαστήματα τῶν λεγομένων οἴκων[6]. 'Ἀποκαταστάσεις' λέει τὶς ἐπανόδους ἀπὸ κάποιο σημεῖο στὸ ἴδιο πάλι, ὅπως γιὰ παράδειγμα ὁ ἥλιος σ' ἕνα χρόνο περιπολεῖ τοὺς δώδεκα οἴκους (ζώδια), καὶ ἀπὸ τὸν λεγόμενο κριὸ ἐπανέρχεται πάλι στὸν ἴδιο τὸν κριό, ἡ σελήνη σὲ ἕνα μήνα, καὶ οἱ ἄλλοι πέντε ὅμοια. Γιατὶ ἀπὸ αὐτὰ μετριοῦνται οἱ χρόνοι.

Καὶ τὰς τοῦ πυρὸς δυνάμεις: Δηλαδὴ τῆς φωτιᾶς τῆς αἰθέριας. Μιλάει γιὰ τὰ τέσσερα στοιχεῖα καὶ ὅτι ἡ γῆ δὲν ἔχει θεμελιωθεῖ πουθενά. Ἡ Γραφὴ ὅμως λέει, «τὴ θεμελίωσες ἐπάνω στὰ νερά»[7].

Τὰς οὐσιώδεις: Ἴσως οὐσιώδη λέγονται καὶ ὅλα τὰ ἄψυχα καὶ ἀναίσθητα, ποὺ λέγονται βέβαια ἔτσι ἀπὸ αὐτὸ τὸ ἴδιο τὸ 'εἶναι'.

Καὶ τὴν θέωσιν: Γίνονται θεοὶ οἱ δίκαιοι καὶ οἱ ἄγγελοι σύμφωνα μὲ τὸ λόγο, «Ἐγὼ εἶπα· εἶστε θεοί»[8].

Παντελῶς θέσις: Θέση καλεῖ τὴ δημιουργία στὸ εἶναι, ἀντὶ νὰ πεῖ, 'Ὅ,τι δὲν μετέχει δύναμη, δὲν ὑπάρχει οὔτε μέσα στὴ δημιουργία'.

§ 6. Καίτοι φησὶν Ἐλύμας ὁ μάγος: Ἐδῶ ἀποδεικνύεται ἡ ἀρχαιότητα αὐτοῦ τοῦ ἁγίου. Γιατὶ γνωρίζει αὐτὰ ποὺ εἶπε ὁ Ἐλύμας ὁ μάγος, ποὺ ἀντιστάθηκε στὴν Κύπρο κατὰ τοῦ ἁγίου Παύλου, ποὺ τὸν ἀναφέρουν οἱ Πράξεις τῶν ἁγίων ἀποστόλων[9]. Ἡ Ἀραβία ὅμως ἔχει πολλοὺς ὅμοιους τοῦ Ἐλύμα, ποὺ λένε σ' ἐμᾶς ποὺ ἀσπαζόμαστε τὴν ἄποψη ὅτι ὁ Ἰησοῦς Χριστὸς ὁ Θεὸς Λόγος ἔπαθε γιὰ χάρη μας μὲ τὴ σάρκα του, ὄχι μὲ τὴ θε-

7. Ψαλμ. 23,2. 8. Ψαλμ. 131,6.
9. Πράξ. 13,8.

ἠθέλησεν, ἀδύναμον ποιεῖτε τὸν Θεόν, φάσκοντες μὴ δύνασθαι θεότητι παθεῖν εἰ ἐθέλοι'. Προς οὓς λεκτέον, ὅτι αὐτὸ οὐκ ἠβουλήθη ὁ Θεός, ἔχων εἰς τί πάθοι, τὸ παρὰ φύσιν γενέσθαι, ἵνα ἡ θεότης πάθοι ἡ κατὰ φύσιν ἀπαθής. Ὅρα πῶς ἑρμηνεύει τὸ ἀποστολικὸν ρητόν, «οὐ δύναται ὁ Θεὸς ἑαυτὸν ἀρνήσασθαι».

Ἡ γὰρ ἑαυτοῦ ἄρνησις: Ὅπερ ἔφην, Ἐλύμας ὁ μάγος σκώψας τὸν θεῖον Παῦλον εἰπόντα, «μὴ δύνασθαι ἀρνήσασθαι ἑαυτὸν τὸν Θεόν», καὶ τό γε ἐπὶ Παύλῳ ἀδύνατον δείκνυσθαι τὸν Θεόν, δυνάμενον ἃ βούλεται, τουτέστιν ἀρνήσασθαι ἑαυτόν, φιλοσοφώτατα λύει ὁ μέγας Διονύσιος. Φησὶ γάρ, ὅτι ὁ Θεὸς ἀλήθειά ἐστιν, ἡ δὲ ἀλήθεια ὄν ἐστι, τὸ δὲ ψεῦδος, ὡς ἀνυπόστατον, οὐδὲ ὄν ἐστιν. Ἐὰν οὖν ἀρνήσηται ἑαυτὸν ὁ Θεός, ἡ ἀλήθεια ψευσαμένη, μὴ ὂν γίνεται. Καὶ πῶς οἷόν τε τοῦτο συμβῆναι; Τὸ οὖν 'μὴ δύνασθαι', ἐπὶ Θεοῦ ταττόμενον, ἀφάτου δυνάμεώς ἐστι σημεῖον. Ὅμοιον γάρ ἐστιν εἰπεῖν, ὅτι δύναται ὁ Θεὸς ἑαυτὸν ποιῆσαι μὴ εἶναι Θεόν, ἀλλὰ χωρῆσαι εἰς ἀνυπαρξίαν, ὃ μετὰ τοῦ ἀδυνάτου καὶ τὸ βλάσφημον ἔχει. Πῶς τοίνυν λεχθήσεται, ὁ ὢν ἔσται μὴ ὤν; Οὐ δύναται τοίνυν ὁ Θεός, τουτέστιν ἀναχώρητόν ἐστι μὴ εἶναι αὐτόν, ἤγουν ἀνένδεκτον μὴ εἶναι αὐτόν. Οὐκοῦν καὶ τὸ μὴ δύνασθαι τὸν Θεόν, τουτέστι τὸ ἀδύνατον εἶναι τὸν Θεόν, οὐ δυνατὸν γενέσθαι. Ὥσπερ γὰρ τὸ φῶς, καθ' ὃ φῶς, οὐ δύναται σκότος γενέσθαι, οὕτω καὶ ταῦτα ἀδύνατα τῷ Θεῷ διὰ τὴν ἀνυπέρβλητον ἀλήθειαν. Οὕτως οὖν οὐκ οἶδεν ὁ Θεὸς κατὰ στέρησιν τὸ μὴ εἰδέναι, οἷον οὐ πεπείρα-

ότητά του, '"Αν δὲν δέχεστε ὅτι αὐτὸς ἔπαθε μὲ τὴ θεότητά του ὅπως θέλησε, κάνετε τὸν Θεὸ ἀδύναμο, ὑποστηρίζοντας ὅτι δὲν μπορεῖ, ἂν θέλει, νὰ πάθει μὲ τὴ θεότητά του'. Σ' αὐτοὺς θ' ἀπαντήσομε, ὅτι αὐτὸ δὲν τὸ θέλησε ὁ Θεός, ἀφοῦ εἶχε σὲ τί νὰ πάθει, δὲν θέλησε νὰ συμβεῖ τὸ παραφύση, νὰ πάθει δηλαδὴ ἡ θεότητα ποὺ εἶναι ἀπαθὴς κατὰ φύση. Καὶ πρόσεχε πῶς ἑρμηνεύει τὸ ἀποστολικὸ ρητό, «δὲν μπορεῖ ὁ Θεὸς ν' ἀρνηθεῖ τὸν ἑαυτό του»[10].

Ἡ γὰρ αὐτοῦ ἄρνησις: Αὐτὸ ποὺ εἶπα, ὅτι ὁ Ἐλύμας ὁ μάγος χλεύασε τὸν θεῖο Παῦλο, ἐπειδὴ εἶπε, ὅτι ὁ Θεὸς δὲν μπορεῖ ν' ἀρνηθεῖ τὸν ἑαυτό του, καὶ τὸ λεγόμενο ἀπὸ τὸν Παῦλο ποὺ δείχνει ἀδύνατο τὸν Θεὸ νὰ κάνει αὐτὰ ποὺ θέλει, δηλαδὴ ν' ἀρνηθεῖ τὸν ἑαυτό του, αὐτὸ τὸ πρόβλημα τὸ ἐπιλύει φιλοσοφικότατα ὁ μέγας Διονύσιος. Γιατὶ λέει, ὅτι ὁ Θεὸς εἶναι ἀλήθεια, καὶ ἡ ἀλήθεια εἶναι ὄν. Ἐνῶ τὸ ψεῦδος, ἐπειδὴ εἶναι ἀνυπόστατο, δὲν εἶναι οὔτε ὄν. Ἂν λοιπὸν ὁ Θεὸς ἀρνηθεῖ τὸν ἑαυτό του, ἡ ἀλήθεια μὲ τὸ ψεῦδος της γίνεται μὴ ὄν. Πῶς ὅμως εἶναι δυνατὸν νὰ συμβεῖ αὐτό; Τὸ 'δὲν δύναται' λοιπὸν ὅταν τὸ ἀποδίδομε στὸν Θεό, εἶναι ἔνδειξη ἄρρητης δύναμης. Εἶναι ὅμοιο μὲ τὸ νὰ ποῦμε, ὅτι ὁ Θεὸς μπορεῖ νὰ κάνει τὸν ἑαυτό του νὰ μὴν εἶναι Θεός, ἀλλὰ νὰ προχωρήσει στὴν ἀνυπαρξία, λόγος ποὺ ἐκτὸς ἀπὸ τὸ ἀδύνατο ἀποτελεῖ καὶ βλασφημία. Πῶς δηλαδὴ νὰ πεῖς ὅτι αὐτὸς ποὺ ὑπάρχει δὲν ὑπάρχει; Δὲν δύναται λοιπὸν ὁ Θεός, δηλαδὴ εἶναι ἀκατανόητο νὰ μὴν ὑπάρχει αὐτός, ἤτοι εἶναι ἀπαράδεκτο νὰ μὴν ὑπάρχει αὐτός. Ἑπομένως καὶ ὅτι ὁ Θεὸς δὲν μπορεῖ, δηλαδὴ τὸ νὰ εἶναι ἀδύναμος ὁ Θεός, δὲν εἶναι δυνατὸ νὰ γίνει. Ὅπως δηλαδὴ τὸ φῶς δὲν μπορεῖ νὰ γίνει σκότος, ἔτσι κι αὐτὰ εἶναι ἀδύνατα νὰ συμβοῦν στὸν Θεὸ ἐξαιτίας τῆς ἀνυπέρβλητης ἀλήθειας του. Ἔτσι λοιπὸν δὲν γνωρίζει ὁ Θεὸς κατὰ στέρηση τὸ ὅτι δὲν γνωρίζει·

10. Α' Τιμ. 2,13.

ται ὁ Θεός· ὅ ἐστιν, οὐκ οἶδε τί ἐστιν αὐτὸ τὸ μὴ εἰδέναι, ἤτοι ἀγνοεῖν τι. Κατὰ στέρησιν δὲ οὐκ οἶδε τὸ ἀγνοεῖν· στέρησις γάρ ἐστιν ἡ ἄγνοια, οὐχ ὑπόστασις, ἀλλ' ἔξωθεν τῆς οὐσίας, περὶ ἣν συμβαίνει ἡ στέρησις· ἔλλειψις γάρ ἐστι τοῦ ὀφείλοντος παρεῖναι. Οὐκοῦν ἐστέρηται ὁ Θεὸς τοῦ ἀγνοεῖν, καὶ οὐδέποτε οἶδε τὸ μὴ εἰδέναι· εἰ γὰρ μὴ κατὰ στέρησιν εἴποιμεν μὴ εἰδέναι τὸν Θεὸν τὴν ἄγνοιαν, εὑρίσκεται τῆς οὐσίας αὐτοῦ τὸ μὴ εἰδέναι, καὶ ἦν ἂν οὐσιώδης αὐτοῦ ἡ ἄγνοια, καὶ εὑρίσκεται ὁ Θεὸς σκότος· ἡ γὰρ ἄγνοια σκότος ἐστίν. Οὕτως ὑψηλῶς νοήσεις καὶ τό, «ἀδύνατον ψεύσασθαι Θεόν», καὶ τό, «οὐ δύναται ποιεῖν ὁ Υἱὸς οὐδὲν ἀφ' ἑαυτοῦ, ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα», ὅπερ ὅμοιόν ἐστι τῷ εἰπεῖν· Ἀμήχανόν ἐστιν ἕτερα βουλομένου τοῦ Πατρός, ἕτερα βουληθῆναι τὸν Υἱόν. Ἓν γὰρ θέλημα τῆς μόνης προσκυνητῆς Τριάδος κατὰ τὴν θεότητα· οὐδὲ γὰρ ἀγνοοῦμεν, ὅτι περ ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ Θεός, ὁ εἷς τῆς πανυμνήτου καὶ παναχράντου Τριάδος γενόμενος ἄνθρωπος, προσέλαβεν ἀνθρώπινον θέλημα φυσικὸν καὶ ἀναμάρτητον.

Καὶ τὸ μὴ εἶναι οὐκ ἔστιν: Ἀπόφασις κατὰ ἀποφάσεως τιθεμένη κατάφασιν ποιεῖ. Ὁ οὖν λέγων, ὅτι τὸ μὴ εἶναι οὐκ ἔστιν ἐν Θεῷ, τὸ εἶναι αὐτὸν συνάγει. Οὕτως οὖν φησιν, 'οὐ δύναται μὴ δύνασθαι', ὡσαύτως καὶ τὸ 'μὴ εἰδέναι οὐκ οἶδεν', ἐξ ὧν συνάγεται τὸ πάντως αὐτὸν εἰδέναι καὶ δύνασθαι. Καλῶς δὲ προσέθηκεν ἐνταῦθα τὸ κατὰ στέρησιν· οὐ γὰρ ὑπεροχικῶς ταῦτα λέγονται, ἀλλὰ στερητικῶς, τό, 'οὐ δύναται' καὶ 'οὐκ οἶδε'.

§ 7. Δικαιοσύνη δὲ ὑμνεῖται: Κατὰ τί δικαιοσύνη ἐστὶν ὁ

σὰ νὰ λέμε ὁ Θεὸς δὲν δοκιμάζεται, ποὺ σημαίνει, δὲν γνωρίζει τί εἶναι αὐτὸ τὸ νὰ μὴ γνωρίζει, δηλαδὴ τὸ ν' ἀγνοεῖ κάτι. Τὸ ν' ἀγνοεῖ δὲν τὸ γνωρίζει κατὰ στέρηση· στέρηση βέβαια εἶναι ἡ ἄγνοια, ἀλλὰ ἔξω ἀπὸ τὴν οὐσία ὡς πρὸς τὴν ὁποία συμβαίνει ἡ στέρηση· γιατὶ εἶναι ἔλλειψη αὐτοῦ ποὺ ὀφείλει νὰ ὑπάρχει. Στερεῖται λοιπὸν ὁ Θεὸς τὸ ν' ἀγνοεῖ, καὶ ποτὲ δὲν γνωρίζει τὸ νὰ μὴν ξέρει. Ἂν δηλαδὴ δὲν ποῦμε ὅτι ὁ Θεὸς δὲν γνωρίζει τὴν ἄγνοια ἀπὸ στέρηση, βρίσκεται νὰ εἶναι ἡ ἄγνοια στοιχεῖο τῆς οὐσίας του, καὶ ἡ ἄγνοια θὰ ἦταν τῆς οὐσίας του, ὁπότε ὁ Θεὸς βρίσκεται νὰ εἶναι σκότος. Γιατὶ ἡ ἄγνοια εἶναι σκότος. Τέτοιο ὑψηλὸ νόημα νὰ δώσεις καὶ στὴ ρήση, «εἶναι ἀδύνατο νὰ πεῖ ψέματα ὁ Θεός»[11], καὶ τὴν ἄλλη, «δὲν μπορεῖ ὁ Υἱὸς νὰ κάνει τίποτε ἀπὸ τὸν ἑαυτό του, ἂν δὲν βλέπει νὰ τὸ πράττει ὁ Πατέρας»[12], πράγμα ποὺ εἶναι ὅμοιο τὸ νὰ πεῖ, 'Εἶναι ἀδύνατο θέλοντας ἄλλα ὁ Πατέρας, νὰ θελήσει διαφορετικὰ ὁ Υἱός'. Γιατὶ εἶναι ἕνα τὸ θέλημα τῆς μόνης προσκυνητῆς Τριάδας κατὰ τὴ θεότητα. Κι οὔτε ἀγνοοῦμε ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Θεός, ὁ ἕνας ἀπὸ τὴν πανύμνητη καὶ πανάχραντη Τριάδα, ὅταν ἔγινε ἄνθρωπος προσέλαβε ἀνθρώπινο θέλημα φυσικὸ καὶ χωρὶς ἁμαρτία.

Καὶ τὸ μὴ εἶναι οὐκ ἔστιν: Μιὰ ἄρνηση (ἀπόφαση) ἄλλης ἄρνησης (ἀπόφασης) κάνει κατάφαση. Ὅποιος λοιπὸν λέει ὅτι τὸ 'μὴ εἶναι' δὲν ὑπάρχει στὸν Θεό, συμπεραίνει ὅτι αὐτὸς ὑπάρχει. Μ' αὐτὸ τὸ νόημα λοιπὸν λέει 'δὲν μπορεῖ νὰ μὴν μπορεῖ', καθὼς ἐπίσης καὶ 'δὲν γνωρίζει τὸ νὰ μὴν γνωρίζει', ἀπὸ τὰ ὁποῖα συμπεραίνεται, ὅτι ὁπωσδήποτε γνωρίζει καὶ μπορεῖ. Καὶ ὀρθὰ πρόσθεσε ἐδῶ τὸ 'κατὰ στέρηση'. Γιατὶ ἐδῶ δὲ γίνονται οἱ διατυπώσεις αὐτὲς μὲ ἔννοια ὑπεροχῆς, ἀλλὰ στέρησης, δηλαδὴ τὸ 'δὲν μορεῖ' καὶ 'δὲν γνωρίζει'.

§ 7. Δικαιοσύνη δὲ ὑμνεῖται: Δηλαδὴ ὡς πρὸς τί ὁ Θεὸς εἶ-

11. Ἑβρ. 6,18.
12. Ἰω. 5,19.

Θεός. Ὅρος δὲ δικαιοσύνης ἐστίν, ἀρετὴ διανεμητικὴ τοῦ κατ' ἀξίαν ἢ ἰδιοπραγίαν τῶν τῆς ψυχῆς μερῶν· ἢ μεσότης πλεονεξίας καὶ μειονεξίας· ἢ ἕξις ἀπονεμητικὴ ἰσότητος· ἢ ἕξις τοῦ κοινῇ συμφέροντος ἐστοχασμένη· ἢ ἐπιστήμη ἀπονεμητέων, καὶ μή, καὶ οὐδετέρων.

Διαλοιδοροῦνται: «Περὶ τῶν λαλούντων κατὰ τοῦ Θεοῦ ἀδικίαν», ὥς φησιν ὁ ψαλμῳδός. Ἐνταῦθα εὐκαίρως εἶπεν, ἀλλόκοτα τὰ αὐτῶν δεικνὺς ῥήματα· αὐτοκίνητοι γὰρ ὄντες, τουτέστιν αὐτεξούσιοι, καὶ τῶν ἰδίων ὁρμῶν ἄρχοντες, διὰ τί, φασίν, αὐτεξούσιοι γεγόναμεν· καὶ οὐ μᾶλλον καὶ ἄκοντες κωλυόμεθα ἁμαρτάνειν, ἀγνοοῦντες ὅτι λίθοι ἑτεροκίνητοι βούλονται εἶναι, καί, γήϊνα σώματα ἔχοντες, διὰ τί μὴ ἐν ταυτότητι, φασί, μένομεν, τουτέστιν ἄτρεπτοι, ἀθάνατοι ὄντες, καὶ χρώμενοι τοῖς ὑλικοῖς καὶ προσκαίροις; Ὅπερ ἀγνοούντων ἐστὶ φύσιν αἰσθητῶν καὶ νοητῶν καὶ πολλὴν ἀλογίαν νοσούντων· τὸ γὰρ σῶμα ἡμῶν ὑλικὸν καὶ πρόσκαιρον καὶ τρεπτὸν ὑπάρχον, εἰκότως ἐδέετο τῶν ὁμοίων, προσκαίρων φημὶ καὶ ὑλικῶν· ἡ δὲ ψυχὴ ἄϋλος καὶ ἀθάνατος κτισθεῖσα, εἰκότως τὸ αὐτεξούσιον ἔχει διὰ τὴν πρὸς τὸν δημιουργὸν ὁμοιότητα· ἅπερ μὴ νοοῦντες ἐν ἑκατέρῳ οἱ λοίδοροι μέμφονται τὴν θείαν πρόνοιαν, τοσαύτην ὁρῶντες εὐταξίαν· τοῦτο γὰρ δηλοῖ τό, 'καὶ ὅλως τὰ ἄλλων ἄλλοις ἀποδιδόασιν'.

Αὐτοκινήτοις: Αὐτεξουσίοις.

§ 8. Ἀλλ' εἴποι ἄν τις: Πρὸς τοὺς λέγοντας, Πῶς οὐκ ἄδικος ὁ Θεὸς ὁ συγχωρῶν τοὺς δικαίους ὑπὸ τῶν φαύλων κακοῦσθαι;

ναι δικαιοσύνη. Ὁ ὁρισμὸς τῆς δικαιοσύνης εἶναι, ἀρετὴ ποὺ ἀπονέμει ὅ,τι ἀξίζει ἢ ὅ,τι δικό του πράττει καθένα ἀπὸ τὰ μέρη τῆς ψυχῆς· ἢ εἶναι μεσότητα πλεονεξίας καὶ μειονεξίας, ἢ ἕξη ποὺ ἀπονέμει ἰσότητα, ἢ ἕξη ποὺ ἀποβλέπει στὸ κοινὸ συμφέρον, ἢ ἡ ἐπιστήμη αὐτῶν ποὺ πρέπει ν' ἀπονεμηθοῦν καὶ νὰ μὴν ἀπονεμηθοῦν, ἢ αὐτῶν ποὺ εἶναι οὐδέτερα.

Διαλοιδοροῦνται: Γιὰ ὅσους δηλαδὴ ἀπευθύνουν κατὰ τοῦ Θεοῦ ἄδικους λόγους[13], ὅπως λέει ὁ Ψαλμωδός. Ἐδῶ μίλησε κατάλληλα, δείχνοντας παράλογα τὰ λόγια τους. Γιατί, ἐνῶ ἔχουν τὴν κίνηση ἀπὸ τὸν ἑαυτό τους, δηλαδὴ ἐνῶ εἶναι αὐτεξούσιοι καὶ κύριοι τῶν ὁρμῶν τους, λένε, γιατί γίναμε αὐτεξούσιοι; Δὲν ἦταν καλύτερα νὰ ἐμποδιζόμαστε ν' ἁμαρτάνομε, κι ἂς εἶναι ἀντίθετη ἡ θέλησή μας; Ἀγνοοῦν ὅτι ἐπιθυμοῦν νὰ εἶναι πέτρες ποὺ τὶς κινοῦν οἱ ἄλλοι, καί, ἐνῶ ἔχουν γήινα σώματα, γιατί, λένε, δὲν μένομε οἱ ἴδιοι, δηλαδὴ ἀμετάβλητοι, ἀφοῦ εἴμαστε ἀθάνατοι καὶ χρησιμοποιοῦμε τὰ ὑλικὰ καὶ πρόσκαιρα; Αὐτὰ εἶναι λόγια ὅσων ἀγνοοῦν τὴ φύση τῶν αἰσθητῶν καὶ τῶν νοητῶν καὶ πάσχουν ἀπὸ μεγάλη ἀνοησία. Γιατὶ τὸ σῶμα μας, ἐπειδὴ εἶναι ὑλικὸ καὶ πρόσκαιρο καὶ μεταβλητό, ἦταν φυσικὸ νὰ δέχεται τὰ ὅμοιά του, ἐννοῶ τὰ πρόσκαιρα καὶ τὰ ὑλικά, ἡ ψυχή μας ὅμως, ποὺ δημιουργήθηκε ἄυλη κι ἀθάνατη, ἔχει, ὅπως εἶναι φυσικό, τὸ αὐτεξούσιο χάρη στὴν ὁμοιότητά της μὲ τὸν δημιουργό. Αὐτὴ τὴ διαφορὰ στὸ ἕνα καὶ στὸ ἄλλο δὲν τὴν κατανοοῦν ὅσοι περιγελοῦν καὶ γι' αὐτὸ κατηγοροῦν τὴ θεία πρόνοια βλέποντας τόση τάξη. Γιατὶ αὐτὸ δηλώνει ἡ φράση, 'καὶ ἀποδίδουν γενικὰ τὶς ἀπόψεις ἄλλων σὲ ἄλλους'.

Αὐτοκινήτοις: Αὐτοὶ ποὺ κινοῦνται ἀπὸ τὸν ἑαυτό τους, ποὺ εἶναι αὐτεξούσιοι.

§ 8. Ἀλλ' εἴποι ἄν τις: Πρὸς αὐτοὺς ποὺ λένε, Πῶς δὲν εἶναι ἄδικος ὁ Θεὸς ποὺ ἐπιτρέπει νὰ ταλαιπωροῦνται οἱ δίκαιοι ἀπὸ τοὺς ἄδικους;

13. Ψαλμ. 74,6.

Ἄλλως: Ἐνταῦθα ζητεῖ κεφάλαιον προτεθὲν ἡμῖν ὑπὸ ἑτέρου· φησὶ γάρ· Εἴποι ἄν τις, καὶ τὰ λοιπά, λυόμενος εὐσεβῶς καὶ θεοφιλῶς· λέγει γὰρ δι' ἣν αἰτίαν συγχωρεῖ ὁ Θεός, δίκαιος ὤν, ἀδικεῖσθαι τοὺς ὁσίους ἄνδρας ὑπὸ ἀδίκων καὶ πλεονεκτῶν (πολλοὺς γὰρ ὁρῶμεν δικαίους ζημίας ὑπομένοντας, ἢ ἐν χρήμασιν, ἢ ἐν πράγμασι παρὰ τῶν ἀδίκων καὶ πλεονεκτῶν), καὶ ἀπολογεῖται δεξιῶς. Λέγει γάρ, ὅτι οἱ ὅσιοι οὐκ ὀφείλουσι τοῖς γηΐνοις καὶ προσκαίροις προσπάσχειν, ἐπεὶ οὐκ ἔτι ὅσιοι· προτιμᾷν γὰρ ὀφείλουσι τὰ ὄντως ἐραστὰ καὶ θεῖα· χρημάτων γὰρ ἐφιέμενοι, οὐκ ἔτι ὅσιοι. Καὶ λέλυται ἡ ἐρώτησις· τοῦτο γὰρ ὁ θεῖος Παῦλός φησι, «διὰ τί γὰρ μὴ μᾶλλον ἀδικεῖσθε», λέγων μὴ περὶ τὰ κοσμικὰ ἐπτοῆσθαι. Καὶ πάλιν τὸν θεῖον ἔρωτα εἰσηγούμενος, περὶ ὃν οὔτε ἀδικία, οὔτε πλεονεξία δύναται γενέσθαι, φησί· «τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις ἢ στενοχωρία;» καὶ τὰ ἑξῆς. Προσύλους δέ φησι τοὺς ἐμπαθεῖς καὶ μόνοις τῆς γηΐνοις προκειμένους. 'Παρευδοκιμεῖσθαι' δέ ἐστι τὸ ἡττόνως εὐδόκιμον φαίνεσθαι.

Ταῖς ἀγγελικαῖς ἀρεταῖς: Ὅτι καλῶς λέγεται καὶ ἐπ' ἀγγέλων ἀρετή, ὥσπερ καὶ ἐπὶ Θεοῦ, κατὰ τό, «ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ», καὶ ὅτι ἀδικεῖσθαι τοὺς περὶ τὰ ὑλικὰ πράγματα τῆς θείας ἐστὶ προνοίας συνεθιζούσης αὐτοὺς τῶν θειοτέρων ἐφίεσθαι.

Τῆς τῶν ὑλικῶν προσπαθείας: Ὅρα πῶς φησιν, ὅτι τὸ μὴ προσπάσχειν τοῖς ὑλικοῖς πράγμασιν ἀρρενότητα δηλοῖ, τουτέστιν ἀνδρίαν· οἱ γὰρ δουλεύοντες κοσμικοῖς καὶ σωματικοῖς πάθεσι θηλυδρίαι εἰκότως προσαγορεύονται. Καὶ ὅτι ἡ θεία δικαιοσύνη οὐ βούλεται διὰ τούτων ἡμᾶς θέλγειν καὶ ἀπολλύειν,

14. Α' Κορ. 6,7.

Ἄλλη ἐξήγηση. Ἐδῶ συζητεῖ ἐρώτηση ποὺ μᾶς προέβαλε κάποιος ἄλλος. Γιατὶ λέει, 'Θὰ μποροῦσε νὰ πεῖ κάποιος' καὶ τὰ λοιπά, καὶ δίνει εὐσεβὴ καὶ θεάρεστη ἀπάντηση· ἐξηγεῖ δηλαδὴ γιὰ ποιά αἰτία ὁ Θεός, ἐνῶ εἶναι δίκαιος, ἐπιτρέπει νὰ ἀδικοῦνται οἱ εὐσεβεῖς ἀπὸ τοὺς ἄδικους καὶ τοὺς πλεονέκτες (πράγματι δηλαδὴ βλέπομε πολλοὺς δίκαιους νὰ ὑπομένουν ζημίες σὲ χρήματα ἢ σὲ εἴδη ἀπὸ τοὺς ἄδικους καὶ ἄπληστους), καὶ κάνει μιὰ ἐπιδέξια ὑπεράσπιση. Μᾶς λέει δηλαδή, ὅτι οἱ δίκαιοι δὲν πρέπει νὰ δένονται μὲ τὰ γήινα καὶ πρόσκαιρα, γιατὶ δὲ θὰ εἶναι πιὰ εὐσεβεῖς. Ὀφείλουν νὰ προτιμοῦν τὰ πραγματικὰ ἀξιέραστα καὶ θεῖα· γιατὶ ἂν ἐπιθυμοῦν πράγματα, δὲν εἶναι πιὰ εὐσεβεῖς. Καὶ ἡ ἐρώτηση πῆρε τὴν ἀπάντηση. Γιατὶ αὐτὸ λέει ὁ θεῖος Παῦλος· «γιατί δὲν προτιμᾶτε νὰ σᾶς ἀδικοῦν»[14], συμβουλεύοντάς μας νὰ μὴ συγκινούμαστε ἀπὸ τὰ κοσμικά. Καὶ πάλι προτείνοντας τὸν θεῖο ἔρωτα, στὸν ὁποῖο δὲν ἔχει θέση οὔτε ἀδικία οὔτε πλεονεξία, λέει· «τί θὰ μᾶς χωρίσει ἀπὸ τὴν ἀγάπη τοῦ Χριστοῦ; θλίψη ἢ στενοχώρια;»[15] καὶ τὰ ἑξῆς. Πρόσυλους (πρὸς + ὕλη) λέει τοὺς ἐμπαθεῖς καὶ προσκολλημένους ἀποκλειστικὰ στὰ γήινα. Τὸ 'παρευδοκιμεῖσθαι' σημαίνει, τὸ ν' ἀναδεικνύεται κάποιος λιγότερο εὐδόκιμος.

Ταῖς ἀγγελικαῖς ἀρεταῖς: Ὀρθὰ λέγεται ἡ ἀρετὴ καὶ γιὰ τοὺς ἀγγέλους, ὅπως καὶ γιὰ τὸν Θεό, σύμφωνα μὲ τό, «ἐσκέπασε τοὺς οὐρανοὺς ἡ ἀρετή του»[16]. Καὶ ἐπίσης, τὸ ν' ἀδικοῦνται οἱ πιστοὶ σχετικὰ μὲ τὰ ὑλικὰ πράγματα εἶναι τρόπος τῆς θείας πρόνοιας γιὰ νὰ τοὺς συνηθίζει νὰ ἐπιθυμοῦν τὰ θεϊκά.

Τῆς τῶν ὑλικῶν προσπαθείας: Πρόσεχε πῶς λέει, ὅτι ἡ μὴ προσκόλληση στὰ ὑλικὰ πράγματα δηλώνει ἀρρενωπὴ ψυχή, δηλαδὴ ἀνδρεία· γιατὶ ὅσοι γίνονται δοῦλοι σὲ κοσμικὰ καὶ σωματικὰ πάθη, εὔλογα ἀποκαλοῦνται θηλυπρεπεῖς· κι ἐπίσης, ἡ θεία δικαιοσύνη δὲ θέλει νὰ μᾶς γοητεύει μ' αὐτὰ καὶ νὰ μᾶς

15. Ρωμ. 8,35.
16. Ἀββακ. 3,3.

ἀλλὰ συνεθίζει πρὸς τὴν τούτων περιφρόνησιν, κατὰ τὸ εἰρημένον, «ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται». Τί οὖν; Οἱ τὸν πλοῦτον ἔχοντες οὐκ ἀγαπῶνται ὑπὸ τοῦ Θεοῦ; Ἐρεῖς, ὅτι πρῶτον μὲν οὐχ ὁ πλοῦτος καθ' ἑαυτὸν κακός, ἀλλ' ἡ περὶ τοῦτον προσπάθεια καὶ ἡ κακὴ χρῆσις· ἔπειτα οἶδεν ὁ Θεὸς τοὺς ἐν ἡμῖν ἀσθενεῖς, καὶ βουλόμενος αὐτοὺς περισῶσαι εἰς προτροπήν, καὶ χρήματα ἴσως καὶ βίου περιφάνειαν δίδωσιν αὐτοῖς, οὐκ ἀγνοῶν ὅπερ εἰσί· πῶς γὰρ ὁ γινώσκων πάντα πρὶν γενέσεως αὐτῶν; Ἀλλ' ἵνα μηδεμίαν ἔχωμεν ἀπολογίαν κατὰ τὸν Ἀπόστολον, «διὰ τοῦτο ἀναπολόγητος εἶ, ὦ ἄνθρωπε»· καὶ πάλιν· «ἔχομεν Ἀρχιερέα μέγαν, δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν».

Τὸ μὴ θέλγειν: Θέλγειν ἐστὶ τὸ δι' ἡδονῆς ἀπατᾶν· λέγεται δὲ καὶ τὸ ἁπλῶς ἡδύνειν.

Τῶν ἀρίστων: Τῶν ἐπιθυμητῶν.

Ἀμειλίκτῳ στάσει: Ἀμείλικτον στάσιν φησὶ τὴν ἀνένδοτον πρὸς τὸν γαργαλισμὸν τῶν γηΐνων ἔνστασιν, καὶ τὸ μὴ κάμπτεσθαι πρὸς τὰ ὑλικὰ διὰ τῶν πειρασμῶν.

§ 9. Τῆς ἐν τοῖς ὅλοις ἰδιοπραγίας: Ἰδιοπραγίαν ὠνόμασε τὴν ἑκάστου τῶν ὄντων κατὰ φύσιν ἰδιάζουσαν κίνησιν· οὐδὲ γὰρ τὰ ἀγγέλων ἀνθρώποις πράττειν δυνατόν, ἢ τὰ πυρὸς ὕδατι, καὶ τὸ ἔμπαλιν.

Καὶ ὡς ἐκ τῶν χειρόνων: Τὰ χείρω ἐνταῦθα μὴ νοήσῃς πρὸς τὰ ποιήματα (οὐδὲν γὰρ ἐν αὐτοῖς κακόν), ἀλλὰ πρὸς τὴν ἁμαρτίαν, ἥτις ἐκ τῆς ἡμῶν προαιρέσεως κατὰ στέρησιν ἀγαθοῦ παρυπέστη. Ἀναρπάζει γὰρ ἡμᾶς ὁ Θεὸς ἐξ αὐτῆς ἑκόντας, εἰ προσδράμοιμεν αὐτῷ.

---

17. Ἑβρ. 12,6. 18. Δαν. 13,42.

ὁδηγεῖ στὴν ἀπώλεια, ἀλλὰ μᾶς συνηθίζει στὴν περιφρόνηση αὐτῶν, σύμφωνα μὲ τὸ λόγο, «παιδεύει ὁ Κύριος ὅποιον ἀγαπᾶ, καὶ μαστιγώνει ὅποιον παραδέχεται σὰν γιό του»[17]. Τί λοιπόν; Ὅποιοι ἔχουν τὰ πλούτη, δὲν ἔχουν τὴν ἀγάπη τοῦ Θεοῦ; Θ' ἀπαντήσεις, πρῶτον, ὅτι ὁ πλοῦτος αὐτὸς καθεαυτὸν δὲν εἶναι κακός, ἀλλὰ ἡ προσκόλληση σ' αὐτὸν καὶ ἡ κακὴ χρήση του. Καὶ δεύτερον, ξέρει ὁ Θεὸς ποιοί εἶναι ἀνάμεσά μας ἀδύνατοι καὶ θέλοντας νὰ τοὺς σώσει, τοὺς δίνει, γιὰ νὰ τοὺς προτρέψει, καὶ χρήματα καὶ λαμπρότητα ζωῆς, χωρὶς νὰ ἀγνοεῖ αὐτὸ ποὺ εἶναι. Πῶς δηλαδὴ θὰ τοὺς ἀγνοοῦσε αὐτὸς ποὺ γνωρίζει τὰ πάντα πρὶν ἀπὸ τὴ γένεσή τους[18]; Ἀλλὰ γιὰ νὰ μὴν ἔχομε καμμιὰ δικαιολογία, σύμφωνα μὲ τὸν Ἀπόστολο ποὺ λέει· «γι' αὐτὸ εἶσαι, ἄνθρωπε, ἀδικαιολόγητος»[19]· καὶ ἐπίσης· «ἔχομε ἀρχιερέα μεγάλο, ποὺ μπορεῖ νὰ συμμεριστεῖ τὶς ἀδυναμίες μας»[20].

Τὸ μὴ θέλγειν: Θέλγω σημαίνει ἐξαπάτηση μὲ τὴν ἡδονή· ἔχει ὅμως καὶ τὴ σημασία ἁπλῶς αὐτοῦ ποὺ εὐχαριστεῖ.

Τῶν ἀρίστων: Δηλαδὴ τῶν ἐπιθυμητῶν.

Ἀμειλίκτῳ στάσει: 'Ἀμείλικτη στάση' λέει τὴν ἀνένδοτη ἀντίσταση πρὸς τὸ γαργάλισμα τῶν γηΐνων καὶ τὸ νὰ μὴν ὑποχωρεῖ κανεὶς στοὺς πειρασμοὺς τῶν ὑλικῶν.

§ 10. Τῆς ἐν τοῖς ὅλοις ἰδιοπραγίας: 'Ἰδιοπραγία' ὀνόμασε τὴν ἰδιαίτερη λειτουργία καθενὸς ὄντος ἀνάλογα μὲ τὴ φύση του. Γιατὶ δὲν εἶναι δυνατὸν οἱ ἄνθρωποι νὰ πράττουν τὰ ἔργα τῶν ἀγγέλων, ἢ τὸ νερὸ νὰ δρᾶ ὅπως ἡ φωτιά, καὶ τὸ ἀντίθετο.

Καὶ ὡς ἐκ τῶν χειρόνων: Τὸ χειρότερα μὴν τὸ σκεφθεῖς σὲ σχέση μὲ τὰ δημιουργήματα, γιατὶ κανένα ἀπὸ αὐτὰ δὲν εἶναι κακό, ἀλλὰ σὲ σχέση μὲ τὴν ἁμαρτία, ποὺ ἐξαιτίας τῆς προαιρεσής μας ἀπὸ στέρηση τοῦ ἀγαθοῦ ἔλαβε τὴν παραϋπόστασή της. Γιατὶ ὁ Θεὸς μᾶς ἀναρπάζει ἀπὸ αὐτὴν μὲ δική μας θέλησή, ἂν προστρέξομε σ' αὐτόν.

---

19. Ρωμ. 2,1.
20. Ἑβρ. 4,15.

Καὶ ἀρρεπῆ πρὸς τὰ χείρω: Ταῦτα περὶ τῶν αἰσθητῶν καὶ ὑπὸ τὴν κτίσιν ὄντων νόμιζε λέγειν αὐτόν, ὅτι πάντα ἐν τῇ οἰκείᾳ εὐταξίᾳ διαφυλάττει· οὐδὲν γὰρ αὐτῶν μετετράπη, ἀλλ', οὕτως ὡς ἐκτίσθησαν, ἔμειναν· τοῦτο δηλοῖ τὸ ἀμετάβλητα. Ἀρρεπῆ δὲ πρὸς τὰ χείρω, ἢ ὅτι προαιρετὰς αὐτὰς πεποίηκεν, ἢ ὅτι οὐδὲν ἐξ αὐτῶν τῆς οἰκείας ἐξέστη καταστάσεως, ἢ πρὸς τὰ ὑποδεέστερα μετηνέχθη. Ὁ γὰρ οὐρανὸς καὶ ἡ γῆ ἔμειναν, καὶ τὰ ἐν αὐτοῖς ὡσαύτως ἔχοντα. Τὸ δὲ τὴν ἀλλοτριοπραγίαν ἐξορίζειν καὶ ἀμεταπτώτους φυλάττειν τὰς ἑκάστου ἰδιότητας, οὕτω νόησον, ὅτι τὰ στοιχεῖα ἐναντία μένουσιν ἀλλήλοις, οἷον τὸ θερμὸν καὶ ψυχρόν, καὶ ὑγρὸν καὶ ξηρόν, καὶ ἕκαστον αὐτῶν ἐν τῇ ἰδίᾳ ὁλότητι ἐναπομένει, καὶ οὐ μεθίσταται πρὸς τὸ ἐναντίον· οὐδέποτε γὰρ τὸ πῦρ ὕδωρ γίνεται, οὐδὲ τὸ ὕδωρ πῦρ. Εἰ δὲ καὶ συνέλθοιεν κατὰ τὴν τοῦ δημιουργοῦ κέλευσιν, μένει ἕκαστον αὐτῶν, σῴζον τὴν οἰκείαν ἰδιότητα.

Καὶ τὰς ἀναλογίας: Ἀναλογίας φησὶ τὰς ἁρμοδιότητας ἑκάστης φύσεως καὶ συμμετρίας.

Οὐκ ἀπὸ σκοποῦ: Τουτέστιν οὐκ ἔξω τοῦ σκοποῦ τῆς Γραφῆς.

Ὑπερείδουσα: Ὑποστηρίζουσα.

Τῶν λελωβημένων: Βεβλαμμένων, τῶν λώβην καὶ ἀχρείωσιν προξενούντων.

Καὶ πᾶσα ἀνισότης: Οὐχ ἁπλῶς φησι τὴν ἀνισότητα ἐξορίζειν, ἀλλ' ἐν τοῖς καθ' ἕκαστον, τουτέστι τὸ μὴ ἴσως καὶ ὁμοίως ἕκαστον τῶν γεγονότων ἐν ταυτότητι τῇ κατὰ φύσιν διαμένειν· διὸ καὶ τὸ κατὰ στέρησιν προσέθηκεν, ἐπεὶ κατὰ τὸ ἀδιάφορα εἶναι τὰ ὄντα καὶ ἄνισα ἡ ἀνισότης οὐκ ἐκβάλλεται.

Τῆς ἐν αὐτοῖς ἑκάστοις ἰσότητος: Δύο τρόπους καθ' οὓς ἀνισότης λέγεται εἰδώς, τοὺς δύο τρανοῖ, καί φησιν, ὅτι δικαιοσύνη κατὰ τοῦτο λέγεται ὁ Θεός, καθ' ὃ καὶ τὴν ἰσότητα πάν-

Καὶ ἀρρεπῆ πρὸς τὰ χείρω: Νὰ πιστεύεις, ὅτι αὐτὰ τὰ λέει γιὰ τὰ αἰσθητὰ καὶ τὰ δημιουργήματα, γιατὶ ὅλα τὰ διαφυλάττει στὴν ἁρμονική τους διάταξη. Κανένα δηλαδὴ ἀπὸ αὐτὰ δὲν μεταβλήθηκε, ἀλλὰ ἔμειναν ἔτσι ὅπως δημιουργήθηκαν. Αὐτὸ δηλώνει ἡ λέξη 'ἀμετάβλητα'. Ἀρρεπῆ πρὸς τὰ χείρω (χωρὶς ροπὴ πρὸς τὰ χειρότερα) τὰ λέει ἢ ἐπειδὴ τὰ δημιούργησε μὲ προαίρεση ἢ ἐπειδὴ κανένα ἀπὸ αὐτὰ δὲν βγῆκε ἀπὸ τὴν κατάστασή του οὔτε μεταφέρθηκε στὰ κατώτερα. Ὁ οὐρανὸς δηλαδὴ καὶ ἡ γῆ καὶ ὅσα περιέχουν αὐτὰ ἔμειναν στὴν ἴδια κατάσταση. Τὸν ἐξορισμὸ δηλαδὴ τῆς ἀπασχόλησης μὲ ἄλλα πράγματα καὶ τὴ φύλαξη τῶν ἰδιοτήτων καθενὸς ἀμετάπτωτες ἐννόησέ τα ὡς ἑξῆς· τὰ στοιχεῖα μένουν σὲ ἐναντιότητα μεταξύ τους, τὸ θερμὸ καὶ τὸ ψυχρό, τὸ ὑγρὸ καὶ τὸ ξηρό, καὶ καθένα ἀπὸ αὐτὰ παραμένει στὴν πλήρη ταυτότητά του καὶ δὲν μετατρέπεται στὸ ἀντίθετο. Ποτὲ δηλαδὴ ἡ φωτιὰ δὲ γίνεται νερό, οὔτε τὸ νερὸ φωτιά. Κι ἂν ἀκόμα συμπέσουν σύμφωνα μὲ κάποια διαταγὴ τοῦ δημιουργοῦ, παραμένει καθένα ἀπὸ αὐτὰ ὅπως εἶναι, διατηρώντας τὸν δικό του χαρακτήρα.

Καὶ τὰς ἀναλογίας: 'Ἀναλογίες' ὀνομάζει ὅ,τι ἁρμόζει σὲ κάθε φύση καὶ ὅ,τι εἶναι σύμμετρο μ' αὐτή.

Οὐκ ἀπὸ σκοποῦ: Δηλαδὴ ὄχι ἔξω ἀπὸ τὸ σκοπὸ τῆς Γραφῆς.

Ὑπερείδουσα: Δηλαδὴ ποὺ ὑποστηρίζει.

Τῶν λελωβημένων: Δηλαδὴ ἐκείνων ποὺ βλάπτουν, ἐκείνων ποὺ προξενοῦν βλάβη καὶ ἀχρήστευση.

Καὶ πᾶσα ἀνισότης: Δὲν λέει ἁπλῶς νὰ ἐξορίζεται ἡ ἀνισότητα, ἀλλὰ στὸ καθένα ἐπιμέρους, δηλαδὴ τὸ νὰ μὴ διαμένει κάθε δημιούργημα ἴσα καὶ ὅμοια στὴ φυσική του ταυτότητα. Γι' αὐτὸ πρόσθεσε καὶ τὸ 'κατὰ στέρηση', ἐπειδὴ ἡ ἀνισότητα δὲν ἐκβάλλεται μὲ τὸ νὰ εἶναι ἀδιάφορα καὶ ἄνισα τὰ ὄντα.

Τῆς ἐν αὐτοῖς ἑκάστοις ἰσότητος: Ἔχοντας ὑπόψη δύο τρόπους, κατὰ τοὺς ὁποίους χρησιμοποιεῖται ἡ ἀνισότητα, διευκρινίζει καὶ τοὺς δύο, καὶ λέει, ὅτι σύμφωνα μ' αὐτὸ λέγεται ὁ

των ἐπιμετρεῖ, καὶ τὴν ἀνισότητα πάντων ἐξορίζει. Ἀνισότητα δὲ νῦν φησι τὴν κατὰ στέρησιν τῆς ἰσότητος συμβαίνουσαν, τουτέστι τὴν πλεονεξίαν· τὸ γὰρ ἴσως νέμειν ἑκάστοις τὰ κατ' ἀξίαν, τοῦτο συγκρατεῖ πάντα καὶ σῴζει. Ταῦτα φήσας, ἐπιφέρει καὶ τὸν ἕτερον τρόπον, καθ' ὃν ἀνισότης λέγεται. Καὶ γὰρ οἶδέ τινας, τὰ μὲν νοητὰ καὶ ἀσώματα εἴδη, καὶ τὰς πρώτας τῶν ὄντων ἀρχάς, φημὶ δὴ τὴν ἀθάνατον δημιουργίαν, τὰς ἑνάδας, τουτέστι τὰς ἁπλᾶς οὐσίας, ἰσότητα καὶ ταυτότητα ὀνομάσαντας, τὰ δὲ αἰσθητά, ἃ καὶ μεριστά εἰσι καὶ ἐν μεταβολῇ καὶ διαφορᾷ, καὶ ἄλλοτε ἄλλως ἔχοντα, ἀνισότητα καὶ ἑτερότητα καλέσαντας. Λέγει οὖν, ὅτι, κἂν ταύτην τὴν ἀνισότητα νοήσῃ τις, τὴν τῶν αἰσθητῶν εἰς εἴδη διαφοράν, δι' ἧς αἱ τῶν ζώων καὶ τῶν φυτῶν καὶ τῶν ἑξῆς γενέσεις ὑφίστανται, ἀλλὰ καὶ ταύτης τῆς ἀνισότητος ὁ Θεὸς φύλαξ καὶ φρουρός ἐστι, μὴ ἐῶν τὰ ἐναντία εἰς ἓν συμμιχθῆναι καὶ συνδραμόντα διὰ τῆς φυράσεως εἰς φθορὰν ἐλθεῖν. Ὡς γὰρ παρήγαγε πάντα, οὕτω συντηρεῖ αὐτά, καὶ εἰσὶν ὡς ἐξ ἀρχῆς ἐγένοντο.

Τὴν γὰρ ἀνισότητα: Σημείωσαι, ὅτι τὴν ἀνισότητά φησι καὶ τὴν ἐν τῷ ὅλῳ πρὸς ὅλα διαφορὰν τῶν ὅλων, καὶ ὅτι τὴν τοιαύτην ἀνισότητα ἡ τοῦ Θεοῦ δικαιοσύνη φρουρεῖ. Σημείωσαι δέ, ὅτι ἐστὶ καὶ φυσικὴ ἀνισότης.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ Θ'

§ 1. Τούτων τῶν θεωνυμικῶν: Σοφώτατά φησι θεωνυμικῶν ἀγαλμάτων, ἐξ Ἑλλήνων ἐπὶ τὸ ἀληθὲς μετάγων· ἐκεῖνοι γὰρ οἷά τινας ἀνδριάντας ἐποίουν, μήτε χεῖρας μήτε πόδας ἔχοντας, οὓς Ἑρμᾶς ἐκάλουν· ἐποίουν δὲ αὐτοὺς διακένους θύρας ἔχοντας, καθάπερ τοιχοπυργίσκους. Ἔσωθεν οὖν αὐτῶν ἐτίθε-

Θεὸς δικαιοσύνη, κατὰ τὸ ὅτι ἐξασφαλίζει μὲ μέτρο καὶ τὴν ἰσότητα ὅλων καὶ τὴν ἀνισότητα ὅλων ἐξορίζει. Ἀνισότητα τώρα λέει αὐτὴν ποὺ συμβαίνει ἀπὸ στέρηση τῆς ἰσότητας, δηλαδὴ τὴν πλεονεξία. Γιατὶ ἡ ἴση ἀπονομὴ στὸ καθένα αὐτοῦ ποὺ τοῦ ἀξίζει εἶναι αὐτὸ ποὺ συγκρατεῖ καὶ διασώζει τὰ πάντα. Ἀφοῦ εἶπε αὐτά, προσθέτει καὶ τὴν ἄλλη ἄποψη κατὰ τὴν ὁποία λέγεται ἡ ἀνισότητα. Γιατὶ γνωρίζει κάποιους ποὺ ὀνόμασαν ἰσότητα καὶ ταυτότητα τὰ νοητὰ καὶ ἀσώματα εἴδη καὶ τὶς πρῶτες ἀρχὲς τῶν ὄντων, ἐννοῶ τὴν ἀθάνατη δημιουργία, τὶς ἑνάδες, δηλαδὴ τὶς ἁπλὲς οὐσίες, ἐνῶ τὰ αἰσθητὰ ποὺ εἶναι καὶ διαιρετά, καὶ μεταβάλλονται, καὶ εἶναι διάφορα, καὶ ἄλλοτε εἶναι ἔτσι κι ἄλλοτε ἀλλιῶς, τὰ κάλεσαν ἀνισότητα καὶ ἑτερότητα. Λέει λοιπόν, ὅτι ἀκόμα κι ἂν νοήσει κάποιος αὐτὴ τὴν ἀνισότητα, τὴ διαφορὰ τῶν αἰσθητῶν σὲ εἴδη, σύμφωνα μὲ τὴν ὁποία ὑπάρχουν οἱ γενέσεις τῶν ζώων, τῶν φυτῶν καὶ τῶν λοιπῶν, ἀλλὰ κι αὐτῆς τῆς ἀνισότητας ὁ Θεὸς εἶναι φύλακας καὶ φρουρός, μὴν ἀφήνοντας νὰ σμίξουν τὰ ἐναντία σὲ ἕνα καί, ἀφοῦ ἑνωθοῦν μὲ τὴν ἀνάμιξη, νὰ ὁδηγηθοῦν στὴ φθορά. Ὅπως δηλαδὴ δημιούργησε τὰ πάντα, ἔτσι καὶ τὰ συντηρεῖ, καὶ εἶναι ἔτσι ὅπως ἔγιναν ἀπὸ τὴν ἀρχή.

Τὴν γὰρ ἀνισότητα: Σημείωσε, ὅτι ἀνισότητα λέει καὶ τὴ διαφορὰ τῶν ὅλων πρὸς ὅλα μέσα στὸ ὅλο, καὶ ὅτι τὴν ἀνισότητα αὐτὴ τὴ φρουρεῖ ἡ δικαιοσύνη τοῦ Θεοῦ. Σημείωσε ἐπίσης, ὅτι ὑπάρχει καὶ φυσικὴ ἀνισότητα.

ΣΤΟ ΚΕΦΑΛΑΙΟ 9

§ 1. Τούτων τῶν θεωνυμιῶν: Πολὺ σοφὰ μιλάει γιὰ ἀγάλματα θείων ὀνομάτων, μεταφέροντάς τα ἀπὸ τοὺς Ἕλληνες στὴ (χριστιανικὴ) ἀλήθεια. Γιατὶ ἐκεῖνοι ἔκαμναν ἕνα εἶδος ἀνδριάντων, ποὺ δὲν εἶχαν οὔτε χέρια οὔτε πόδια, καὶ τοὺς ὀνόμαζαν Ἑρμᾶς. Καὶ τοὺς ἔκαναν νὰ ἔχουν κενὲς θυρίδες, ὅπως οἱ πυρ-

σαν ἀγάλματα, ὧν ἔσεβον θεῶν, ἔξωθεν δὲ ἀπέκλειον τοὺς Ἑρμᾶς· ἐφαίνοντο οὖν οἱ Ἑρμαῖ εὐτελεῖς, ἔσωθεν δὲ τούτων θεῶν αὐτῶν καλλωπισμοὺς εἶχον. Οὕτως οὖν κἀνταῦθα νοήσεις, τὰ μὲν περὶ τοῦ ὄντος καὶ ἀληθινοῦ Θεοῦ μόνου ἐν τῇ Γραφῇ ὀνόματα ἀνάξια εἶναι περὶ Θεοῦ λεγόμενα, ὡς τὸ μικρόν, καὶ τὸ καθῆσθαι, καὶ τὰ ἑξῆς, ἀναπτυσσόμενα δὲ τὰ ὀνόματα καὶ ἀξίως Θεοῦ ἑρμηνευόμενα, ἔχουσιν ἔσωθεν τὰ ἀγάλματα καὶ τοὺς θείους τύπους τῆς περὶ Θεοῦ δόξης.

Μέγας οὖν ὁ Θεὸς ἐν τοῖς Λογίοις ὑμνεῖται. Οὐ πρὸς ἀντιπαράθεσιν ὁ Θεὸς μέγας, φησίν, ἑτέρου, ὥσπερ βοῦς μείζων προβάτου, ἢ κύαμος κέγχρου, ἀλλὰ διὰ τὸ ἀπαράθετον καὶ ὄντως ἀκατάληπτον τῆς θείας μεγαλειότητος· τοῦτο γὰρ ἐσήμανε τὸ 'ἰδίως', ἤγουν ἰδιότητα εἰπών.

§ 2. Μέγας μὲν οὖν ὁ Θεὸς ὀνομάζεται: Εἰ καὶ ἑρμηνεύει τῶν ἐπὶ Θεοῦ κατηγορουμένων τὰς προσηγορίας, ἀλλ' ἀνάγκη Γραφικαῖς μαρτυρίαις ταύτας τρανῶσαι. Μέγας μὲν οὖν εἴρηται, ἔνθα γέγραπται, «μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ», καὶ ὅσα τοιαῦτα ἐν τῇ Γραφῇ, τὸ δὲ εἶναι καὶ μικρός, δηλοῦται ἐν τῇ τρίτῃ τῶν Βασιλειῶν, ἔνθα φησὶ πρὸς Ἠλίαν τὸν προφήτην· «ἰδοὺ φωνὴ αὔρας λεπτῆς, καὶ ἐκεῖ Κύριος»· δηλοῖ γὰρ ὡς περιεχόμενον αὐτὸν ὑπὸ τῆς αὔρας, ὅ ἐστι λεπτότητος καὶ σμικρότητος, τὸ δὲ 'αὐτὸς' ἔχεις ἐνταῦθα, καὶ ἐν τῷ, «Ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι». Τὸ δὲ ἕτερον, ὅτε τῷ Ἰεζεκιὴλ ὤφθη ὡς ἄνθρωπος ἐκ πυρὸς καὶ ἠλέκτρου, καὶ ἑτέρωθι· «οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς λαμπάδες», καὶ τὰ λοιπά· ὡς εἶδος χαλκοῦ καὶ κλιβάνου, ὅπερ φησὶν Ἰωάννης ἐν Ἀποκαλύψει· καὶ

1. Ψαλμ. 146,5. 2. Γ' Βασ. 19,12.

γίσκοι τῶν τειχῶν. Μέσα σ' αὐτοὺς τοποθετοῦσαν ἀγάλματα τῶν θεῶν ποὺ λάτρευαν, καὶ ἀπέξω ἔκλειναν τοὺς Ἑρμᾶς. Φαίνονταν λοιπὸν ἐξωτερικὰ οἱ Ἑρμαῖ εὐτελεῖς, ἐσωτερικὰ ὅμως εἶχαν κοσμήματα τοὺς ἴδιους τοὺς θεούς. Ἔτσι σκέψου λοιπὸν καὶ ἐδῶ· τὰ ὀνόματα δηλαδὴ ποὺ ἔχει ἡ Γραφὴ γιὰ τὸν ζῶντα καὶ μόνον ἀληθινὸ Θεὸ εἶναι ἀνάξιο νὰ λέγονται γιὰ τὸν Θεό, ὅπως τὸ 'μικρὸ' καὶ τὸ 'κάθεται' καὶ τὰ λοιπά. Ὅταν ὅμως ἀναπτύξομε τὰ ὀνόματα καὶ τὰ ἐξηγήσομε ἀντάξια τοῦ Θεοῦ, ἔχουν μέσα τους τὰ ἀγάλματα καὶ τὶς θεῖες σφραγίδες τῆς δόξας τοῦ Θεοῦ.

Μέγας οὖν ὁ Θεὸς ἐν τοῖς Λογίοις ὑμνεῖται: Δὲν εἶναι ὁ Θεός, λέει, μέγας σὲ σύγκριση μὲ κάτι ἄλλο, ὅπως τὸ μοσχάρι εἶναι μεγαλύτερο ἀπὸ τὸ πρόβατο, ἢ τὸ κουκὶ ἀπὸ τὸ κεχρί, ἀλλ' ἐπειδὴ ἡ θεία μεγαλοπρέπεια δὲν μπορεῖ νὰ συγκριθεῖ καὶ ἀληθινὰ δὲν μπορεῖ νὰ κατανοηθεῖ. Γιατὶ αὐτὸ δήλωσε τὸ 'ἰδίως', δηλαδὴ τὸν ἰδιαίτερο χαρακτῆρα του.

§ 2. Μέγας μὲν οὖν ὁ Θεὸς ὀνομάζεται: Ἂν καὶ ἑρμηνεύει τὴ σημασία τῶν ὀνομασιῶν ποὺ ἀποδίδονται στὸν Θεό, εἶναι ἀνάγκη νὰ διασαφηνισθοῦν μὲ μαρτυρίες ἀπὸ τὴ Γραφή. Ὀνομάσθηκε λοιπὸν μέγας, ὅπως ἔχει γραφεῖ, «μέγας ὁ Κύριός μας καὶ μεγάλη ἡ ἰσχύς του»[1], κι ὅσα παρόμοια ὑπάρχουν στὴ Γραφή. Τὸ ὅτι εἶναι καὶ μικρὸς δηλώνεται στὴ Γ' Βασιλειῶν, ὅπου λέει πρὸς τὸν Ἠλία τὸν προφήτη· «ἰδοὺ φωνὴ λεπτῆς αὔρας, καὶ εἶναι ὁ Κύριος»[2]. Δηλώνει δηλαδὴ ὅτι περιέχεται μέσα στὴν αὔρα, ποὺ εἶναι δηλωτικὸ λεπτότητας καὶ μικρότητας. Τὸ ὅτι εἶναι ὁ αὐτός, τὸ ἔχεις ἐδῶ στὴ φράση· «Ἐγὼ εἶμαι καὶ δὲν ἔχω ἀλλάξει»[3]. Τὸ ἄλλο πάλι, ὅταν φανερώθηκε στὸν Ἰεζεκιὴλ μὲ τὴ μορφὴ ἀνθρώπου ἀπὸ φωτιὰ καὶ ἤλεκτρο[4] καὶ σὲ ἄλλο σημεῖο, «οἱ ὀφθαλμοί του εἶναι σὰν λαμπάδες»[5], καὶ τὰ λοιπά. «Ἔμοιαζε μὲ χαλκὸ καὶ κλίβανο», ποὺ τὸ λέει ὁ Ἰωάννης στὴν

---

3. Μαλ. 3,6. 4. Ἐξ. 1,26,27.
5. Δαν. 10,6.

ὅμοιος, ὅτε καθ' ὁμοιότητα αὐτοῦ λέγει δημιουργεῖν τὸν ἄνθρωπον· ἀνόμοιος δέ, ἐν Ἡσαΐᾳ, ὅταν λέγῃ, «τίνι με ὡμοιώσατε, λέγει Κύριος», ἅτε οὐδὲν ἔχων ὅμοιον. Καὶ ἑστὼς καὶ ἀκίνητος ἐν τῷ λέγειν Μωϋσεῖ περὶ τῆς πέτρας, «ὧδε ἐγὼ ἕστηκα πρὸ τοῦ σε εἶναι ἐκεῖ», καὶ τὰ ὅμοια. Καθήμενος δὲ ἔνθα ὁ Βαρούχ φησι· «Σὺ καθήμενος εἰς τὸν αἰῶνα, καὶ ἡμεῖς ἀπολλύμενοι εἰς τὸν αἰῶνα»· καὶ πάλιν· «ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ». Κινούμενος δέ, ὡς ὅταν λέγῃ· «καὶ ἐπέβη ἐπὶ χερουβὶμ καὶ ἐπετάσθη»· καὶ πάλιν· «δεῦτε καταβάντες, συγχέωμεν τὰς γλώσσας αὐτῶν», καί, «ἔκλινεν οὐρανοὺς καὶ κατέβη». Καὶ ταῦτα μὲν νῦν, ἐν δὲ ταῖς κατὰ μέρος ἐξηγήσεσι τὰ δέοντα σαφηνισθήσεται.

Τὸ μέγεθος τοῦτο καὶ ἄπειρόν ἐστιν: Ἐπειδὴ παντέλειον πέρας ἔχει ὁ Θεὸς καὶ ὑπερτέλειος ὢν καὶ ὑπεράπειρός ἐστιν, ὡς τό, «καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται πέρας», ἀλλὰ καὶ ὑπὲρ πάντα ἐστὶν ἀριθμόν· εἰ γὰρ καὶ λέγοιτο ὁ Θεὸς εἷς καὶ ἕν, ἀλλ' οὖν ὑπὲρ τὸ ἕν ἐστι. Κυρίως μὲν γὰρ τὸ 'ἓν' σχέσιν δηλοῖ πρὸς τοὺς ἐξ αὐτοῦ πολλοὺς ἀριθμοὺς καὶ οἱονεὶ ἀρχὴ πλήθους ἀριθμῶν εἶναι δοκεῖ, ὅμως ἠξίωσεν ὁ Θεὸς καὶ τὸ ἓν ἐκ τῶν ἐξ αὐτοῦ δέξασθαι, ἐπειδὴ τὸ ἓν ἁπλοῦν ἐστι καὶ ἀμερὲς καθ' ἑαυτὸ καὶ ἀσύνθετον, ἀλλὰ καὶ οὕτως ὑπερήνωται, ἀντὶ τοῦ, ὑπὲρ τὸ ἕν ἐστι· διὸ εἴρηται, «καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός».

§ 3. Οὕτως οὖν ἐπὶ Θεοῦ τὸ σμικρόν: Πάντα γὰρ τὰ ὄντα, καὶ τὰ λίαν μεγάλα, καὶ τὰ ἄγαν μικρά, μετέχουσι τῆς τοῦ μικροῦ μετουσίας· οὐδὲν γὰρ τῶν ὄντων διέφυγε τὸ σμικρὸν ἐν πᾶσιν ἀναφαινόμενον· ἢ ὅτι ἐκ μικροῦ πρὸς τὸ μεῖζον πρόεισι

---

6. Ἀπ. 9,2. 7. Γέν. 1,26. 8. Ἡσ. 40,25.
9. Ἔξ. 17,6. 10. Βαρ. 3,3. 11. Ψαλμ. 98,1.

Ἀποκάλυψη[6]· καὶ ὅμοιος, ὅταν λέει ὅτι δημιουργεῖ τὸν ἄνθρωπο ὅμοιο σὰν κι αὐτόν[7]. Ἀνόμοιος πάλι λέγεται στὸν Ἠσαΐα, ὅταν λέει· «μὲ ποιόν μὲ παρομοιάζετε, λέγει ὁ Κύριος»[8], ἐπειδὴ δὲν ἔχει τίποτε ὅμοιο. Λέγεται ὅτι στέκεται κι ἀκίνητος ὅταν μιλᾶ στὸν Μωυσῆ γιὰ τὴν πέτρα· «Ἐγὼ στέκομαι ἐδῶ προτοῦ πᾶς ἐσὺ ἐκεῖ»[9], καὶ τὰ ὅμοια. Λέγεται ὅτι κάθεται ἐκεῖ ὅπου ὁ Βαροὺχ λέει· «Ἐσὺ μένεις καθισμένος στὸν αἰώνα καὶ ἐμεῖς χανόμαστε στὸν αἰώνα[10]· καὶ ἐπίσης· «Ἐσὺ ποὺ κάθεσαι ἐπάνω στὰ χερουβίμ»[11]. Λέγεται ὅτι κινεῖται, ὅπως ὅταν λέει· «ἀνέβηκε στὸ χερουβὶμ καὶ πέταξε»[12]· καὶ πάλι· «ἐμπρός, ἂς κατεβοῦμε κι ἂς συγχύσομε τὶς γλῶσσες τους»[13]· καὶ ἐπίσης, «ἔκλινε τοὺς οὐρανοὺς καὶ κατέβηκε»[14]. Αὐτὰ γιὰ τώρα, ἐνῶ στὶς ἐπιμέρους ἐξηγήσεις θὰ διασαφηνιστοῦν ὅσα χρειάζονται.

Τὸ μέγεθος τοῦτο καὶ ἄπειρόν ἐστιν: Ἐπειδὴ ὁ Θεὸς ἔχει πέρας παντέλειο καὶ εἶναι ὑπερτέλειος καθὼς καὶ ὑπεράπειρος, ὅπως λέει, «καὶ τῆς βασιλείας του δὲν ὑπάρχει πέρας»[15], ἀλλὰ ξεπερνᾶ καὶ ὁποιονδήποτε ἀριθμό. Ἂν καὶ βέβαια ὁ Θεὸς λέγεται ἕνας καὶ ἕνα, ἀλλ' ὅμως εἶναι πάνω ἀπὸ τὸ ἕνα. Κατὰ κυριολεξία τὸ ἕνα δηλώνει σχέση μὲ τοὺς πολλοὺς ἀριθμοὺς ποὺ γίνονται ἀπὸ αὐτὸ καὶ φαίνεται σὰ νὰ εἶναι ἀρχὴ ἑνὸς πλήθους ἀριθμῶν, ὅμως ὁ Θεὸς ἔκρινε ἄξιό του νὰ δεχθεῖ καὶ τὸ ἕνα ἀπὸ τὰ δημιουργήματά του, ἐπειδὴ τὸ ἕνα εἶναι ἁπλὸ καὶ δίχως μέρη καθαυτὸ καὶ ἀσύνθετο, ἀλλὰ καὶ ἔτσι ἀποτελεῖ μιὰ ὑπερενότητα, δηλαδὴ εἶναι πάνω ἀπὸ τὸ ἕνα. Γι' αὐτὸ ἔχει λεχθεῖ· «καὶ γιὰ τὴ σοφία του δὲν ὑπάρχει ἀριθμός»[16] νὰ τὴν περιλάβει.

Ἀλλὰ τὸ μὲν πολλά: Προσυπακουστέον ἐφ' ἑκάστου τούτων τὸ 'ὑπάρχον', ἵνα ᾖ τὸ λεγόμενον τοιοῦτον, τὸ ὑπάρχον τοῖς μέρεσι πολλὰ ἕν ἐστι τῷ ὅλῳ, οἷον τὸ σῶμα, οὕτω καὶ τὰ λοιπὰ ἓν τῷ ὑποκειμένῳ ἐστίν, ἤτοι οὐσίᾳ· ἀλλὰ πολλὰ τοῖς συμβεβηκόσιν, οἷον ὁ ἄνθρωπος. Συμβεβηκότα δὲ τὰ μὲν χωριστά, ὡς τὸ καθέζεσθαι, περιπατεῖν, καὶ τὰ ὅμοια, τὰ δὲ ἀχώριστα, ὡς τὸ γλαυκὸν ἢ γρυπὸν καὶ τὰ ὅμοια, καὶ πάλιν, ἓν μὲν εἶδος, ἵππος ἢ βοῦς, ἀλλὰ τοῦτο πολλὰ ὑπάρχει τῷ ἀριθμῷ· πολλοὶ γὰρ ἵπποι, καὶ πολλοὶ βόες. Ἀλλὰ καὶ ταῖς δυνάμεσι ταῖς φυσικαῖς πολλὰ ὑπάρχει· καὶ αὖθις τὰ πολλὰ εἴδη, οἷον ἄνθρωπος, ἵππος, κύων καὶ τὰ ἄλλα, ἕν εἰσι τῷ γένει· ζῶον γὰρ τούτων ἕκαστον· οὕτω γοῦν καὶ τὸ πολλὰ ὑπάρχον ταῖς περιόδοις, ἤγουν τοῖς βουλεύμασιν, ἢ καὶ τοῖς ἔργοις ἕν εἰσι τῇ ἀρχῇ.

Πάντα καὶ ὅλα πάντα: Πάντα λέγεται, ὅταν εἴδη καὶ μέρη καὶ διαφοραὶ ἐν ταῖς διαιρέσεσιν ὦσιν, ὅλον δέ, ὅταν τὰ μέρη

τῶν ἀριθμῶν σὲ πλῆθος τὸ πέρας ἀνάγεται στὴ μονάδα, ἐνῶ ἡ ἀρχὴ σὲ κάθε γένος εἶναι κάτι ἁπλούστατο. Καὶ στὰ ὄντα λοιπὸν εἴτε τὸ ἕνα εἶναι πολλὰ εἴτε τὰ πολλὰ ἕνα, ἀρχὴ καὶ στοιχεῖο εἶναι τὸ ἕνα τὸ ἁπλούστατο, καὶ ποὺ τίποτε δὲν μετέχει, ἀπὸ τὸ ὁποῖο, σὰν ἀπὸ παράδειγμα καὶ ἰδέα ὑπάρχει καὶ τὸ ἕνα μέσα στὰ ὄντα· γιὰ παράδειγμα, κι ἂν ἀκόμα τὸ αἰσθητὸ φῶς μοιράζεται σὲ πολλὰ μέρη ὅσα εἶναι ὅλα τὰ ἄστρα, ὅταν συλλεγεῖ ὅλο, εἶναι φῶς ἕνα. Καὶ πολλὰ πάλι ὡς πρὸς τὰ συμβεβηκότα, ὅπως τὸ παγώνι· ἔχει καὶ χρυσωπὰ καὶ κυανὰ καὶ λευκὰ παγώνια, ἀλλὰ τὸ ὑποκείμενο ποὺ χαρακτηρίζεται εἶναι ἕνα. Ἔτσι πρέπει νὰ ἐννοήσομε καὶ τὰ ἄλλα.

Οὐδὲ γάρ ἐστι πλῆθος: Ἐδῶ ἀνασκευάζει τὸ λεγόμενο ἀπὸ τὴν ἀριθμητική. Σημείωσε, πὼς λέει, ὅτι ὁ Θεὸς εἶναι καὶ πρὶν ἀπὸ τὸ ἕνα καὶ δικαιολογημένα, γιατὶ ὑπάρχει πρὶν ἀπὸ ὅλα, γι' αὐτὸ εἶναι καὶ τοῦ ἀριθμοῦ δημιουργός, δηλαδὴ ἐφευρέτης.

Ἀλλὰ τὸ μὲν πολλά: Πρέπει γιὰ τὸ καθένα ἀπὸ αὐτὰ νὰ ἐννοήσομε ἐπιπλέον τὸ ὅτι ὑπάρχει, γιὰ νὰ εἶναι τὸ λεγόμενο τὸ ἀκόλουθο· αὐτὸ ποὺ εἶναι κατὰ τὰ μέρη πολλά, εἶναι γιὰ τὸ σύνολο ἕνα. Ὅπως τὸ σῶμα, ἔτσι καὶ τὰ λοιπὰ εἶναι μὲ τὸ ὑποκείμενό τους, δηλαδὴ τὴν οὐσία, ἕνα, ἐνῶ εἶναι πολλὰ ὡς πρὸς τὰ συμβεβηκότα, ὅπως ὁ ἄνθρωπος. Καὶ συμβεβηκότα γι' αὐτὸν εἶναι ἄλλα χωριστά, ὅπως τὸ νὰ κάθεται, νὰ περπατεῖ καὶ τὰ ὅμοια, κι ἄλλα ἀχώριστα, ὅπως τὰ γαλανὰ μάτια, ἡ γρυπὴ μύτη καὶ τὰ παρόμοια. Καὶ ἐπίσης εἶναι ἕνα εἶδος τὸ ἄλογο ἢ τὸ βόδι, ὡς πρὸς τὸν ἀριθμὸ ὅμως εἶναι πολλά, γιατὶ ὑπάρχουν πολλὰ ἄλογα καὶ πολλὰ βόδια. Εἶναι ὅμως πολλὰ καὶ ὡς πρὸς τὶς φυσικὲς δυνάμεις· καὶ ἐπίσης τὰ πολλὰ εἴδη, ὅπως ἄνθρωπος, ἄλογο, σκύλος καὶ τὰ ἄλλα εἶναι ἕνα γένος, γιατὶ τὸ καθένα ἀπὸ αὐτὰ εἶναι ζῶο. Ἔτσι λοιπὸν κι αὐτὸ ποὺ εἶναι πολλὰ στὶς περιόδους τοῦ λόγου, δηλαδὴ στὶς σκέψεις ἢ καὶ στὰ ἔργα, ὡς πρὸς τὴν ἀρχὴ εἶναι ἕνα.

Πάντα καὶ ὅλα πάντα: 'Πάντα' λέμε, ὅταν ὑπάρχουν εἴδη καὶ μέρη καὶ διαφορὲς στὶς διαιρέσεις, ἐνῶ 'ὅλον', ὅταν τὰ

συλλεγόμενα ἓν ὁλόκληρον ἀποτελῶσιν, ἢ τὰ εἴδη ἓν γένος, ἢ καὶ τὰ ἐναντία καὶ ἀντικείμενα εἰς σύμπνοιαν καὶ συμπάθειαν ἡσυχάζῃ, ὡς ὕδωρ ὁμοῦ, καὶ γῆ, καὶ ἀήρ, καὶ τὰ πυρώδη ἄστρα, καὶ οὐρανός· λέγεται γὰρ ὅλα ταῦτα κόσμος.

Καὶ ἄνευ μὲν τοῦ ἑνός: Ἐπειδὴ τὸ ἓν δοκεῖ πως ἔχειν σχέσιν πρὸς ἀριθμόν, ἄνευ ἑνὸς οὐκ ἂν εἴη πλῆθος· σύνθεσις γὰρ μονάδος εἰσὶν οἱ εἰς πλῆθος ἀριθμοί, ὅπερ εἶπεν ἄνω, ὅτι πολλαπλασιάζεται ὁ Θεός, ὡς ἀπὸ ἀριθμητικῆς νοούμενος. Τὸ δὲ ἓν καὶ καθ' ἑαυτὸ ὑφέστηκε καὶ ἔστι.

Καὶ εἰ πᾶσι τὰ πάντα: Τὸ 'ὑποθοῖτό τις', καὶ τὸ 'καθ' ὑπόθεσιν' λαμβάνεται ἐπὶ τῶν πραγματικῶς οὐκ ὄντων, ἀλλὰ λόγῳ τυπουμένων· ἐνταῦθα μέντοι οὐχ οὕτω ληπτέον, ἀλλὰ τὸ κατὰ ἐπίνοιαν λόγῳ τοῦτο θετέον, διὰ τὴν τοῦ ἐκτίσθαι ταυτότητα, καὶ τὸ ὅλον ἐν τοῖς μέρεσι θεωρεῖσθαι, καὶ ἐν τῷ ὅλῳ τὰ μέρη.

Ὅτι κατὰ τὸ ἑνὸς ἑκάστου προεπινοούμενον: Εἰ μὴ προεπινοηθείη, φησί, τὸ τοῦ ἀνθρώπου εἶδος, ἤγουν ἡ φύσις, οὐκ ἄν τις εἴποι τοὺς ἀνθρώπους ἡνῶσθαι ἀλλήλους· δῆλον δὲ ὅτι κατ' αὐτὸν τὸν τῆς φύσεως λόγον.

§ 3. Καὶ εἰ ἀνέλοις τὸ ἕν: Οὕτω τὸ ῥητὸν συνθετέον, ὅτι ἡνῶσθαι λέγεται τὰ ἡνωμένα κατ' εἶδος προεπινοούμενον ἑνὸς ἑκάστου· προείπομεν γάρ, ὅτι τὰ εἴδη καὶ τὰ πολλὰ στοιχεῖόν τι ἀρχὴν τὸ ἓν ἐπιγράφονται, εἰς γένος ἓν ἀναγόμενα, οὗ γένους εἴδη εἰσί· ταῦτα γὰρ ἡνωμένα αὐτῷ τῷ εἴδει, οἷον ἵπποι, βόες, καὶ τὰ ἑξῆς, ἅπερ εἰς ἓν γένος ἀνάγονται, τὸ καλεῖσθαι ζῶον.

Τὴν ὅλην θεαρχίαν: Ὅλη θεαρχία ἡ παναγία καὶ προσκυνητὴ Τριάς, διὰ δὲ τὴν ἀνέκφραστον τῆς φύσεως ἕνωσιν, ὁ εἷς καὶ ἓν χρηματίζει.

μέρη μαζευτοῦν κι ἀποτελέσουν ἕνα ὁλόκληρο σύνολο, ἢ τὰ εἴδη ἕνα γένος, ἢ καὶ τὰ ἐναντία καὶ τὰ ἀντίθετα εἰρηνεύουν σὲ σύμπνοια καὶ συμπάθεια, ὅπως τὸ νερὸ καὶ ἡ γῆ μαζὶ καὶ ὁ ἀέρας καὶ τὰ πύρινα ἄστρα καὶ ὁ οὐρανός· γιατὶ ὅλα αὐτὰ μαζὶ λέγονται κόσμος.

Καὶ ἄνευ μὲν τοῦ ἑνός: Ἐπειδὴ τὸ ἕνα φαίνεται νὰ ἔχει κάποια σχέση μὲ ἀριθμό, δίχως τὸ ἕνα δὲ θὰ ὑπάρχει πλῆθος, γιατὶ οἱ ἀριθμοὶ ποὺ ἀποτελοῦν πλῆθος εἶναι σύνθεση μονάδας, πράγμα ποὺ τὸ εἶπε πιὸ πάνω, ὅτι ὁ Θεὸς πολλαπλασιάζεται, ἐννοούμενος ἀπὸ ἀριθμητικὴ ἄποψη. Τὸ ἕνα ὅμως ὑπάρχει καὶ εἶναι καὶ καθεαυτό.

Καὶ εἰ πᾶσι τὰ πάντα: Τὸ 'νὰ ὑποθέσει κάποιος' καὶ τὸ 'καθ' ὑπόθεση' χρησιμοποιοῦνται γιὰ ὅσα δὲν ὑπάρχουν πραγματικά, ἀλλὰ διατυπώνονται μὲ τὸ λόγο. Ἐδῶ ὅμως δὲν πρέπει νὰ τὸ λάβομε ἔτσι, ἀλλὰ νὰ τὸ θέσομε κάτω ἀπὸ τὴ νοητικὴ διαδικασία ἐξαιτίας τῆς ταυτότητας τῆς δημιουργίας, κι ἐπειδὴ τὸ ὅλο θεωρεῖται στὰ μέρη καὶ τὰ μέρη μέσα στὸ ὅλο.

Ὅτι κατὰ τὸ ἑνὸς ἑκάστου προεπινοούμενον: Ἂν δὲν σκεφθεῖ, λέει, κάποιος προηγουμένως τὸ εἶδος τοῦ ἀνθρώπου, δηλαδὴ τὴ φύση, δὲν θὰ μποροῦσε νὰ πεῖ, ὅτι οἱ ἄνθρωποι ἑνώθηκαν μεταξύ τους, καὶ προφανῶς σύμφωνα μὲ τὸν ἴδιο τὸ λόγο τῆς φύσης τους.

§ 3. Καὶ εἰ ἀνέλοις τὸ ἕν: Τὴ ρήση αὐτὴ πρέπει νὰ τὴ συντάξομε ἔτσι· ὅσα ἑνώθηκαν, λέει, ἑνώθηκαν σύμφωνα μὲ τὸ προεπινοούμενο εἶδος τοῦ καθενός. Γιατὶ εἴπαμε προηγουμένως, ὅτι τὰ εἴδη καὶ τὰ πολλὰ ἔχουν στοιχεῖο καὶ ἀρχή τους τὸ ἕνα, ἀνάγονται σὲ ἕνα γένος, καὶ εἶναι εἴδη τοῦ γένους αὐτοῦ. Γιατὶ αὐτὰ εἶναι ἑνωμένα μὲ τὸ εἶδος αὐτό, ὅπως τὰ ἄλογα, τὰ βόδια καὶ τὰ ὅμοια, ποὺ ἀνάγονται σὲ ἕνα γένος, ἐπειδὴ καλοῦνται ζῶο.

Τὴν ὅλην θεαρχίαν: Ὅλη θεαρχία εἶναι ἡ παναγία καὶ προσκυνητὴ Τριάδα, καὶ ἐξαιτίας τῆς ἀνέκφραστης ἕνωσης τῆς φύσης της λέγεται ἕνας καὶ ἕνα.

Ὑφ' ἧς καὶ ἐξ ἧς: Τῷ 'ὑφ' ἧς' σύνταξον τὸ 'ἐστί', καὶ τῷ 'ἐξ ἧς' τὸ 'συντέτακται', καὶ τῷ 'δι' ἧς' τὸ 'μένει', καὶ τῷ 'ἐν ᾗ' τὸ 'συνέχεται', ἤγουν φυλάττεται, καὶ τῷ 'εἰς ἣν' τὸ 'ἐπιστρέφεται', εἰ καὶ ὁ πατὴρ ἰδίως καὶ ὑφ' ἓν τὰ ῥήματα ἔταξε, καὶ τὸ 'πάντα' δὲ ἀπὸ κοινοῦ. Καλῶς δὲ εἶπεν, ὅτι, ἐὰν ἀνέλῃς τὸ ἕν, οὔτε ὁλότης, οὔτε πολλοστημόριον, οὔτε ἄλλο οὐδέν· τοῦτο γὰρ προῃνίξατο καὶ ἄνω εἰπών, καὶ ἥμισυ ἕν, καὶ τρίτον, καὶ δέκατον, δηλονότι καὶ τὰ μόρια τοῦ ἑνὸς μετέχουσι.

Τὸ πάντων αἴτιον ἕν: Οὐκ ἀπολύτως ἑνὶ παντὶ τὰ πάντα συνέστηκεν, ἀλλ' ἐκείνῳ μόνῳ τῷ ἑνί, καθ' ὃ ἕν, ὁ Θεὸς καὶ εἷς καὶ ἓν ὀνομάζεται· τούτῳ γὰρ μόνῳ τῷ ἑνὶ τὰ ὄντα ἐστίν· αὐτὸ γὰρ τὸ ὄνομα τὸ ἓν ὁ λέγων κατὰ ἀπόφασιν τοῦ πολλαπλοῦ τοῦτο σημαίνει· τὸ μέντοι ἓν αὐτοαρχὴ καὶ πρῶτόν ἐστι τῷ πρός τί πως ἔχειν· τῶν γὰρ ἐξ αὐτοῦ πολλῶν ἔννοιαν εἰσάγει. Ταῦτα δὲ οὐκ ἐπιτήδεια ἐπὶ Θεοῦ· τοιοῦτον δὲ ὂν μόνον τὸ ἕν, παντελῶς ἀπαθὲς καὶ ἀδιαίρετον καὶ αὐταρκέστατόν ἐστι· κατὰ γὰρ τὴν αὐτοῦ φύσιν ἑτέρῳ συμπλέκεσθαι οὐ πέφυκεν, ὥσπερ τὸ ἐν ἀριθμοῖς ἕν· ἀπωθεῖται γὰρ τὸ πλῆθος καὶ πᾶσαν σύνθεσιν καὶ διαίρεσιν αὐτὸ τὸ κυρίως ἕν, καὶ πρὸ παντὸς ἑνός. Τοῦτο γὰρ οὔτε μικρόν, οὔτε μέτριον καλεῖται· εἰ δὲ δεῖ καὶ τολμῆσαι, οὔτε καλόν, οὔτε ἀγαθόν· ταῦτα γὰρ πάθη πως, οἷόν εἰσι καὶ σχέσεις καὶ συμβεβηκότα. Αὐτὸ δὲ τὸ ἓν καὶ ὑπὲρ πάντα νοεῖται, τὰ δὲ πάθη, ὡς τὸ μικρὸν καὶ μέτριον, καὶ σὺν ἄλλῳ νοοῦνται, καὶ οὔτε ἁπλᾶ διὰ τοῦτο, οὔτε στοιχειώδη. Τὸ ἓν οὖν, ὡς εἴρηται, ὅπερ ἁπλοῦν καὶ ἀπαθές, μὴ ἔχον τὰ λεχθέντα, οὔτε ὡς γένος θετέον τῶν ὄντων· τὰ δὲ γένη πάντως διαιρεῖται εἰς τὰ εἴδη, ἀλλ' οὔτε στιγμὴν ἢ μονάδα κυρίως· σχέσιν γὰρ ἔχει

Ὑφ' ἧς καὶ ἐξ ἧς: Σύναψε τὸ 'εἶναι' (ἐστὶ) μὲ τὸ 'ὑφ' ἧς', καὶ τὸ 'ἔχει συνταχθεῖ' (συντέτακται) μὲ τὸ 'ἐφ ἧς', καὶ τὸ 'μένει' μὲ τὸ 'δι' ἧς', καὶ τὸ 'συνέχεται', δηλαδὴ φυλάγεται, μὲ τὸ ἐν ᾗ, καὶ τὸ 'ἐπιστρέφεται' μὲ τὸ 'εἰς ἥν', ἂν καὶ βέβαια ὁ πατέρας αὐτὸς συνέταξε τὰ ρήματα ξεχωριστὰ καὶ κάτω ἀπὸ ἕνα, καὶ τὸ 'πάντα' ἀπὸ κοινοῦ. Καὶ ὀρθὰ εἶπε ἂν ἀφαιρέσεις τὸ ἕνα (= ἂν ἀνέλῃς τὸ ἕν), οὔτε ὁλότελα ὑπάρχει, οὔτε πολλοστημόριο, οὔτε τίποτε ἄλλο. Γιατὶ αὐτὸ ὑπαινίχθηκε καὶ πιὸ πάνω λέγοντας, καὶ ἕνα δεύτερο, καὶ ἕνα τρίτο, καὶ ἕνα δέκατο· δηλαδὴ καὶ τὰ μόρια (κλάσματα) μετέχουν τὸ ἕνα.

Τὸ πάντων αἴτιον ἕν: Δὲν ἔχουν ἀπόλυτα τὰ πάντα τὴ σύστασή τους σὲ ὁποιοδήποτε ἕνα, ἀλλὰ σ' ἐκεῖνο τὸ ἕνα μόνο, σύμφωνα μὲ τὸ ὁποῖο ἕνα ὁ Θεὸς ὀνομάζεται καὶ ἕνας καὶ ἕνα. Καθόσον σ' αὐτὸ μόνο τὸ ἕνα περιέχονται τὰ ὄντα. Γιατὶ αὐτὸς ποὺ λέει τὴν ἴδια τὴ λέξη ἕνα κατὰ ἄρνηση τοῦ πολλαπλοῦ, αὐτὸ ἀκριβῶς σημαίνει. Τὸ ἕνα λοιπὸν εἶναι αὐτοαρχὴ καὶ πρῶτο σ' ἐκεῖνα ποὺ ἔχουν σχέση μὲ αὐτό, γιατὶ εἰσάγει τὴν ἔννοια τῶν πολλῶν ποὺ προέρχονται ἀπὸ αὐτό. Αὐτὰ δὲν εἶναι κατάλληλα γιὰ τὸν Θεό. Κι ἐπειδὴ εἶναι τέτοιο μονάχα τὸ ἕνα, εἶναι τελείως ἀπαθὲς καὶ ἀδιαίρετο καὶ αὐταρκέστατο. Σύμφωνα δηλαδὴ μὲ τὴ φύση του δὲν ἔχει τὴν ἰδιότητα νὰ συμπλέκεται μὲ τὸ ἄλλο, ὅπως τὸ ἕνα τῶν ἀριθμῶν. Γιατὶ ἀπωθεῖ τὸ πλῆθος καὶ κάθε σύνθεση καὶ διαίρεση αὐτὸ τὸ κυρίως ἕνα, ποὺ προηγεῖται ἀπὸ κάθε ἕνα. Αὐτὸ δηλαδὴ δὲν καλεῖται οὔτε μικρὸ οὔτε μέτριο, κι ἂν ἐπιτρέπεται νὰ τολμήσω, οὔτε ὡραῖο οὔτε ἀγαθό. Γιατὶ αὐτὰ εἶναι κατὰ κάποιο τρόπο πάθη, ὅπως εἶναι καὶ σχέσεις καὶ συμβεβηκότα. Αὐτὸ ὅμως τὸ ἕνα νοεῖται καὶ πάνω ἀπὸ ὅλα, ἐνῶ τὰ πάθη, ὅπως μικρό, μέτριο, νοοῦνται καὶ μ' ἕνα ἄλλο, καὶ γι' αὐτὸ δὲν εἶναι οὔτε ἁπλὰ οὔτε στοιχειώδη. Τὸ ἕνα λοιπόν, ὅπως εἴπαμε, ποὺ εἶναι ἁπλὸ καὶ ἀπαθὲς καὶ δὲν ἔχει ὅσα εἰπώθηκαν, δὲν πρέπει νὰ τεθεῖ οὔτε ὡς γένος τῶν ὄντων, ἐνῶ τὰ γένη διαιροῦνται ὁπωσδήποτε στὰ εἴδη, ὅμως οὔτε σὲ στιγμὴ ἢ μονάδα κυρίως· γιατὶ αὐτὰ ἔχουν σχέση πρὸς

ταῦτα πρὸς τὰ ἐφεξῆς. Τὸ δέ ἐστιν ἁπλούστατον, καὶ οὔτε μίαν διαφορὰν ἔχον· οὔτε γὰρ κίνησίν τινα καὶ στάσιν, οἷον ἠρεμίαν ἔχει, ἀλλ' οὔτε ὂν θετέον αὐτὸ τὸ ἕν, ἀλλὰ ἀρχὴν ὄντος καὶ σπέρμα. Τῷ δὲ ὄντι πλῆθος ἐξ ἀνάγκης παρέπεται, τῷ πλήθει τὸ ὂν προσγίνεται, ὅπερ οὐκ ἔστιν ἐπὶ Θεοῦ. Τὸ γὰρ ὂν οὐσία ἐστίν, ἀπὸ τοῦ εἶναι. Ὁ δὲ Θεὸς καὶ ὑπερούσιος, καὶ ὑπὲρ τὸ ὄν, καὶ ἑνικῶς ἀντὶ τοῦ ἐξαιρέτως καὶ ἀμιμήτως ὑπὲρ τὸ ὄν· ὁ γὰρ Θεὸς τὰ πάντα ἐστὶ καὶ ὑπὲρ πάντα. Θαυμασίως οὖν τὰ περὶ ἀριθμῶν φυσιολογήσας. Κἂν τριάς, ἐπάγει, κἂν μονὰς ὑμνεῖται ἡ ὑπὲρ πάντα θεότης, οὔτε τριὰς οὔτε μονάς ἐστιν, ἡ παρ' ἡμῶν δι' ἀριθμῶν γνωριζομένη, ἢ παρ' ἑτέρου, ἀλλ' ὑπὲρ πάντα νοῦν καὶ ἔστι καὶ ὀνομάζεται ὁ Θεός· διὰ γὰρ τοῦ εἰπεῖν 'ὅπερ οὐκ ἔστι', νοοῦμεν ὅ,τί ἐστιν ὁ Θεός.

Καὶ αὐτὸ τὸ ἓν ὂν ὁρίζον: Ὅτι καὶ ὑπὲρ τὸ ὂν ὁ Θεός, ὡς πάντα ὑπάρχων, καὶ αὐτὸς τοῦ ἀριθμοῦ ποιητὴς καὶ ἐφευρετὴς ὑπάρχων.

Ἐνάριθμόν ἐστι: Σημείωσαι, ὅτι τὸ ἐνάριθμον ἀριθμοῦ δήλωσιν σημαίνει· ἐπὶ τῶν ὄντων τοίνυν, τουτέστι τῶν κτισμάτων, τὸ ἓν ἐντιθέμενον, κατὰ ἀριθμοῦ ἔννοιαν τίθεται.

Οὐκ ἔστιν οὐδὲ μονάς: Μὴ ἁπλῶς τὸ 'οὐκ ἔστι μονάς, οὐδὲ τριὰς' ἐξακούσῃς, ἀλλὰ πρὸς τό, 'διεγνωσμένη', σύνταξον τὸ 'οὐκ ἔστιν'· οὐ γὰρ ἀνελεῖν τὰ τῆς τοιαύτης ὁμολογίας, ἀλλὰ τὸ ἀνεξιχνίαστον ὁ λόγος διδάξαι βούλεται.

Καὶ τὸ θεογόνον ἀληθῶς: Τὸ θεογόνον φησὶ δηλοῦσθαι ἐκ τῆς ὀνομασίας τῆς Τριάδος· ἵνα γὰρ παραστῇ τῶν ἀνεκλαλήτων ὑποστάσεων ἡ προσκυνητὴ ἔκφανσις, ὁ ἀριθμὸς ἐπενοήθη, καθά φησι Βασίλειος, καὶ οἱ θεῖοι Γρηγόριοι. Γόνιμον δὲ τὸν Πατέρα καταχρηστικῶς ὠνόμασεν, ἅτε καὶ προσκυνητοῦ Υἱοῦ

τὰ ἑπόμενα, ἐνῶ αὐτὸ εἶναι ἁπλούστατο καὶ δὲν ἔχει οὔτε μιὰ διαφορά· γιατὶ δὲν ἔχει οὔτε κάποια κίνηση καὶ στάση ἢ ἠρεμία. Οὔτε ὅμως πρέπει αὐτὸ τὸ ἕνα νὰ τὸ θέσομε καὶ ὡς ὄν, ἀλλὰ ὡς ἀρχὴ καὶ σπέρμα τοῦ ὄντος. Στὸ ὂν ἐπακολουθεῖ κατ' ἀνάγκη τὸ πλῆθος, στὸ πλῆθος προσκολλᾶται τὸ ὄν, ποὺ δὲν γίνεται προκειμένου γιὰ τὸν Θεό. Τὸ ὂν δηλαδὴ εἶναι οὐσία, γιατὶ ἡ λέξη παράγεται ἀπὸ τὸ εἶναι. Ἐνῶ ὁ Θεὸς εἶναι καὶ πάνω ἀπὸ τὴν οὐσία καὶ πάνω ἀπὸ τὸ ὄν, καὶ εἶναι μοναδικὰ (ἑνικῶς) πάνω ἀπὸ τὸ ὂν κατ' ἐξαίρεση καὶ κατὰ τρόπο ἀμίμητο. Γιατὶ ὁ Θεὸς εἶναι τὰ πάντα καὶ πάνω ἀπὸ τὰ πάντα. Μετὰ τὴ θαυμάσια λοιπὸν φυσιολογία τῶν ἀριθμῶν, προσθέτει· καὶ εἴτε ὑμνεῖται ὡς τριάδα, εἴτε ὡς μονάδα ἡ πάνω ἀπὸ ὅλα θεότητα, οὔτε τριάδα εἶναι οὔτε μονάδα, αὐτὴ τὴν ὁποία ἐμεῖς ἢ κάποιος ἄλλος τὴν ἀναγνωρίζει μὲ ἀριθμούς, ἀλλ' ὁ Θεὸς εἶναι καὶ ὀνομάζεται πάνω ἀπὸ κάθε νοῦ. Μὲ τὸ νὰ ποῦμε δηλαδὴ αὐτὸ ποὺ ὁ Θεὸς δὲν εἶναι, νοοῦμε αὐτὸ ποὺ εἶναι.

Καὶ αὐτὸ τὸ ἓν ὂν ὁρίζον: Ὁ Θεὸς εἶναι καὶ πάνω ἀπὸ τὸ ὄν, ἐπειδὴ εἶναι τὰ πάντα, κι ἐπειδὴ αὐτὸς εἶναι ὁ ποιητὴς καὶ ὁ ἐφευρέτης τοῦ ἀριθμοῦ.

Ἐνάριθμόν ἐστι: Σημείωσε, ὅτι ἡ λέξη 'ἐνάριθμον', δηλώνει ἀριθμό. Ὅταν λοιπὸν τὸ ἕνα τίθεται ὡς χαρακτηρισμὸς τῶν ὄντων, δηλαδὴ τῶν κτισμάτων, τίθεται μὲ τὴν ἔννοια τοῦ ἀριθμοῦ.

Δὲν εἶναι οὔτε μονάδα: Μὴν ἀκούσεις ἔτσι ἁπλὰ τὴ διατύπωση 'δὲν εἶναι μονάδα οὔτε τριάδα', ἀλλὰ τὸ 'δὲν εἶναι' σύναψέ το με τὸ γνωρίζεται (διαγνωσμένη). Γιατὶ ὁ λόγος δὲν θέλει νὰ ἀναιρέσει τὴν ὁμολογία αὐτή, ἀλλὰ νὰ διδάξει τὸ πόσο ἀνεξιχνίαστο εἶναι.

Καὶ τὸ θεογόνον ἀληθῶς: Ἡ γονιμότητα τοῦ Θεοῦ δηλώνεται, λέει, ἀπὸ τὴν ὀνομασία τῆς Τριάδας. Γιὰ νὰ παρασταθεῖ δηλαδὴ ἡ προσκυνητὴ φανέρωση τῶν ἀνεκλάλητων ὑποστάσεων, ἐπινοήθηκε ὁ ἀριθμός, ὅπως λέει ὁ Βασίλειος καὶ οἱ θεῖοι Γρηγόριοι. Γόνιμο ὀνόμασε τὸν Πατέρα καταχρηστικά, ἐπειδὴ

Πατέρα, καὶ τοῦ συμπροσκυνητοῦ αὐτοῖς παναγίου Πνεύματος πηγήν. Γονιμότης οὖν, ἢ ἕτερόν τι ὄνομα τῶν συνεγνωσμένων ἀνθρώποις, ἢ καὶ αὐταῖς ταῖς νοηταῖς δυνάμεσιν, οὐκ ἂν παραστήσει τρανῶς τὰ ὥς είστιν ἐκ πάντων ἀποκεκρυμμένα τοῦ Θεοῦ· πῶς γὰρ δυνατὸν ὀνομάσαι ἀπό τινος τῶν ὄντων τὸν Θεόν, μήτε τι τῶν πάντων ὄντα, ἀλλὰ καὶ ὑπὲρ πάντα τὰ ὄντα;

Οὐδὲ ὄνομα αὐτῆς ἐστι: Καλῶς ὁ θεῖος οὗτος ἀνὴρ λέγει, ὅτι οὐδὲ τὸ ὄνομα αὐτῆς ἐστιν, οὐδὲ λόγος, ἀλλὰ ἐν ἀβάτοις ἐξήρηται, οὐ τόποις, μὴ γένοιτο! ἀλλὰ λογισμοῖς καὶ ἐνθυμήσεσιν· ἄβατος γὰρ παντὶ νῷ καὶ ἐνθυμήσει ὁ περὶ Θεοῦ λόγος. Τὸ δὲ μήτε ὄνομα αὐτοῦ εἶναι, καλῶς καὶ εὐαπαλλάκτως νόησον· τὰ γὰρ ὄντα πάντα καὶ δι' ὀνομάτων καὶ διὰ πραγμάτων γνωστικῶν σημαίνονται. Ποῖον τοίνυν ὄνομα ἢ πρᾶγμα δυνατὸν ἐπιθεῖναι τῷ Θεῷ, τῷ ὑπὲρ πάντα τὰ ὄντα ἐξῃρημένῳ καὶ πεποιηκότι τὰ πάντα καὶ αἰτίῳ τῶν πάντων; Διὸ καὶ τὴν ἀγαθότητα αὐτὴν ἢ τὸ καλόν φησιν ὁ θεῖος οὗτος Διονύσιος μὴ κυρίως ἐφαρμόσαι αὐτῷ τῷ Θεῷ, ἐπειδὴ καὶ ἐν τοῖς οὖσιν εὑρίσκονται ταῦτα. Καὶ ἀνωτέρω οὕτως εὑρήσεις, ὅτι ταῦτα τὰ πάθη καὶ συμβεβηκότα λογίζοντα ἐν τοῖς οὖσιν, ὅπερ ἔστιν ἐπὶ Θεοῦ τοῦ ὑπεραναβεβηκότος πάντων.

Ἀλλὰ πόθῳ τοῦ νοεῖν: Σημείωσαι, ὡραῖόν φησιν, ὅτι διὰ τὸ ὅλως νοεῖν τι καὶ λέγειν περὶ Θεοῦ, τῷ περὶ αὐτὸν πόθῳ κατεχόμενοι, τὸ τῆς ἀγαθότητος ὄνομα ἐπέβαλον τῷ Θεῷ οἱ θεολόγοι, ἐπεὶ κυρίως καὶ ὑπεράγαθος καὶ ὑπερούσιός ἐστιν ὁ Θεός, ἡ δὲ ἀγαθότης, ὥς φησιν οὗτος, σεμνότατον ὄνομα τῶν πάντων. Αἱ δὲ ἀποφάσεις, ἤτοι ἀρνήσεις καὶ στερήσεις, ἐπὶ Θεοῦ οὐχ ἁπλῶς εἴρηνται τοῖς θεολόγοις· οὐ γάρ, ὡς λέγονται, νοοῦνται, ἀλλὰ ὑπεραναβεβηκότως θεωροῦνται· τὸ γὰρ ἀθάνατος, καὶ ἀόρατος, καὶ ἄφθαρτος, καὶ ἀνενδεής, καὶ ἀναμάρτητος, οὐκ ἄν τις, σοφίας μετέχων, δημωδέστερον ὑπολάβοι, οὔτε

εἶναι καὶ τοῦ προσκυνητοῦ Υἱοῦ Πατέρας καὶ πηγὴ τοῦ παναγίου Πνεύματος ποὺ συμπροσκυνεῖται μαζί τους. Γονιμότητα λοιπὸν ἢ κάποιο ἄλλο ὄνομα ποὺ γνωρίζουν οἱ ἄνθρωποι ἢ καὶ αὐτὲς οἱ νοητὲς δυνάμεις δὲν μπορεῖ νὰ παραστήσει τὰ κρυμμένα ἀπὸ ὅλους μυστικὰ τοῦ Θεοῦ. Πῶς δηλαδὴ εἶναι δυνατὸν νὰ ὀνομάσομε τὸ Θεὸ ἀπὸ κάποιο ἀπὸ τὰ ὄντα, ἀφοῦ δὲν εἶναι οὔτε κάποιο ἀπὸ τὰ ὄντα, ἀλλὰ καὶ πάνω ἀπὸ ὅλα τὰ ὄντα;

Οὐδὲ ὄνομα αὐτῆς ἐστι: Ὀρθὰ λέει ὁ θεῖος αὐτὸς συγγραφέας, ὅτι οὔτε ὄνομά της δὲν ὑπάρχει, οὔτε λόγος, ἀλλ' ἔχει ἁρπαχθεῖ σὲ ἄβατους, ὄχι τόπους, μὴ γένοιτο! ἀλλὰ λογισμοὺς καὶ σκέψεις. Γιατὶ εἶναι ἄβατος γιὰ κάθε νοῦ καὶ νόηση ὁ λόγος γιὰ τὸν Θεό. Τὸ ὅτι δὲν ὑπάρχει οὔτε ὄνομά του, ἐννόησέ το μὲ ὀρθὸ τρόπο καὶ ἐλεύθερο. Γιατὶ ὅλα τὰ ὄντα σημαίνονται καὶ μὲ ὀνόματα καὶ μὲ πράγματα γνωστικά. Ποιό λοιπὸν ὄνομα ἢ πράγμα εἶναι δυνατὸ νὰ βάλομε στὸν Θεό, ποὺ εἶναι ἔξω ἀπ' ὅλα τὰ ὄντα καὶ ἔχει δημιουργήσει ὅλα τὰ ὄντα καὶ εἶναι αἴτιος τῶν πάντων; Γι' αὐτὸ καὶ ἡ ἀγαθότητα ἡ ἴδια καὶ τὸ καλό, λέει ὁ θεῖος Διονύσιος, δὲ θὰ ἐφαρμόσει κυριολεκτικὰ στὸν Θεό, ἐπειδὴ αὐτὰ τὰ συναντοῦμε καὶ στὰ ὄντα. Καὶ πιὸ πάνω θὰ βρεῖς τὰ ἴδια, ὅτι αὐτὰ τὰ πάθη θεωροῦνται καὶ συμβεβηκότητα στὰ ὄντα, πράγμα ποὺ δὲν μπορεῖ νὰ συμβεῖ στὸν Θεὸ ποὺ ὑπερβαίνει τὰ πάντα.

Ἀλλὰ πόθῳ τοῦ νοεῖν: Σημείωσε, πὼς ὡραῖα εἶπε, ὅτι, ἐπειδὴ οἱ θεολόγοι σκέφτονται καὶ λένε κάτι γιὰ τὸν Θεὸ κυριευμένοι πλήρως ἀπὸ τὸν πόθο γι' αὐτόν, ἔδωσαν στὸν Θεὸ τὸ ὄνομα τῆς ἀγαθότητας, ἐπειδὴ ὁ Θεὸς εἶναι κατὰ κυριολεξία πάνω ἀπὸ τὸ ἀγαθὸ καὶ πάνω ἀπὸ τὴν οὐσία, ἐνῶ ἡ ἀγαθότητα, ὅπως λέει αὐτός, εἶναι τὸ τιμιότερο ἀπὸ ὅλα τὰ ὀνόματα. Οἱ ἀποφάσεις, δηλαδὴ οἱ ἀρνήσεις καὶ στερήσεις, δὲ λέγονται ἔτσι ἁπλὰ γιὰ τὸν Θεὸ ἀπὸ τοὺς θεολόγους· δὲ νοοῦνται δηλαδὴ ὅπως λέγονται, ἀλλὰ θεωροῦνται μὲ τρόπο ὑπερβατικό. Γιατὶ τὸ ἀθάνατος καὶ ἀόρατος καὶ ἄφθαρτος καὶ ἀνενδεὴς καὶ ἀναμάρτητος, δὲν θὰ μπορέσει κανένας, ποὺ ἔχει κάποια σοφία, νὰ

ὅσα ἐπὶ Θεοῦ τοιαῦτα λέγεται, ἀλλὰ τῶν δηλουμένων ἐξιστάμενος ἐπὶ τὰς σεσιγημένας καὶ θειοτέρας ἐννοίας ἀνανεύσει· διὸ καὶ θειοτέρας θεωνυμίας ἐφεξῆς αὐτὰς καλῶς προσαγορεύει. Ἐξισταμένη γὰρ ἡ ψυχὴ τῶν σωματικῶν πασῶν αἰσθήσεων καὶ κοσμικῶν, ταῦτα γὰρ ἑαυτῇ ἐποίησε σύμφυλα· οὕτω συνάπτεται τῷ ἀκραιφνεῖ τῆς γνώσεως τοῦ Θεοῦ, καθ' ὅσον δυνατόν ἐστιν ἀνθρωπίνῃ φύσει, ὡς καὶ ὁ Ἀπόστολος αἰνίττεται λέγων· «καὶ οὕτω πάντοτε σὺν Κ: ρίῳ ἐσόμεθα»· καὶ πάλιν· «νῦν ὡς ἐν αἰνίγματι καὶ ἐν ἐσόπτρῳ ὁρῶμεν, τότε δὲ τὸ πρόσωπον πρὸς πρόσωπον ὀψόμεθα».

Τὸ τῶν ὀνομάτων σεπτότατον: Σημείωσαι, ὅτι πάντων ὀνομάτων σεπτότατον ἡ ἀγαθότης· διὸ καὶ πρώτως τῷ Θεῷ ἀφιέρωται.

Τῶν ἑαυτῇ συμφύλων: Συμφύλων φησὶ τῶν συμφυῶν καὶ γνωρίμων καὶ τῆς κτίσεως ἰδίων.

§ 4. Τοῦτο γὰρ ἀληθῶς καὶ ἄγγελοι: Ὅτι καὶ ἀγγέλοις τὰ περὶ Θεοῦ ἀκατάληπτα, καὶ ὅτι καὶ ὁ κατώτατος τῶν ἀγγέλων μείζων πάντων τῶν ἐν τῇ Ἐκκλησίᾳ θεολόγων περὶ Θεοῦ θεωρεῖ, οὐκοῦν καὶ τῶν ἀποστόλων.

Καὶ εἴ τι τῶν ὁμοδυνάμων. Ὅτι, κἂν ἕτεραι ὁμοδύναμοι θεωνυμίαι ἐν τῇ Γραφῇ εὑρεθῶσι, χρὴ καὶ ταύτας κατὰ τὰς αὐτὰς ἐκφαντορικὰς μεθόδους προσυπακούειν.

Καὶ ὑμῖν καὶ ἑτέροις ἱεροῖς ἀνδράσιν: Ὅτι οὐ πᾶσιν ἀζητήτως μεταδοτέον τῶν μυστικῶν, ἀλλὰ τοῖς ἱκανοῖς καὶ ἱεροῖς ἀνδράσιν, ὅπερ καὶ ὁ θεῖος Παῦλος τούτῳ τῷ ἱερῷ ἀνδρὶ Τιμοθέῳ γράφει.

Ἡμεῖς τε εἰπεῖν ἱκανοί: Ταῦτα ἁγιοπρεπῶς μετριάζων φησὶν ὁ πατήρ, ὡσαύτως καὶ τὰ ἑξῆς πάντα.

τὰ ἐννοήσει μὲ τὸν τρόπο τῶν πολλῶν, οὔτε κι ὅσα παρόμοια λέγονται γιὰ τὸν Θεό, ἀλλά, ἀφήνοντας αὐτὰ ποὺ δηλώνουν, θὰ ὑψωθεῖ στὶς ἀποσιωπημένες καὶ πιὸ θεϊκὲς ἔννοιες· γι' αὐτὸ καὶ ὀρθὰ στὴ συνέχεια τὶς ὀνομάζει θεϊκότερες θεωνυμίες. Ἐγκαταλείποντας δηλαδὴ ἡ ψυχὴ ὅλες τὶς σωματικὲς αἰσθήσεις καὶ τὰ κοσμικὰ πράγματα, γιατὶ μ' αὐτὰ εἶχε ταυτιστεῖ, ἑνώνεται πιὰ μὲ τὴ γνησιότητα τῆς γνώσης τοῦ Θεοῦ, ὅσο εἶναι δυνατὸν στὴν ἀνθρώπινη φύση, ὅπως ὑπαινίσσεται καὶ ὁ Ἀπόστολος λέγοντας· «καὶ ἔτσι θὰ εἴμαστε πάντοτε μαζὶ μὲ τὸν Κύριο»[1], καὶ ἐπίσης· «τώρα βλέπομε αἰνιγματικὰ καὶ σὰν μπροστὰ σὲ καθρέφτη', ἐνῶ τότε θὰ δοῦμε πρόσωπο μὲ πρόσωπο»[2].

Τὸ τῶν ὀνομάτων σεπτότατον: Σημείωσε, ὅτι τὸ τιμιότερο ἀπὸ ὅλα τὰ ὀνόματα εἶναι ἡ ἀγαθότητα, γι' αὐτὸ καὶ πρῶτο ἀφιερώνεται στὸν Θεό.

Τῶν ἑαυτῇ συμφύλων: Μὲ τὸ 'συμφύλων' ἐννοεῖ τὰ σύμφυτα καὶ γνώριμα καὶ ποὺ προσιδιάζουν στὴ φύση.

§ 4. Τοῦτο γὰρ ἀληθῶς καὶ ἄγγελοι: Ὅτι δηλαδὴ καὶ στοὺς ἀγγέλους εἶναι ἀκατάληπτη ἡ θεότητα, καὶ ὅτι ὁ κατώτερος ἀπὸ ὅλους τοὺς ἀγγέλους ἔχει μεγαλύτερη ἀπὸ ὅλους τοὺς θεολόγους τῆς Ἐκκλησίας γνώση περὶ Θεοῦ ἀπὸ θεωρία, καὶ φυσικὰ κι ἀπὸ τοὺς ἀποστόλους,.

Καὶ εἴ τι τῶν ὁμοδυνάμων: Ἀκόμα κι ἂν βρεθοῦν στὴ Γραφὴ κι ἄλλες ὁμοδύναμες θεωνυμίες, πρέπει κι αὐτὲς νὰ τὶς ἀντιμετωπίζομε μὲ τὶς ἴδιες ἐξηγητικὲς μεθόδους.

Καὶ ὑμῖν καὶ ἑτέροις ἱεροῖς ἀνδράσιν: Δὲν πρέπει νὰ μεταδίδομε τὰ μυστικὰ σ' ὁποιους καὶ νά' ναι, ἀλλὰ σὲ ὅσους εἶναι ἱκανοὶ καὶ εὐσεβεῖς, πράγμα ποὺ γράφει καὶ ὁ θεῖος Παῦλος στὸν ἱερὸ Τιμόθεο.

Ἡμεῖς τὲ εἰπεῖν ἱκανοί: Μετριάζοντας αὐτὰ ὁ πατέρας μὲ τρόπο ἁγιοπρεπῆ, λέει· μὲ τὸν ἴδιο τρόπο καὶ τὰ ἀκόλουθα ὅλα.

1. Α΄ Θεσσ. 4,16.
2. Α΄ Κορ. 13,12.

Ἐπὶ δὲ τὴν συμβολικὴν θεολογίαν: Ὅτι θεολογίαν συμβολικὴν λέγει τέως μὴ φερομένην, ὡς καὶ ἐν ἄλλῳ κεφαλαίῳ φησίν· εἰ δὲ βούλει τὴν διαφορὰν εἰδέναι τῆς θεολογικῆς ὑποτυπώσεως καὶ τῆς συμβολικῆς θεολογίας, ἀνάγνωθι τὸ τρίτον κεφάλαιον τοῦ Περὶ μυστικῆς θεολογίας λόγου.

Ἐπὶ δὲ τὴν συμβολικὴν θεολογίαν: Μιλάει γιὰ συμβολικὴ θεολογία, γιὰ τὴν ὁποία δὲν ἀναφερόταν ὡς τώρα, ὅπως λέει καὶ σὲ ἄλλο κεφάλαιο. Ἂν θέλεις νὰ μάθεις τὴ διαφορὰ τῆς θεολογικῆς ὑποτυπώσεως καὶ τῆς συμβολικῆς θεολογίας, διάβασε τὸ τρίτο κεφάλαιο τοῦ λόγου Περὶ μυστικῆς θεολογίας.

ΣΧΟΛΙΑ
ΕΙΣ ΤΑ ΤΟΥ ΑΓΙΟΥ ΔΙΟΝΥΣΙΟΥ

Β΄ ΣΧΟΛΙΑ

ΕΙΣ ΤΟ ΠΕΡΙ ΜΥΣΤΙΚΗΣ ΘΕΟΛΟΓΙΑΣ

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ΠΕΡΙ ΤΗΣ ΜΥΣΤΙΚΗΣ ΘΕΟΛΟΓΙΑΣ

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ Α'

§ 1. *Ἔνθα τὰ ἁπλᾶ: Ἁπλᾶ καὶ ἀπόλυτά εἰσι τὰ δίχα συμβόλων νοούμενα καὶ ἐποπτευόμενα ὡς ἔχουσιν, οὐ μὴν παραβολικῶς. Ἀπόλυτα οὖν ἔφη τὰ μὴ κατὰ ἀνάπτυξιν ὀνομάτων ἢ συμβόλων λεγόμενα, ἀλλὰ τῇ ἐκ πάντων τῶν ὄντων καὶ τῇ τῶν νοήσεων ἀποπαύσει καὶ ἀπολύσει συναγόμενα, ἥντινα ἀνενεργησίαν τῆς ἱερᾶς κινήσεως ἐν μὲν τοῖς πρὸ τούτου ἀνοησίαν ἐκάλεσεν, ἐνταῦθα δὲ σκοτεινότατον γνόφον καὶ ἀόρατον κατὰ τὸν Ψαλμῳδόν, «νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ», καί, «ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ».*

Τοὺς ἀνομμάτους νόας: Οὐ γὰρ αἰσθητῶν ὀφθαλμῶν εἰσι μεστοί, ἀλλ' ἐστὶν αὐτῶν ἡ οὐσία, ἅτε ζῶν νοῦς, ὅλη ὀφθαλμὸς ὀξυδερκέστατος, ὅθεν καὶ πολυόμματοι λέγονται ἐν τῇ Γραφῇ.

Καὶ τὰς αἰσθήσεις ἀπόλειπε: Ἐκ παραλλήλου τὸ αὐτὸ δηλοῦται· τὰ γὰρ αἰσθητὰ αὐτὰ καλοῦσιν οἱ παλαιοὶ μὴ ὄντα, ἅτε μεταβολῆς ἁπάσης μετέχοντα καὶ μὴ ὡσαύτως ἀεὶ ὄντα· τὰ δὲ νοητά, ὡς ἀεὶ ὄντα ἀθάνατα βουλήσει τοῦ ποιήσαντος καὶ τὴν οὐσίαν μὴ μεταβάλλοντα, λέγουσιν ὄντα. Ταῦτα δὲ πολλάκις παρατεθείκαμεν ἐν τῷ Περὶ θείων ὀνομάτων λόγῳ.

Ὑπὲρ πᾶσαν οὐσίαν: Τὴν ἁπλότητα καὶ ὑπὲρ πᾶσαν ἑνάδα. Πῶς δὲ ἀγνώστως ἀνατείνεταί τις πρὸς Θεὸν καὶ ἐν τῷ

---

1. Ψαλμ. 96,2.

ΣΧΟΛΙΑ ΣΤΟ
ΠΕΡΙ ΜΥΣΤΙΚΗΣ ΘΕΟΛΟΓΙΑΣ

ΣΤΟ ΚΕΦΑΛΑΙΟ 1

§ 1. Ἔνθα τὰ ἁπλᾶ: Ἁπλὰ κι ἀπόλυτα εἶναι ὅσα νοοῦμε καὶ ἐποπτεύομε χωρὶς σύμβολα, ὅπως αὐτὰ εἶναι, καὶ ὄχι μὲ παραβολή. Ἀπόλυτα λοιπὸν εἶπε ὅσα δὲ λέγονται μὲ παράθεση ὀνομάτων συμβόλων, ἀλλὰ συνάγονται μὲ τὴν ἀπομάκρυνση κι ἀπελευθέρωση ἀπὸ ὅλα τὰ ὄντα καὶ ὅλους τοὺς συλλογισμούς. Τὴν ἀδράνεια αὐτὴ τῆς ἱερῆς κίνησης πρὶν ἀπὸ τὸ ἔργο αὐτὸ τὴν κάλεσε ἀ–νοησία, ἐνῶ ἐδῶ σκοτεινότατο καὶ ἀόρατο γνόφο, σύμφωνα μὲ τὸν Ψαλμωδό· «νεφέλη καὶ γνόφος ὁλόγυρά του»[1], καὶ «ἔκανε τὸ σκοτάδι τόπο ἀπόκρυψής του»[2].

Τοὺς ἀνομμάτους νόας: Δὲν εἶναι γεμάτοι ἀπὸ αἰσθητοὺς ὀφθαλμούς, ἀλλὰ εἶναι ἡ οὐσία τους, ἐπειδὴ εἶναι νοῦς ποὺ ζεῖ, καὶ ὁλόκληρη εἶναι ἕνας ὀφθαλμὸς πολὺ δυνατός. Γι' αὐτὸ καὶ στὴ Γραφὴ λέγονται πολυόμματοι.

Καὶ τὰς αἰσθήσεις ἀπόλειπε: Τὸ ἴδιο δηλώνεται ἐκ παραλλήλου. Οἱ παλαιοὶ καλοῦν τὰ αἰσθητὰ μὴ ὄντα, ἐπειδὴ μετέχουν κάθε μεταβολὴ καὶ δὲν εἶναι τὰ ἴδια πάντοτε, ἐνῶ τὰ νοητά, ἐπειδὴ ὑπάρχουν πάντοτε, καὶ μὲ θέλημα τοῦ ποιητῆ τους εἶναι ἀθάνατα καὶ δὲν μεταβάλλουν τὴν οὐσία τους, τὰ ὀνομάζουν ὄντα. Αὐτὰ τὰ ἀναφέραμε πολλὲς φορὲς στὸ λόγο Περὶ θείων ὀνομάτων.

Ὑπὲρ πᾶσαν οὐσίαν: Τὴν ἁπλότητα δηλαδὴ καὶ πάνω ἀπὸ κάθε ἑνάδα. Πῶς τώρα μὲ τὴν ἀγνωσία ἀνυψώνεται κάποιος

---

2. Ψαλμ. 17,12.

Περὶ θείων ὀνομάτων κεφαλαίῳ πέμπτῳ εἴρηται, καὶ ἐνταῦθα μετὰ βραχέα εὑρήσεις.

Ἀσχέτῳ καὶ ἀπολύτῳ: Ἄσχετον ἔκστασίν φησι τὴν ἀναχώρησιν πάσης σχέσεως, ἀντὶ τοῦ, ἵνα μηδεμιᾷ κατέχοιτο σχέσει, μήτε πρὸς αὐτόν, μήτε πρός τι τῶν κτισμάτων.

Σκότους ἀκτῖνα: Καὶ ἐνταῦθα σκότος τὴν παντελῆ ἀκαταληψίαν ἔφη.

§ 2. *Μηδεὶς τῶν ἀμυήτων:* Σημείωσαι, ὅτι ἀμυήτους φησὶ τοὺς μὲν τῶν μυστικῶν ἀμετόχους, τοῖς δὲ αἰσθητοῖς ἐνειλουμένους καὶ οὐδὲν ὑπὲρ τὰ ὄντα εἶναι φανταζομένους. Ἀμέλει περὶ τῶν καθόλου ἀμυήτων εὐθὺς παρακατιών φησι. Καὶ σημείωσαι, ὅτι ἄλλους τοὺς ἀμυήτους λέγει καὶ ἄλλους τοὺς ἀμύστους, ἤγουν ἀμυσταγωγήτους.

Εἰ δὲ ὑπὲρ τούτους εἰσί: Τὰ μὲν πρὸ τούτων ἔφη περὶ τῶν πιστευσάντων μὲν τῷ ὀνόματι τοῦ Χριστοῦ, μὴ μὴν ἐπὶ τὴν τελειοτέραν ἐλθόντων γνῶσιν, ἀλλὰ συμμετρούντων τῇ οἰκείᾳ δόξῃ τὴν ἀλήθειαν καὶ μὴ εἰδότων διαφορὰν ὄντων κυρίως καὶ ὁμωνύμων ὄντων, οὐσιῶν καὶ αὐτοῦ τοῦ ὑπὲρ τὰ ὄντα, διὸ καὶ ὑπερουσίου. Οἱ γοῦν τοιοῦτοι, ὡς ἀμύητοι, τῶν ὑψηλοτέρων ὑπολαμβάνουσι κατὰ ἀλήθειαν σκότος εἶναι τὸ ἀφεγγὲς τοῦτο τὸ παρ' ἡμῖν σκίασμα καλύπτον τὸν Θεὸν καὶ ἀποκρύπτον αὐτὸν τῆς ἁπάντων θέας, ὅπερ ὡς ἀληθῶς νοσοῦσι πολλοὶ καὶ ἐν ἡμῖν, ἅτε μὴ γινώσκοντες τὸ ἀνυπέρβλητον φῶς πᾶσαν ὄψιν σκοτίζειν. Εἰ οὖν εἰσι, φησίν, ἐν ἡμῖν τοιοῦτοι, τί ἂν εἴποιμεν περὶ εἰδωλολατρῶν τῶν παντάπασι πάντων μυστικῶν ἀμετόχων καὶ πρὸς ξόανα τεθηπότων; Κυρίως μὲν οὖν ὄντα τὰ νοητά, ὁμωνύμως δὲ τὰ αἰσθητά. Τὸ δὲ ὑπὲρ τούτους, τοὺς πιστοὺς δηλονότι, τοὺς ἐν τοῖς φθαρτοῖς ἐνισχημένους.

Δέον ἐπ' αὐτῇ: Ὡς πάντα οὔσης θεοπρεπῶς καὶ μηδὲν οὔσης ὑπερουσίως· αὕτη γὰρ καὶ θέσις ἐστὶ καὶ ἀπόφασις, ἐπεὶ καὶ κυρίως ἀμφότερα ἐπὶ τῆς θείας λέγονται μεγαλειότητος. Τί δέ εἰσιν αἱ ἀποφάσεις τῶν ἀφαιρέσεων καὶ αἱ καταφάσεις τῶν

πρὸς τὸν Θεό, ἔχει λεχθεῖ καὶ στὸ Περὶ θείων ὀνομάτων, στὸ πέμπτο κεφάλαιο, κι ἐδῶ θὰ τὸ βρεῖς σὲ λίγο.

Ἀσχέτῳ καὶ ἀπολύτῳ: Ἄσχετη ἔκσταση λέει τὴν ἐγκατάλειψη κάθε σχέσης, ἀντὶ νὰ πεῖ, γιὰ νὰ μὴ κατέχεται ἀπὸ καμμιὰ σχέση, οὔτε πρὸς τὸν ἑαυτό του οὔτε πρὸς κάποιο κτίσμα.

Σκότους ἀκτῖνα: Καὶ ἐδῶ σκότος εἶπε τὴν τέλεια ἀκαταληψία.

§ 2. Μηδεὶς τῶν ἀμυήτων: Σημείωσε, ὅτι ἀμύητους καλεῖ ὅσους δὲν μετέχουν στὰ μυστικά, ἀλλ' ἐμπλέκονται στὰ αἰσθητὰ καὶ δὲν φαντάζονται τίποτε πάνω ἀπὸ τὰ ὄντα. Βέβαια γιὰ τοὺς τελείως ἀμύητους μιλάει ἀμέσως παρακάτω. Καὶ σημείωσε, ὅτι ἄλλους ὀνομάζει τοὺς ἀμύητους καὶ ἄλλους τοὺς ἀμύστους, δηλαδὴ τοὺς ἀμυσταγώγητους.

Εἰ δὲ ὑπὲρ τούτους εἰσί: Τὰ πρὶν ἀπὸ αὐτὰ βέβαια τὰ εἶπε γιὰ ὅσους πίστεψαν στὸ ὄνομα τοῦ Χριστοῦ, ὅμως δὲν ἔφτασαν στὴν τελειότερη γνώση, ἀλλὰ ἰσομετροῦν τὴν ἀλήθεια μὲ τὴ δική τους γνώμη καὶ δὲν γνωρίζουν τὴ διαφορὰ οὐσιῶν ὄντων κυρίως καὶ ὁμωνύμων καὶ τοῦ ἴδιου τοῦ πάνω ἀπὸ τὰ ὄντα ὄντος γι' αὐτὸ καὶ ὑπερούσιου. Αὐτοὶ λοιπόν, σὰν ἀμύητοι στὰ ὑψηλότερα, νομίζουν στ' ἀλήθεια ὅτι εἶναι σκοτάδι τὸ ἄφωτο τοῦτο σκίασμα ποὺ μᾶς σκιάζει καὶ καλύπτει τὸν Θεὸ καὶ τὸν κρύβει ἀπὸ τὰ μάτια ὅλων, νόσο ποὺ νοσοῦν πολλοὶ καὶ ἀπὸ ἐμᾶς, ἐπειδὴ δὲν γνωρίζουν ὅτι τὸ ὑπερβολικὸ φῶς σκοτίζει κάθε ὅραση. Ἂν λοιπόν, λέει, ὑπάρχουν τέτοιοι κι ἀνάμεσά μας, τί θὰ λέγαμε γιὰ τοὺς εἰδωλολάτρες ποὺ εἶναι ἀμέτοχοι τελείως σὲ ὅλα τὰ μυστικὰ καὶ μένουν ἔκθαμβοι μπροστὰ σὲ ξόανα; Κυρίως ὄντα λοιπὸν εἶναι τὰ νοητά, ἐνῶ ὁμωνύμως ὄντα εἶναι τὰ αἰσθητά. Τὸ 'ὑπὲρ τούτους' σημαίνει τοὺς πιστούς, τοὺς παγιδευμένους μέσα στὰ φθαρτά.

Δέον ἐπ' αὐτῇ: Ἐπειδὴ εἶναι τὰ πάντα ὅπως ἁρμόζει στὸν Θεὸ καὶ δὲν εἶναι τίποτε μὲ τρόπο ὑπερούσιο. Γιατὶ αὐτὴ εἶναι ἡ θέση καὶ ἡ ἄρνηση (κατάφαση– ἀντίφαση, εἶναι –δὲν εἶναι), ἐπειδὴ καὶ τὰ δύο λέγονται κυρίως γιὰ τὴ θεία μεγαλειότητα. Τί

θέσεων, καὶ τί αἱ στερήσεις, καὶ ἐνταῦθα σαφηνίζεται, καὶ μάλιστα ἐν τῷ τρίτῳ κεφαλαίῳ, καὶ ἐν τῷ Περὶ θείων ὀνομάτων λόγῳ διαφόρως καὶ πλατέως παραθέμεθα.

Ἀντικειμένας εἶναι: Ὅτι ἐπὶ Θεοῦ οὐκ ἀντίκεινται αἱ ἀποφάσεις ταῖς καταφάσεσιν· ὑπὲρ πᾶσαν γάρ ἐστιν ὁ Θεὸς καὶ ἀφαίρεσιν καὶ θέσιν. Ἀνάγνωθι καὶ ἐν τοῖς Περὶ τῆς οὐρανίας ἱεραρχίας μετ' ὀλίγον τῆς ἀρχῆς.

§ 3. Οὕτω γοῦν ὁ θεῖος Βαρθολομαῖος: Σημείωσαι καὶ ἐντεῦθεν τὸ ἄπλαστον τοῦ εἶναι ταῦτα τὰ θεῖα συντάγματα τοῦ μεγάλου Διονυσίου. Πρὸς οἷς γὰρ ἐν τοῖς προτέροις λόγοις τινῶν τῶν συνόντων τοῖς ἀποστόλοις μνήμην χρήσεων ἐποιήσατο, νῦν παραπλησίως τοῦ θείου Βαρθολομαίου χρῆσιν ἄγει, ὡς δηλοῖ τὸ «φησίν»· εἰ γὰρ ἀγράφως ἦν διδάξας, εἰρήκει ἄν, 'ἔφη'. Σημείωσαι δὲ ὅτι τοῦ ἁγίου Βαρθολομαίου χρῆσιν προφέρει, πῶς πολλὴ καὶ ἐλαχίστη ἡ θεολογία.

Ὅτι καὶ πολυλόγος: Πολυλόγος παροξυτόνως ὁ πολλὰ λέγων, πολύλογος δὲ προπαροξυτόνως ὁ πολλῶν λόγων δεόμενος· ὡς καὶ πρωτότοκος προπαροξυτόνως ὁ πρώτως τεχθείς, πρωτοτόκος δὲ παροξυτόνως ἡ πρώτως τεκοῦσα γυνή, ὡς καὶ Ὅμηρος.

«Πρωτότοκος Κινύρη, οὐ πρὶν εἰδυῖα τόκοιο».

Ὃς οὔτε λόγον: Δηλαδὴ τῆς οἰκείας φύσεως παραστατικὸν ἐν τοῖς ἔξωθεν. Ὁμοίως καὶ περὶ νοήσεως νοητέον.

Πάντα θεῖα φῶτα καὶ ἤχους: Ἤχους καὶ λόγους οὐρανίους φησὶ τὰ περὶ Θεοῦ ἐν ταῖς Γραφαῖς εἰρημένα, ὡς μὴ κατὰ τὴν ἀνθρωπίνην καὶ γηΐνην ἐπίνοιαν, ἀλλὰ κατὰ θείαν ἐπίνοιαν λεχθέντα καὶ παραδοθέντα.

Ὁ θεῖος Μωϋσῆς: Σημείωσαι, πῶς διεξέρχεται τὰ περὶ

εἶναι ὅμως οἱ ἀρνήσεις τῶν ἀφαιρέσεων καὶ οἱ καταφάσεις τῶν θέσεων καὶ τί εἶναι οἱ στερήσεις διασαφηνίζεται καὶ ἐδῶ καὶ πιὸ πολὺ στὸ τρίτο κεφάλαιο, ἀλλὰ διαφορετικὰ καὶ πλατύτερα τὸ ἀναπτύξαμε καὶ στὸ Περὶ θείων ὀνομάτων.

Ἀντικειμένας εἶναι: Στὸν Θεὸ δὲν ἀντίκεινται οἱ ἀποφάσεις στὶς καταφάσεις, γιατὶ ὁ Θεὸς εἶναι πάνω ἀπὸ κάθε ἄρνηση (ἀφαίρεση) καὶ θέση. Διάβασε καὶ στὸ Περὶ οὐρανίας ἱεραρχίας λίγο μετὰ τὴν ἀρχή.

§ 3. Οὕτω γοῦν ὁ θεῖος Βαρθολομαῖος: Σημείωσε καὶ ἐδῶ, ὅτι δὲν εἶναι πλαστὰ αὐτὰ τὰ θεῖα συγγράμματα τοῦ μεγάλου Διονυσίου. Γιατὶ μαζὶ μὲ τὰ χωρία ποὺ μνημόνευσε στὰ προηγούμενα ἔργα του μερικῶν ἀπὸ τοὺς σύγχρονους τῶν ἀποστόλων, τώρα μᾶς παρουσιάζει παραπλήσια μὲ ἐκεῖνα τὸ χωρίο τοῦ ἁγίου Βαρθολομαίου, ὅπως δηλώνει τὸ ρῆμα λέει ('φησί')· γιατί, ἂν εἶχε διδάξει προφορικὰ θὰ ἔλεγε 'εἶπε' (ἔφη). Σημείωσε, ὅτι ἀναφέρει τὸ χωρίο τοῦ ἁγίου Βαρθολομαίου, ποὺ βεβαιώνει πῶς ἡ θεολογία εἶναι πολλὴ καὶ ἐλάχιστη.

Ὅτι καὶ πολυλόγος: Πολυλόγος, παροξύτονο, σημαίνει αὐτὸς ποὺ λέει πολλά, ἐνῶ πολύλογος, προπαροξύτονο, σημαίνει ὁποιος χρειάζεται πολλοὺς λόγους. Ὅπως καὶ πρωτότοκος, προπαραξύτονο, σημαίνει αὐτὸς ποὺ γεννήθηκε πρῶτος, ἐνῶ πρωτοτόκος, παροξύτονο, σημαίνει ἡ γυναίκα ποὺ γέννησε πρώτη φορά, ὅπως λέει καὶ ὁ Ὅμηρος.

Πρωτόγεννη ἡ Κινύρη, κι ἄμαθη ἀπὸ πρὶν ἀπὸ γέννα[3].

Ὃς οὔτε λόγον: Λόγο δηλαδὴ ποὺ νὰ παραστάνει τὴ φύση του στοὺς ἔξω. Ὅμοια πρέπει νὰ σκεφθοῦμε καὶ γιὰ τὴ νόηση.

Πάντα θεῖα φῶτα καὶ ἤχους: Ἤχους καὶ λόγους οὐράνιους λέει ὅσα ἔχουν εἰπωθεῖ γιὰ τὸν Θεὸ στὶς Γραφές, ἐπειδὴ δὲν εἶναι γνώμη ἀνθρώπινη καὶ γήινη, ἀλλὰ κατὰ θεία ἔμπνευση εἰπώθηκαν καὶ μᾶς παραδόθηκαν.

Ὁ θεῖος Μωυσῆς: Σημείωσε, πῶς ἀφηγεῖται τὰ σχετικὰ μὲ

3. Ἰλ. 17,5.

Μωϋσέως, ὅτι, ἐν τῷ ὄρει ἀνελθὼν καὶ εἰσελθὼν εἰς τὸν γνόφον εἶδεν, ὡς ἐφικτὸν ἀνθρώπῳ, τὸν Θεόν. Σημείωσαι καὶ τὴν τάξιν τῶν τελεσθέντων ἐπὶ Μωσεῖ, πρὶν ἀξιωθῆναι εἰσελθεῖν εἰς τὸν θεῖον γνόφον.

Ἀλλὰ τὸν τόπον οὗ ἔστη: Τίς ὁ τόπος ἐν ᾧ ἔστη ὁ Θεὸς ἐπὶ Μωϋσέως, καὶ τί ἐστιν ἀκρότητος νοητῶν, καὶ τί ὁρατῶν, ἐν τῷ Περὶ τῆς ἐν οὐρανοῖς ἱεραρχίας εἰς τὸ τέλος τοῦ πρώτου κεφαλαίου διεξήλθομεν.

Ὑποθετικούς: Ὑποθετικοὺς λόγους φησὶ τοὺς ὑπογραφικούς, ἢ ὡς θεωρητικοὺς τῶν ὄντων, ἅπερ ὑποβεβλημένα ἔφη τῷ Θεῷ εἶναι· δι' αὐτῶν γάρ, ἤγουν τῆς τούτων διαμονῆς καὶ συντηρήσεως, τοῖς πᾶσιν αὐτὸν παρεῖναι διδασκόμεθα, οὐ μεταβατικῶς, ἀλλὰ προνοητικῶς· νοητὰς δὲ ἀκρότητας τὰς οὐρανίας καὶ νοερὰς οὐσίας τὰς περὶ Θεὸν οὔσας καλεῖ, ἃς καὶ τόπους αὐτοῦ ἁγιωτάτους ὠνόμασεν, ὧν καὶ αὐτῶν ὑπέρκειται, ἢ ὡς ἀπολύεται, κατὰ μηδὲν αὐτοῖς ὅλως προσεοικώς.

Καὶ τότε καὶ αὐτῶν ἀπολύεται: Τὴν κατὰ σύνθεσιν τοῦ ῥητοῦ ἐξήγησιν οὕτω νοητέον, ὅτι ὁ Μωϋσῆς, θεωρήσας τὸν τόπον οὗ εἱστήκει ὁ Θεός, καὶ τότε ἀπολυθεὶς τῶν τε ὁρωμένων, τουτέστιν αἰσθητῶν ἁπάντων, καὶ τῶν ὁρώντων, ἀντὶ τοῦ λογικῶν ἁπάντων, νοητῶν τέ φημι καὶ νοερῶν οὐσιῶν, μεθ' ὧν καὶ τῶν ἡμετέρων ψυχῶν, τηνικαῦτα εἰς τὸν γνόφον εἰσῆλθε, τουτέστιν εἰς τὴν περὶ Θεοῦ ἀγνωσίαν, ἔνθα, πάσας ἀπομύσας τὰς γνωστικὰς ἀντιλήψεις, ἐγένετο ἐν τῷ ἀναφεῖ τῷ νῷ καὶ ἀοράτῳ πασῶν ἀντιλήψεων γνωστικῶν τοῦ πέρα πάντων Θεοῦ, καὶ ἑνωθεὶς διὰ τοῦ τοιούτου τρόπου τῇ ἀγνωσίᾳ καὶ ἀνενεργησίᾳ, οὐ λέγω τῇ περὶ αὐτοῦ ἀνενεργησίᾳ τοῦ ἰδίου νοῦ, οὔτε τῇ ἑτέρου ἀνενεργησίᾳ ἐν τῷ μήτε αὐτὸν μήτε ἕτερόν τι νοεῖν, ἀλλ' ἑνωθεὶς τῷ παντελῶς ἀγνώστῳ πάσης γνώσεως

τὸν Μωυσῆ· ὅτι δηλαδή, ἀφοῦ ἀνέβηκε στὸ ὄρος καὶ μπῆκε μέσα στὸν γνόφο, εἶδε, ὅσο μπορεῖ ἄνθρωπος, τὸν Θεό. Σημείωσε καὶ τὴ διαδικασία ποὺ ἀκολουθήθηκε, πρὶν ἀξιωθεῖ ὁ Μωυσῆς νὰ εἰσέλθει στὸν θεῖο γνόφο.

Ἀλλὰ τὸν τόπον οὗ ἔστη: Ποιός εἶναι ὁ τόπος ὅπου στάθηκε ὁ Θεὸς μπροστὰ στὸν Μυωσῆ καὶ τί σημαίνει 'ἀκρότητα νοητῶν' καὶ τί ὁρατῶν, τὸ ἐξετάσαμε στὸ ἔργο Περὶ τῆς οὐρανίας ἱεραρχίας στὸ τέλος τοῦ πρώτου κεφαλαίου.

Ὑποθετικούς: Ὑποθετικοὺς λόγους λέει τοὺς περιγραφικούς, ἢ θεωρητικοὺς κατὰ κάποιο τρόπο τῶν ὄντων, ποὺ λέει ὅτι εἶναι κάτω ἀπὸ τὸν Θεό. Γιατὶ μὲ αὐτά, δηλαδὴ μὲ τὴ διάρκεια καὶ τὴ συντήρησή τους, διδασκόμαστε ὅτι αὐτὸς εἶναι παρὼν σὲ ὅλα ὄχι μὲ μετάβασή του σ' αὐτά, ἀλλὰ μὲ τὴν πρόνοιά του. 'Νοητὲς ἀκρότητες' καλεῖ τὶς οὐράνιες καὶ νοερὲς οὐσίες ποὺ περιβάλλουν τὸν Θεό, ποὺ τὶς ὀνόμασε καὶ ἁγιότατους τόπους του. Καὶ ἀπὸ αὐτὲς βρίσκεται ὑψηλότερα, ἢ κατὰ κάποιο τρόπο ἐλεύθερος, ἐπειδὴ δὲν μοιάζει σὲ τίποτε ἀπολύτως μὲ αὐτούς.

Καὶ τότε καὶ αὐτῶν ἀπολύεται: Τὴν ἐξήγηση τοῦ χωρίου σύμφωνα μὲ τὴ σύνταξή του πρέπει νὰ τὴν ἐννοήσομε ὡς ἑξῆς· ὁ Μωυσῆς θεωρώντας τὸν τόπο ὅπου εἶχε σταθεῖ ὁ Θεὸς καὶ ἔχοντας ἐλευθερωθεῖ κι ἀπὸ ὅσα βλέπομε, δηλαδὴ ὅλα τὰ αἰσθητά, κι ἀπὸ ὅσα βλέπουν, δηλαδὴ ὅλα τὰ λογικά, ἐννοῶ τὶς νοητὲς καὶ νοερὲς οὐσίες, μαζὶ μὲ τὶς ὁποῖες καὶ μὲ τὶς ψυχές μας, μπῆκε τότε στὸν γνόφο, δηλαδὴ στὴν ἀγνωσία σχετικὰ μὲ τὸν Θεό, ὅπου, ἀποκλείοντας ὅλες τὶς γνωστικὲς ἀντιλήψεις, βρέθηκε στὸν νοῦ ποὺ οὔτε ψηλαφίζεται οὔτε βλέπεται, πέρα ἀπὸ ὅλες τὶς γνωστικὲς ἀντιλήψεις τοῦ πέρα ἀπὸ ὅλα Θεοῦ. Κι ἀφοῦ ἑνώθηκε μ' αὐτὸν τὸν τρόπο μὲ τὴν ἀγνωσία καὶ τὴν ἔλλειψη ἐνέργειας, δὲν ἐννοῶ μὲ τὴν ἔλλειψη ἐνέργειας τοῦ ἴδιου τοῦ νοῦ γι' αὐτὸν τὸν ἴδιο, οὔτε μὲ τὴν ἔλλειψη ἐνέργειας κάποιου ἄλλου στὸ νὰ νοήσει οὔτε τὸν ἑαυτό του οὔτε κάτι ἄλλο, ἀλλὰ ἑνωμένος μὲ τὸ ὁλότελα ἄγνωστο κάθε γνώσης ἐκείνου

τοῦ πάντων ἐπέκεινα τότε τῇ ἀγνοίᾳ τὸ πᾶν ἔγνω. Σημείωσαι δέ, ὡς γνόφον τὴν ἀγνωσίαν ἐνόησε. Πῶς δι' ἀγνωσίας ὁ Θεὸς γινώσκεται, καὶ ὧδέ φησι, καὶ ἐν τῷ Περὶ θείων ὀνομάτων λόγῳ πλατύτερον διεξήλθομεν ἐν κεφαλαίῳ β'. Χρὴ δὲ εἰδέναι, ὡς ἐν τῇ Ἐξόδῳ, ἔνθα γέγραπται, ὅτι «εἰσῆλθε Μωϋσῆς εἰς τὸν γνόφον οὗ ἦν ὁ Θεός», τὸ μὲν Ἑβραϊκὸν ἔχει ἀραφέλ, οἱ δὲ Ἑβδομήκοντα καὶ Ἀκύλας καὶ Θεοδοτίων τὸ ἀραφὲλ γνόφον ἐξέδωκαν. Σύμμαχος μέντοι ὁμίχλην τὸ ἀραφὲλ ἑρμήνευσεν. Ὁ δὲ Ἑβραῖος λέγει τὸ 'ἀραφὲλ' ὄνομα εἶναι στερεώματος, εἰς ὃ ἔφθασε Μωϋσῆς· ἑπτὰ γὰρ στερεώματά φασιν, ἃ καὶ οὐρανοὺς καλοῦσι, καὶ τὰ ὀνόματα λέγουσιν, ὧν μνημονεῦσαι νῦν οὐκ ἀναγκαῖον. Ἀνέγνων δὲ τοῦτο ἑπτὰ οὐρανοὺς καὶ ἐν τῇ συγγεγραμμένῃ Ἀρίστωνι τῷ Πελλαίῳ διαλέξει Παπίσκου καὶ Ἰάσονος, ἣν Κλήμης ὁ Ἀλεξανδρεὺς ἐν ἕκτῳ βιβλίῳ τῶν Ὑποτυπώσεων τὸν ἅγιον Λουκᾶν φησιν ἀναγράψαι. Ὅμως τὸ περὶ τοῦ γνόφου, εἰς τὴν θείαν ἀγνωσίαν θεωρούμενον, θειότερον πεφιλοσόφηται καὶ ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ· ἐν τῇ πέμπτῃ δὲ τελείως περὶ τούτου γράφει.

Τῆς πάσης γνώσεως ἀνενεργησίᾳ: Σημείωσαι, ὅτι τῇ πάσης γνώσεως ἀνενεργησίᾳ τῷ ἀγνώστῳ ἑνούμεθα.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ Β'

Κατὰ τοῦτον ἡμεῖς: Καὶ ἐνταῦθα περὶ θείου γνόφου καὶ τῆς ἀγνωσίας λέγει. Καὶ σημείωσαι, ὅτι τοῦτό ἐστι τὸ ὑπὸ τὸν θεῖον γνόφον γενέσθαι, τὸ δι' ἀβλεψίας καὶ ἀγνωσίας ἰδεῖν καὶ

ποὺ βρίσκεται πέρα ἀπὸ ὅλα, τότε μὲ τὴν ἄγνοια κατανόησε τὸ πᾶν. Σημείωσε ὅτι ἐνόησε τὴν ἀγνωσία ὡς γνόφο. Πῶς γνωρίζομε τὸν Θεὸ μὲ τὴν ἀγνωσία τὸ λέει καὶ ἐδῶ, ἀλλὰ καὶ στὸ ἔργο του Περὶ θείων ὀνομάτων τὸ ἀναπτύξαμε πλατύτερα στὸ δεύτερο κεφάλαιο. Πρέπει νὰ ξέρομε ὅτι στὴν Ἔξοδο, ὅπου γράφει, ὅτι ὁ Μωυσῆς μπῆκε στὸν γνόφο ὅπου ἦταν ὁ Θεός, τὸ ἑβραϊκὸ κείμενο ἔχει ἀραφέλ, ἐνῶ οἱ Ἑβδομήκοντα, ὁ Ἀκύλας καὶ ὁ Θεοδοτίων στὴ θέση τοῦ ἀραφὲλ ἔβαλαν 'γνόφον'[4]. Ὁ Σύμμαχος πάλι ἐξήγησε τὸ ἀραφὲλ ὡς ὁμίχλη. Ὁ Ἑβραῖος λέει ὅτι τὸ ἀραφὲλ εἶναι ὄνομα τοῦ στερεώματος ὅπου ἔφτασε ὁ Μωυσῆς. Γιατὶ λένε ὅτι ὑπάρχουν ἑφτὰ στερεώματα, ποὺ τὰ ὀνομάζουν καὶ οὐρανούς, καὶ λένε καὶ τὰ ὀνόματά τους, ποὺ δὲν εἶναι ἀνάγκη νὰ τὰ μνημονεύσομε τώρα. Αὐτὸ τὸ διάβασα ὡς ἑπτὰ οὐρανοὺς καὶ στὸ διάλογο τοῦ Παπίσκου καὶ Ἰάσονα ποὺ συνέγραψε ὁ Ἀρίστωνας ὁ Πελλαῖος, ποὺ ὁ Κλήμης ὁ Ἀλεξανδρέας στὸ ἕκτο βιβλίο τῶν Ὑποτυπώσεων λέει ὅτι τὸν ἔγραψε ὁ ἅγιος Λουκᾶς. Ἀλλὰ τὸ θέμα γιὰ τὸν γνόφο, μὲ τὴν ἔννοια τῆς θείας ἀγνωσίας, τὸ ἔχει φιλοσοφήσει μὲ θεϊκότερο τρόπο καὶ στὶς ἐπιστολές του. Στὴν πέμπτη μάλιστα γράφει ἐξολοκλήρου γι' αὐτό.

Τῆς πάσης γνώσεως ἀνενεργησίᾳ: Σημείωσε, ὅτι μὲ τὴν ἔλλειψη ἐνέργειας ὁποιασδήποτε γνώσης ἑνωνόμαστε μὲ τὸ ἄγνωστο.

ΣΤΟ ΚΕΦΑΛΑΙΟ 2

Κατὰ τοῦτον ἡμεῖς: Κι ἐδῶ μιλάει γιὰ τὸν θεῖο γνόφο καὶ τὴν ἀγνωσία. Καὶ σημείωσε ὅτι αὐτὸ σημαίνει τὸ νὰ εἰσέλθει κανεὶς στὸν θεῖο γνόφο, τὸ νὰ δεῖ μὴ βλέποντας καὶ ἀγνοώντας

4. Ἔξ. 20,21.

γνῶναι τὸ ὑπὲρ θέαν καὶ γνῶσιν, κατ᾽ αὐτὸ τὸ μὴ ἰδεῖν μηδὲ γνῶναι· τοῦτο γάρ ἐστι, φησί, τὸ ὄντως ἰδεῖν καὶ γνῶναι· οὐδαμοῦ δὲ οὕτω σαφηνίζει τὴν ἐν ἀγνωσίᾳ γνῶσιν. Ἀνάγνωθι δὲ καὶ τὴν ε΄ πρὸς Δωρόθεον ἐπιστολήν.

Διὰ τῆς πάντων τῶν ὄντων: Τουτέστι διὰ τοῦ μηδὲν τῶν ὄντων προσφυὲς αὐτῷ νοεῖν· τοῦτο γὰρ ἀφαίρεσιν ὠνόμασεν. Αὐτοφυὲς δὲ ἄγαλμά φησιν, ὃ γίνεται ἐν ὕλῃ ἀτμήτῳ, οἷον ἐν πέτρᾳ ὁλοκλήρῳ, ἐν ὅσῳ ἕστηκεν, ὅταν γλύψῃ τις ζῶόν τι, ὡς δηλοῖ καὶ Εὐριπίδης ἐν Ἀνδρομέδᾳ·

Παρθένου τ᾽ εἰκόνα τινὰ
Ἐξ αὐτομόρφων λαΐνων τειχισμάτων,
Σοφῆς ἄγαλμα χειρός.

Αὐτόμορφον γὰρ ἄγαλμα τῆς πέτρας τὸ αὐτοφυὲς εἶπεν· ἀλλὰ καὶ ὅταν μέρος τι τοῦ δένδρου γλύψῃ ἑστῶτος καὶ ἀνθοῦντος, καὶ μέρος κλίνης ποιήσῃ, ὅπερ, ὥς φησιν Ὅμηρος, ἐν Ὀδυσσείᾳ ἐποίησεν Ὀδυσσεύς· ἢ καὶ ἐν τῷ τοιούτῳ δένδρῳ ἔγλυψε τρόπαιον νίκης. Φησὶ δὲ καὶ τιμίας λίθου ἀγάλματα, οἷον ὅταν ἡ σμάραγδος, ἀποκαθαρθεῖσα τοῦ περιέχοντος γεώδους, αὐτὴ ἀναφανῇ ἄγαλμα, τουτέστιν ἀγλάϊσμα· πρὸς ὃ μάλιστα νῦν βλέπων εἶπε τὸ προκείμενον, ὡς Διονύσιος ὁ ποιητὴς ἐν β΄ βιβλίῳ Λιθικῶν·

Τῆς βαθυχλοάοντος ἰάσπιδος, ἢ ἀμεθύστου
Πορφυρόεντος ἄγαλμα, μελαγκρατέτης ὑάκινθος.

Ταῦτα γὰρ πάντα δείκνυσι τὸ πολυμαθὲς τοῦ ἁγίου τούτου ἀνδρός.

Χρὴ δέ, ὡς οἶμαι, τὰς ἀφαιρέσεις: Τὸ παρὸν χωρίον ἐν τοῖς ἑξῆς αὐτὸς ὁ πατὴρ σαφηνίζει. Θέσεις μὲν οὖν εἰσιν ὅσα οἰκείως ἐπὶ Θεοῦ λέγεται ὅτι ἐστίν, οἷον τὸ ὤν, τὸ ζωή, τὸ

νὰ γνωρίσει τὸ πάνω ἀπὸ θέαση καὶ γνώση, ὡς πρὸς αὐτὸ τὸ νὰ μὴ δεῖ οὔτε νὰ γνωρίσει· γιατὶ αὐτό, λέει, εἶναι ἡ πραγματικὴ θέαση καὶ γνώση. Πουθενὰ δὲν διασαφηνίζει ἔτσι 'τὴ γνώση μὲ τὴν ἀγνωσία'. Διάβασε ἐπίσης καὶ τὴν πέμπτη ἐπιστολή του πρὸς Δωρόθεον.

Διὰ τῆς πάντων τῶν ὄντων: Δηλαδὴ μὲ τὴ σκέψη ὅτι κανένα ἀπὸ τὰ ὄντα δὲν εἶναι προσκολλημένο σ' αὐτόν· γιατὶ αὐτὸ ὀνόμασε ἀφαίρεση. Αὐτοφυὲς (ἀτόφιο) ἄγαλμα λέει, ἐκεῖνο ποὺ γίνεται ἐπάνω σὲ ὕλη ποὺ δὲν ἔχει κοπεῖ, ὅπως σὲ ὁλόκληρη πέτρα, ὅση εἶναι αὐτή, ὅταν σκαλίσει κάποιος ἕνα ζῶο, ὅπως δηλώνει καὶ ὁ Εὐριπίδης στὴν Ἀνδρομέδα του.

Καὶ τῆς παρθένου κάποια εἰκόνα
ἀπὸ αὐτοδιαμορφωμένα πέτρινα τειχιά,
ἄγαλμα ἀπὸ χέρι σοφό.

Αὐτόμορφον γάρ: Ἄγαλμα ἀπὸ πέτρα εἶπε αὐτὸ ποὺ ἔγινε μόνο του. Ἀλλὰ καὶ ὅταν κάποιος πελεκήσει ἕνα μέρος τοῦ δένδρου, ποὺ εἶναι ἴσιο καὶ φουντωτό, καὶ τὸ κάνει ἕνα μέρος τοῦ κρεβατιοῦ, πράγμα ποὺ ἔκανε ὁ Ὀδυσέας ὅπως λέει ὁ Ὅμηρος στὴν Ὀδύσσεια, ἢ καὶ σκαλίσει στὸ δέντρο αὐτὸ τρόπαιο νίκης. Ἀναφέρει βέβαια ἀγάλματα κι ἀπὸ πολύτιμες πέτρες, ὅπως εἶναι τὸ σμαράγδι, πού, ὅταν καθαριστεῖ ἀπὸ τὸ χῶμα ποὺ τὸ περιβάλλει, ἀστράφτει αὐτὸ τὸ τὸ ἴδιο ἄγαλμα, δηλαδὴ παρουσιάζεται σὰν ἀγλάισμα, ἀγαλλίαμα. Σ' αὐτὸ κυρίως βλέποντας τώρα εἶπε τὸ λόγο αὐτό, ὅπως ὁ ποιητὴς Διονύσιος στὸ δεύτερο βιβλίο τῶν Λιθικῶν.

Ἀπὸ τὸν βαθυπράσινο ἴασπι ἢ τὸν ἀμέθυστο
τὸ πορφυρὸ ἄγαλμα, καὶ τὸν σκοτεινὸ ὑάκινθο).

Ὅλα αὐτὰ δηλαδὴ δείχνουν τὴν πολυμάθεια τοῦ ἁγίου.

Χρὴ δέ, ὡς οἶμαι, τὰς ἀφαιρέσεις: Τὸ χωρίο τοῦτο ὁ ἴδιος ὁ πατέρας τὸ διασαφηνίζει στὰ ἀκόλουθα. Θέσεις λοιπὸν εἶναι ὅσα λέγονται ποὺ ἁρμόζουν στὸν Θεό, ὅπως τὰ ὤν, ζωή, φῶς

φῶς, καὶ τὰ ἄλλα, ἀφαιρέσεις δὲ ὅσα ὡς ἀλλότρια Θεοῦ ἀποφάσκεται· οἷον ὅτι οὐ σῶμα ὁ Θεός, οὐ ψυχή, οὐδέ τι τῶν γνωστῶν ἢ τῇ νοήσει ὑποπιπτόντων. Ἄλλως· Τί εἰσι θέσεις καὶ αἱ ἀφαιρέσεις, ἐν τῷ Περὶ θείων ὀνομάτων λόγῳ διαφόρως ἔγνωμεν.

Ἐν πᾶσι τοῖς οὖσιν: Αἱ τῶν ὄντων γνώσεις, φησί, τὸ περὶ Θεοῦ ἄγνωστον οὐκ ἐκκαλύπτουσι καὶ εἰς φανέρωσιν ἄγουσιν, ἀλλὰ μᾶλλον συγκαλύπτουσι καὶ ἀποκρύπτουσι. Τὸ δὲ ἐν τοῖς οὖσι φῶς ὑποληπτέον τὸ γνῶναι τὰ ὄντα ᾗ ὄντα ἐστί, καθὼς καὶ ἐν τοῖς ἑξῆς εὑρίσκομεν.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ Γ'

Πῶς ἡ θεία καὶ ἀγαθὴ φύσις: Τί περιέχει ὁ λόγος τῶν Θεολογικῶν ὑποτυπώσεων. Ἰδοὺ θεολογίας ὑποθῆκαι καὶ ἀφορμαί, πάσης ἐχόμεναι θείας καὶ πεφωτισμένης γνώσεως καὶ ὀρθοδοξίας· τὸ εἰδέναι, πῶς ἑνικὴ ἡ θεία φύσις, οἱ νεώτεροι Πατέρες τινὲς ὁμοούσιον προσεῖπον· πῶς τριαδική, ὃ φαμεν τρισυπόστατον, καὶ τὸ εἰδέναι τῶν προσώπων τὰς ἰδιότητας, καὶ τί δηλοῦσιν, οἷον πατρότητα καὶ υἱότητα, καὶ τίς ἡ τοῦ θείου Πνεύματος ἁγιαστικὴ δύναμις καὶ θεολογία· καὶ πῶς εἴρηται τό, «ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν», καὶ πῶς περὶ τοῦ προσκυνητοῦ Πνεύματος εἴρηται, ὅπερ ἐκ τοῦ Πατρὸς ἐκπορεύεται· καὶ πῶς ἐν τῷ Πατρὶ καὶ ἐν αὐτοῖς καὶ ἐν ἀλλήλοις ὁ Υἱὸς καὶ τὸ Πνεῦμα συναϊδίως καὶ ἀσχίστως καὶ ἀδιαιρέτως ἐν μονῇ εἰσιν ἀνεκφοιτήτῳ. Δεῖ δὲ εἰδέναι, ὅτι μονὴ καὶ στάσις

καὶ τὰ ἄλλα, ἐνῶ ἀφαιρέσεις εἶναι ὅσα τ' ἀρνεῖται ὡς ξένα πρὸς τὸν Θεό, ὅπως ὅτι δὲν εἶναι σῶμα ὁ Θεός, οὔτε ψυχή, οὔτε κάτι ἀπὸ τὰ γνωστὰ ἢ ποὺ εἶναι προσιτὰ στὴ νόηση. Ἄλλη ἐκδοχή. Τί εἶναι οἱ θέσεις καὶ οἱ ἀφαιρέσεις τὶς ἐννοήσαμε διαφορετικὰ στὸ ἔργο του Περὶ θείων ὀνομάτων.

Ἐν πᾶσι τοῖς οὖσιν: Οἱ γνώσεις τῶν ὄντων, λέει, δὲν ἀποκαλύπτουν καὶ δὲ φανερώνουν τὸ σχετικὸ ἄγνωστο τοῦ Θεοῦ, ἀλλὰ μᾶλλον τὸ συγκαλύπτουν καὶ τὸ κρύβουν. Ἐνῶ ὡς τὸ φῶς ποὺ ὑπάρχει στὰ ὄντα πρέπει νὰ τὸ ἐκλάβομε μὲ τὴν ἔννοια, νὰ γνωρίσομε τὰ ὄντα ἔτσι ὅπως εἶναι, ὅπως τὸ συναντᾶμε αὐτὸ καὶ στὰ παρακάτω.

ΣΤΟ ΚΕΦΑΛΑΙΟ 3

Πῶς ἡ θεία καὶ ἀγαθὴ φύσις: Τί περιέχει δηλαδὴ τὸ σύγγραμμα τῶν Θεολογικῶν ὑποτυπώσεων. Περιέχει θεολογικὲς ὑποθῆκες καὶ ἀποδείξεις, ποὺ διαπνέονται ἀπὸ θεία φωτισμένη γνώση καὶ ὀρθοδοξία· τὴ γνώση δηλαδή, πῶς εἶναι ἑνικὴ ἡ θεία φύση, ποὺ μερικοὶ νεότεροι πατέρες τὴν ἀποκάλεσαν ὁμοούσιο, πῶς εἶναι τριαδική, πράγμα ποὺ τὸ λέμε τρισυπόστατο, καθὼς καὶ τὴ γνώση τῶν ἰδιοτήτων τῶν προσώπων καὶ τί δηλώνουν αὐτές, ὅπως ἡ πατρότητα καὶ ἡ υἱότητα, καὶ ποιά εἶναι ἡ ἁγιαστικὴ δύναμη καὶ θεολογία τοῦ θείου Πνεύματος· μὲ ποιά ἐπίσης ἔννοια εἰπώθηκε τό, «ἡ καρδιά μου ἀνάβλυσε λόγο ἀγαθό»[5], καὶ πῶς εἰπώθηκε γιὰ τὸ προσκυνητὸ Πνεῦμα, ποὺ ἐκπορεύεται ἀπὸ τὸν Πατέρα· πῶς εἶναι μέσα στὸν Πατέρα καὶ μέσα σ' αὐτοὺς ἀμοιβαῖα ὁ Υἱὸς καὶ τὸ Πνεῦμα συναΐδια καὶ ἀχώριστα καὶ ἀδιαίρετα σὲ μιὰ χωρὶς ἔξοδο παραμονή. Καὶ πρέπει νὰ ξέρομε ὅτι (παρα)μονὴ καὶ στάση εἶναι τὸ ἴδιο, ἐνῶ ἡ

---

5. Ψαλμ. 44,2.

ταὐτόν εἰσι, κίνησις δὲ ἕτερόν ἐστι τῆς μονῆς. Φησὶν οὖν ὅτι, καὶ ἐν μονῇ ἀκινήτῳ, ἀεὶ οὖσα ἡ θεία φύσις, δοκεῖ κινεῖσθαι ἐν τῇ ἐν ἀλλήλοις χωρήσει.

Καὶ τῆς ἐν αὐτῷ καὶ ἐν αὐτοῖς: Οὗτος ὁ νοῦς τῶν εἰρημένων· συναΐδιος, φησίν, ἡ ὕπαρξις τῆς ἁγίας Τριάδος, καὶ οὐχ ἑτέρως μὲν ὑπῆρξεν, ἑτέρως δὲ μετὰ ταῦτα κατέστη, ἢ χωρισμόν τινα ἢ μεταβολὴν ἔσχηκεν, ἀλλ' ἅμα καὶ κατὰ ταυτὸν τό τε ἐκ τοῦ Πατρὸς εἶναι τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ οὐ μετ' αὐτόν.

Πῶς ὁ ὑπερούσιος Ἰησοῦς: Σημείωσαι κατὰ Νεστοριανῶν καὶ Ἀκεφάλων.

Πῶς ἀγαθός: Τί περιέχει ὁ Περὶ θείων ὀνομάτων λόγος.

Καὶ γὰρ ἐχρῆν: Διὰ τί αἱ θεολογικαὶ Ὑποτυπώσεις καὶ ὁ Περὶ θείων ὀνομάτων λόγος ὀλιγόστιχοί εἰσι μᾶλλον ἢ ἡ Συμβολικὴ θεολογία.

Τῆς συμβολικῆς: Τῶν πρώτων τὰ τῆς Συμβολικῆς θεολογίας φησί.

Ταῖς συνόψεσι τῶν νοητῶν: Συνόψεις τῶν νοητῶν τὰς τῇ ἀΰλῳ αὐτῶν ἁπλότητι πρεπούσας θεωρίας ἐκάλεσε, τὸ δὲ «περιστέλλονται» ἀντὶ τοῦ 'συστέλλονται' τέθεικεν.

Ἀλλ' ἀλογίαν παντελῆ: Ἀλογίαν φησὶ τὸ μὴ δύνασθαι λόγῳ παραστῆσαι τὰ ὑπὲρ λόγον, καὶ ἀνοησίαν οὖν τὸ ἀνεννόητον καὶ ὃ μὴ δύναταί τις νοῆσαι, ὡς ὑπὲρ νοῦν.

Κακεῖ μὲν ἀπὸ τοῦ ἄνω: Ἐπειδὴ τὰ νοητὰ καὶ ὑπὲρ νοῦν τοῦ Θεοῦ ἑνάδες εἰσί, καὶ ἓν ὁ Θεός, μᾶλλον δὲ καὶ ὑπὲρ τὸ ἕν, εἰκότως συνέσταλται, ἅτε καὶ ἀμερὲς καὶ ἀπλήθυντον. Τὰ δὲ μετὰ Θεόν, ὅσῳ μᾶλλον κάτεισιν ἐπὶ τὰ αἰσθητά, τοσούτῳ μᾶλλον ὁμιλοῦνται τοῖς μεριστοῖς καὶ σκεδαστοῖς, καὶ πεπληθυσμένοις συμπληθύεται αὐτοῖς πρὸς τὸν μερισμὸν καὶ τὸ πολυσχιδὲς τῶν αἰσθητῶν. Πρὸς τὰ ἔσχατα δέ, τουτέστιν ἀπὸ τῆς θεολογικῆς ὑποτυπώσεως.

κίνηση εἶναι διάφορο τῆς (παρα)μονῆς. Λέει λοιπὸν ὅτι, ἂν καὶ βρίσκεται ἡ θεία φύση σὲ μιὰ μονὴ ἀκίνητη, φαίνεται ὅτι κινεῖται μὲ τὴν ἀμοιβαία εἰσχώρηση.

Καὶ τῆς ἐν αὐτῷ καὶ ἐν αὐτοῖς: Τοῦτο εἶναι τὸ νόημα αὐτῶν τῶν λόγων· Ἡ ὕπαρξη τῆς ἁγίας Τριάδας εἶναι συναιώνια· δὲν ἦταν ἀλλιώτικη πρῶτα κι ἔγινε ἀλλιώτικη ἔπειτα, οὔτε δέχθηκε κάποιο χωρισμὸ ἢ κάποια μεταβολή, ἀλλὰ μαζὶ καὶ ταυτόχρονα ἔχουν τὸ εἶναι ὁ Υἱὸς καὶ τὸ ἅγιο Πνεῦμα ἀπὸ τὸν Πατέρα, καὶ ὄχι ἔπειτα ἀπὸ αὐτόν.

Πῶς ὁ ὑπερούσιος Ἰησοῦς: Σημείωσε, ὅτι αὐτὰ λέγονται ἐναντίον τῶν Νεστοριανῶν καὶ Ἀκεφάλων.

Πῶς ἀγαθός: Τί περιέχει δηλαδὴ τὸ ἔργο Περὶ θείων ὀνομάτων.

Καὶ γὰρ ἐχρῆν: Γιατί τὰ ἔργα οἱ Θεολογικὲς ὑποτυπώσεις καὶ Περὶ θείων ὀνομάτων εἶναι συντομότερα ἀπὸ τὴ Συμβολικὴ θεολογία.

Τῆς συμβολικῆς: Ἀπὸ τὰ πρῶτα ποὺ πρέπει νὰ διαβαστοῦν εἶναι, λέει, ἡ Συμβολικὴ θεολογία.

Μὲ τὶς συνόψεις τῶν νοητῶν: Συνθεωρήσεις τῶν νοητῶν κάλεσε τὶς θεωρίες ποὺ ἁρμόζουν στὴν ἄυλη ἁπλότητά τους. Ἐνῶ τὸ 'περιστέλλονται' τὸ ἔβαλε ἀντὶ τοῦ 'νὰ συστέλλονται'.

Ἀλλ' ἀλογίαν παντελῆ: Ἀλογία λέει τὴν ἀδυναμία παράστασης μὲ λόγο τῶν ὑπέρλογων, καὶ ἀνοησία, τὴν ἀδυναμία νὰ ἐννοήσει κάποιος αὐτὸ ποὺ εἶναι πάνω ἀπὸ τὸ νοῦ.

Κἀκεῖ μὲν ἀπὸ τοῦ ἄνω: Ἐπειδὴ τὰ νοητὰ καὶ τὰ πάνω ἀπὸ τὸ νοῦ εἶναι ἑνάδες τοῦ Θεοῦ καὶ ὁ Θεὸς εἶναι ἕνα, ἢ καλύτερα πάνω ἀπὸ τὸ ἕνα, εὔλογα ἔχει συσταλεῖ, ἐπειδὴ εἶναι καὶ δίχως μέρη καὶ οὔτε πληθαίνει. Τὰ ἔπειτα ἀπὸ τὸν Θεό, ὅσο περισσότερο κατεβαίνουν στὰ αἰσθητά, τόσο περισσότερο συνενώνονται μὲ ὅσα μερίζονται καὶ διασκορπίζονται, καὶ πολλαπλασιαζόμενα αὐτά, συμπολλαπλασιάζεται κι αὐτός, τείνοντας στὸ μερισμὸ καὶ στὴν πολυδιαίρεση τῶν αἰσθητῶν. Πρὸς τὰ τελευταῖα (ἔσχατα), ἐννοεῖ ἀπὸ τὴ θεολογικὴ ἀνατύπωση.

Ἀπὸ τοῦ πρωτίστου: Πρωτίστου φησὶ τοῦ μᾶλλον οἰκειοτέρου καὶ τῇ ἐννοίᾳ προεισβάλλοντος, οἷον ὅτι ὢν ὁ Θεός, ὅπερ ἑαυτὸν ὠνόμασεν.

Ὅτι τὸ ὑπὲρ πᾶσαν: Πῶς δεῖ κεχρῆσθαι ταῖς θέσεσι καὶ ταῖς ἀφαιρέσεσιν ἐπὶ Θεοῦ, καὶ ὅτι τὰς μὲν θέσεις ἀπὸ τοῦ πρωτίστου καὶ μᾶλλον συγγενοῦς τῷ Θεῷ ποιούμεθα, τὰς δὲ ἀφαιρέσεις ἀπὸ τῶν ἐσχάτων καὶ μᾶλλον αὐτοῦ διεστηκότων.

Τὴν ὑποθετικὴν κατάφασιν: Κατάφασίς ἐστι λόγος ἀποφαντικὸς ἢ τοῦ καθόλου, ἢ τοῦ μαχομένου, ἢ συμπλεκομένου τινός, ἢ συγκρινομένου, οἷον 'ὁ Θεὸς ζωή ἐστιν', 'ὁ Θεὸς ἀγαθότης ἐστίν'. Ὑποθετικὴ δέ ἐστι λόγος ἀποφαντικὸς ἢ τοῦ καθόλου, ἢ μαχομένου τινός, ἢ συμπλεκομένου δηλωτικός. Ἡ οὖν ὑποθετικὴ κατάφασις ἐπὶ Θεοῦ, ὅτι 'ὁ Θεὸς ζωή ἐστι καὶ ἀγαθότης' μᾶλλον ἢ ἀὴρ καὶ λίθος· αἱ δὲ ἀφαιρέσεις κατὰ ἀπόφασιν λέγονται ἐναντίως τῇ θέσει· ἡ μὲν γὰρ θέσις κατὰ ὑποθετικήν, ὡς εἴρηται, κατάφασιν λέγεται, ὅτι ζωὴ ὁ Θεὸς ἢ ἀήρ, ἡ δὲ ἀποφατικὴ ἀφαίρεσις 'οὐ μεθύσκεται ὁ Θεός', 'οὐκ ὀργίζεται'· καὶ ἐπὶ τῶν θέσεων ἐκ τῶν συγγενεστέρων ἀρχόμεθα· οἰκειότερον γὰρ Θεῷ ζωὴ καὶ ἀγαθότης μᾶλλον, ἢ ἀὴρ καὶ λίθος. Ἐπὶ δὲ τῶν ἀφαιρέσεων ἀπὸ τῶν ἐσχάτων ἄνιμεν, οἷον τὸ μὴ λόγῳ δηλοῦσθαι τὸν Θεόν, καὶ τὸ μὴ νοεῖσθαι, οἰκειότερον μᾶλλον τῷ Θεῷ, ἢ τὸ μὴ κραιπαλᾶν, μηδὲ ὀργίζεσθαι, καὶ ὅλως ἐκ τοῦ δευτέρου τῆς ἀφαιρέσεως ἀρχόμεθα· οἷον, οὐ μεθύει μᾶλλον ὁ Θεὸς ἢ οὐ λέγεται· καὶ οὐ μηνιᾷ μᾶλλον ὁ Θεὸς ἢ οὐ νοεῖται. Κραιπάλη μὲν οὖν ἐστι ἡ πολλὴ καὶ σφοδροτάτη μέθη, οἱονεὶ καραπάλη τις οὖσα, ὅ ἐστιν ἡ τὸ κάρα, ἤτοι τὴν κεφαλήν, πάλλουσα καὶ πάνυ κινοῦσα. Μῆνις δὲ οὐχ ἡ τυχοῦσα ὀργή, ἀλλ' ἡ ἐπίμονος. Ἀπὸ γοῦν τῶν αἰσθητῶν ἀνιόντας ἐπὶ τὰ νοητά, πάσας ταύτας τὰς ἀσωμάτους ἀφαιρέσεις μὴ ταπεινῶς νοεῖν χρή.

Ἀπὸ τοῦ πρωτίστου: Πρώτιστο λέει τὸ πιὸ οἰκεῖο καὶ ποὺ πρῶτο ἔρχεται στὴ σκέψη, ὅπως ὅτι ὁ Θεὸς εἶναι αὐτὸς ποὺ ὑπάρχει (ὁ ὤν), ὅπως αὐτοονομάσθηκε.

Ὅτι τὸ ὑπὲρ πᾶσαν: Πῶς πρέπει νὰ χρησιμοποιοῦμε τὶς θέσεις καὶ τὶς ἀρνήσεις σχετικὰ μὲ τὸν Θεό, καὶ ὅτι τὶς θέσεις τὶς διατυπώνομε ἀπὸ τὸ πρῶτο καὶ συγγενέστερο στὸν Θεό, ἐνῶ τὶς ἀρνήσεις ἀπὸ τὰ ἔσχατα καὶ ἀπὸ ἐκεῖνα ποὺ ἀπέχουν περισσότερο ἀπὸ αὐτόν.

